
I
00106
ARISTOT
Opera
Problem.
IV
2ª parte

BIBLIOTECA
DE LA
UNIVERSIDAD DE SALAMANCA.
Sala Est. Tab. Núm.

n. 106

Problemata Aristot

n. 105

2 - 10 - 3

Num. 38 cap. 1. num. 12..

I
00106

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΡΟΒΛΗΜΑΤΩΝ, ΡΙΝΑΞ.

α΄	Ὅσα ἰατρικά.	κεφάλαια.	νζ΄.
β΄	Ὅσα περὶ ἀφρώτων.		μβ΄.
γ΄	Ὅσα περὶ μέθης.		λε΄.
δ΄	Ὅσα περὶ τὰ ἀφροδίσια.		λβ΄.
ε΄	Ὅσα ἀπὸ κόπου.		μβ΄.
ς΄	Ὅσα ἐκ τοῦ πῶς κεῖσθαι.		ζ΄.
ζ΄	Ὅσα ἐκ συμπαθείας.		ιή.
ή	Ὅσα ἐκ ξίγγυς, ἢ φρίκης.		ιδ΄.
θ΄	Ὅσα περὶ ὑπώπια καὶ ὀλακὰς καὶ μώλωπας.		ιδ΄.
ι΄	Ἐπὶ τοῦ μὴ φθίνειν.	θ΄	ξ΄.
ια΄	Ὅσα περὶ φωνῆς.		ξβ΄.
ιβ΄	Ὅσα περὶ τὸ ὠδῆν.		ιβ΄.
ιγ΄	Ὅσα περὶ τὸ ὀλωδῆν.		ιβ΄.
ιδ΄	Ὅσα περὶ κρᾶσεως.		ις΄.
ιε΄	Ὅσα μαθηματικὰ καὶ περὶ τὸ οὖνα.	γ΄	θ΄.
ις΄	Ὅσα περὶ τὸ ἄψυχα.		ιγ΄.
ιζ΄	Ὅσα περὶ τὸ ἔμψυχα.		γ΄
ιή	Ὅσα περὶ φιλολογίαν.		ε΄
ιθ΄	Ὅσα περὶ ἁρμονίαν.		μή.
κ΄	Ὅσα περὶ θάμνους καὶ λαχανώδη.		λς΄.
κα΄	Ὅσα περὶ ἅλφιτα καὶ μάζαν		κς΄.
κβ΄	Ὅσα περὶ ὀπώραν.		ιδ΄.
κγ΄	Ὅσα περὶ τὸ ἁλμυρὸν ὕδωρ καὶ θάλατταν.		μά.
κδ΄	Ὅσα περὶ τὰ θερμὰ ὕδατα.		κε.
κε΄	ὅσα περὶ τὸν ἀέρα.	ε΄	ιθ΄.
κς΄	ὅσα περὶ ἀνέμους.		κζ΄.
κζ΄	ὅσα περὶ φόβον ἢ ἀνδρείαν.		ξά.
κή	ὅσα περὶ σωφροσύνην καὶ ἀκολασίαν.		ή.
κθ΄	ὅσα περὶ δικαιοσύνην καὶ ἀδικίαν.		ιε΄.

Plan. 38. cc. 1. nro. 12.

b18630522

ΤΜΗΜΑ

λ'. Ὅσα περὶ φρόνησιν καὶ μοῦσαν καὶ σοφίαν. ιγ'.
λά. Ὅσα περὶ ὀφθαλμούς. κθ'.
λβ'. Ὅσα περὶ ὦτα. κβ'.
λγ'. Ὅσα περὶ μυκτῆρας. ιζ'.
λδ'. Ὅσα περὶ τὸ σῶμα. ιϛ'.
λέ. Ὅσα ὑπὸ τῶν ἀφρῶν. ι'.
λϛ'. Ὅσα περὶ τὸ πρόσωπον. γ'.
λζ'. Ὅσα περὶ ὅλον τὸ σῶμα. ε'.
λη'. Ὅσα περὶ χροιάν. ι'.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΡΟΒΛΗΜΑΤΩΝ ΤΜΗΜΑ Α'. ΟΣΑ ΙΑΤΡΙΚΑ.

α' ΔΙΑ τί αἱ μεγάλαι ὑπερβολαὶ μοσώδεις; ἢ ὅτι ὑπερβολὴ ἐλλείψιν ποιοῦσι. τὸ γὰρ ὑγιὲς νόσος. Διὰ τί ἡ τὰς νόσους ὑγιάζοισι πολλάκις, ὅτ' ὀλιγάκις ἐκ τύχης τισὶ καὶ ἰδίων ἰατρῶν τοιαύτην τέχνην ὑπερβολαῖς γὰρ ἰῶνται, ἢ οἴνου, ἢ ὕδατος, ἢ ἅλμης, ἢ ὄξους, ἢ λιμοῦ; ἢ ὅτι ἐν ἅπασι τοῖς ἄλλοις τὰ τῶν νόσων ποιοῦντα, εἰς τὸ μέσον ἀγαθὰ ἑκατέρου. Διὰ τί αἱ τῶν ὡρῶν μεταβολαί, καὶ πνεύματα ἐπιτείνουσι ἢ πνεύμοσι, καὶ κρίνουσι τὰς νόσους καὶ ποιοῦσιν; ἢ ὅτι θερμαὶ καὶ ψυχραί εἰσι καὶ ὑγραὶ καὶ ξηραί. αἱ δὲ νόσοι, τούτων εἰσὶν ὑπερβολαί. ἡ δὲ ὑγεία, ἰσότης. ἐὰν οὖν ἡ ὑγρότης ταῖς καὶ ψύξιν, ἢ ξηρασίαν ὥρα παύῃ· ἐὰν δὲ ξηρασία ὥρα ἐπῇ, ἢ ὁμοία κρᾶσις ἐπιγιγνομένη, ἐπιτείνει καὶ ἀνίησι. διὰ

Sepenumero excessus curare morbos. & hoc modo multos medicos exercere arte sua

Temporú mutationes morbos gignere

Sanitate æquitate esse

χρᾶσις status uertit th.

διὰ ταῦτα δὲ καὶ νοσίζουσι τοὺς ὑγιαίνοντας; ὅτι μεταβάλλουσι, λύουσι τὴν κρᾶσιν. ἅμα γὰρ τοῖς οἰκείοις ὥραις καὶ ἡλικίαις καὶ τόποις αὐξάνεται. διὸ δεῖ ἐν ταῖς μεταβολαῖς μάλιστα διακυβερνᾶν. ὁ δὲ περὶ τῶν ὡρῶν εἴρηται, καὶ κατὰ μέρος τὸ αὐτὸ αἴτιον. αἱ γὰρ τῶν πνευμάτων μεταβολαὶ καὶ τῶν ἡλικιῶν καὶ τῶν ὡρῶν τὴν ὁμοίαν ἴσχουσι μεταβολήν. διὸ καὶ ταῦτα ἐπιτείνει καὶ κρίνει ἢ πνεύμασι, καὶ ἐπὶ τοῖς ἄστροις· ὥσπερ ὠρίων, ἢ ἀρκτοῦρος· ἢ πλειάδος, ἢ κυνός, ὥσπερ πνευμάτων. ἢ ὑδάτων ἢ ὀμβρίων, καὶ χειμώνων. ἢ ἀλέας. Διὰ τί ἐν ταῖς μεταβολαῖς τῶν ὡρῶν, ἐμέτοις δεῖ χρῆσθαι, ἢ ἵνα μὴ χυμῶν τὴν σύνταξις διαφόρων γινομένων τῶν περιττωμάτων ἐν τῇ μεταβολῇ. Διὰ τί οἱ κιβδηλιῶντες καὶ οἱ ὑπολιμοῦντες τοὺς πόδας οἰδοῦσιν; ἢ διὰ τὴν ζέσιν τάξιν ἀμφότεροι ζωτικόν. τοὺς δὲ οἱ μὲν διὰ λιμόν· διὰ τὸ ὅλως λαμβάνειν τροφήν. οἱ δὲ κιβδηλιῶντες, διὰ τὸ μηδὲν ἀποπολαύειν ἧς ἀποπλανῶσι τροφῆς. Διὰ τί τῶν ἀπὸ χολῆς νοσημάτων ἐν τῷ θέρει (συρέπουσι γὰρ μάλιστα ἐν τῷ θέρει) τὰ ὀξέα ἀπὸ χολῆς ὄντα, ἐν ᾧ χειμὼν γίνεται μᾶλλον· διότι μετὰ συρετοῦ ὄντα, ὀξέα ὀλίγα, διὰ τὸ εἶναι εἶναι· ἢ ἡ βία, παρὰ φύσιν· ὑγραίνομένων γὰρ τῶν τόπων, θερμὴ φλεγμασία γίνεται· ἡ δὲ θερμασία, ὑπερβολὴ θερμότητος οὖσα, ποιεῖ τοὺς συρετούς. ἐν μὲν οὖν τῷ θέρει, ξηραὶ καὶ θερμαὶ εἰσὶν ὁσοι· ἐν δὲ τῷ χειμῶνι, ὑγραὶ καὶ θερμαί. διὸ, ὀξεῖαι ταχέως γὰρ ἀναιροῦσιν· οὐ γὰρ θέλει πέπεσθαι διὰ τὸ πλῆθος τὸ περιττώματος. Διὰ τί ποτε ἡ λοιμώδης μόνη τῶν νόσων μᾶλλον τοὺς πλησιάζοντας τοῖς θεραπεύουσι προσαναπίμπλησιν; ἢ ὅτι μόνη τῶν νόσων κοινή ἐστιν ἅπασιν· ὥστε διὰ τοῦτο πᾶσιν ἐπιφέρει τὸν λοιμόν· ὅσοι φαύλως ἔχοντες, πρὸς τοῦτο ἔχουσι. καὶ γὰρ διὰ τὸ συνεκκαυματίζειν νόσου, καὶ παρὰ τῶν θεραπευομένων συνομνύης τοῦ χωσὶ ὑπὸ τοῦ πράγματος ἁλίσκονται. Διὰ τί τοῦ χειμῶνος μορεύγνυμένου, ἐὰν τὸ ἔαρ ἐπομβρῇ γένη

νοσίζουσι τοὺς ὑγιαίνοντας

Orionis Arcturi Pleiadú Canis — Orta

χιβδηλιῶντες qui tuso cibo uescuntur. the.

στύψις tabes. cõsumptio

φλεγμασί. inflámatio

Vere. siccę & calidę ægritudines uexát. hyeme humidę & acutę quę celeriter cõficiunt

Sola omnium morború pestis cõmunis omnib hominibus & ideo corripit celeriter eos q̃ proxime accedunt

ται καὶ νότιον, τὸ θέρος νοσῶδες γίνεται· πυρετοῖς καὶ ὀφθαλμίαις. ἢ ὅτι τό τε σῶμα, ταῖς ἐκδέχεται τὸ θέρος, πολλὴν ἔχοντα ἀλλοτρίαν ὑγρότητα. καὶ ἡ γῆ καὶ ὁ τόπος ἐν ᾧ ἂν οἰκῶσι γίνεται ἔφυδρος, καὶ τοιοῦτος οἷοι λέγονται οἱ ἀεὶ νοσώδεις τόποι· πρῶτον μὲν οὖν ὀφθαλμίαι γίνονται, τηκομένης τῆς περὶ τὴν κεφαλὴν περιττώσεως. ἔπειτα πυρετοί. δεῖ γὰρ νοῆσαι ὅτι τὸ αὐτὸ καὶ θερμότατον γίνεται, ἢ ψυχρότατον, οἷον ὕδωρ καὶ λίθος. θερμανθέντων γὰρ τὸ μὲν ζεῖ, τὸ δὲ καίει μᾶλλον. ἔν τε οὖν ἀέρι, πνῖγη γίνεται, θερμαινομένου τοῦ ἀέρος διὰ πάχος. καὶ ἐν τοῖς σώμασιν ὡσαύτως, πνῖγη καὶ καύματα. τὸ δὲ ἐν τοῖς σώμασι καῦμα, πυρετός ἐστιν. ἐν δὲ ὀφθαλμοῖς, ὀφθαλμίαι. ὅλως δὲ καὶ ἡ μεταβολὴ ἰσχυρὰ οὖσα, τὰ σώματα φθείρει. ὅταν τοῦ ἀέρος ὑγροῦ ὄντος, εὐθὺς ἐπιλαμβάνῃ τὸ θέρος, θερμὸν ὂν καὶ ξηρόν. ἔτι δὲ χαλεπώτερον, ἐὰν καὶ τὸ θέρος ἔπομβρον γένηται. ἔχει γὰρ ὁ ἥλιος ὕλην, ἣν ποιήσει ζεῖν, καὶ ἐν τοῖς σώμασι καὶ ἐν τῇ γῇ καὶ ἀέρι. διὸ γίνονται πυρετοὶ καὶ ὀφθαλμίαι.

θ Διὰ τί ἐὰν ὁ χειμὼν νότιος γένηται καὶ ἔπομβρος, τὸ δὲ ἔαρ αὐχμηρὸν καὶ βόρειον, νοσῶδες γίνεται καὶ τὸ ἔαρ καὶ τὸ θέρος. ὅτι ἐν μὲν τῷ χειμῶνι διὰ τὴν ἀλέαν καὶ ὑγρότητα, ὁμοίως τὰ σώματα διάκειται τῇ ὥρᾳ. ὑγρὰ γὰρ ἀνάγκη εἶναι καὶ οὐ συνεστηκότα. οὕτω δὲ ἐχόντων, τὸ ἔαρ ψυχρὸν ὄν, ἔπηξε καὶ ἐσκλήρυνεν αὐτά, διὰ τὸν αὐχμόν. ὥστε ταῖς μὲν κυούσαις ὁ τόκος ὁ ἐαρινὸς εἰς ἐκτρώσεις γίνεται διὰ τὴν θερμασίαν καὶ τὸν σφακελισμὸν τὸν γινόμενον ὑπὸ τῆς ξηρᾶς ψυχρότητος, ἅτε οὐκ ἐκκειμένης τῆς ὑγρότητος. τὰ δὲ κυόμενα παιδία, ἀθερῆ γίνεται καὶ πηρά, διὰ τὴν ὑπερβολὴν τοῦ ψύχους. συμβέβηκε γὰρ τότε γινόμενα καὶ συστῆναι καὶ τραφῆναι ἐν τῇ τικούσῃ. τοῖς δὲ ἄλλοις ἅτε ἐν τῷ ἀέρι οὐκ ἀποκαθαρθέντος τοῦ φλέγματος τὴν ὑπερβολὴν ὃ συμβαίνει, ὅταν ἀλεεινὸν γένηται, ἀλλὰ διὰ ψῦχος συστάντος, ὅταν ἐπιλάβῃ τὸ θέρος, καὶ ἡ ἀλέα τήκουσα βίᾳ. τοῖς μὲν χολώδεσι καὶ ξηροῖς. διὰ τὸ μὴ διερὰ εἶναι τὰ σώματα αὐτοῖς, ἀλλὰ

τὴν

ὀφθαλμίαις lippitudinibus

Calidiores & calidissima & frigidissima reddi potest ut aqua & lapis

Ophthalmia calor in oculis

ἀλέαν teporem

σφακελισμόν syderationem

τὴν φύσιν αὖον ἔχειν, γίνονται μὲν ὑγρότητες αὗται ὀλίγαι. ὥστε ὀφθαλμίαις ξηραῖς ἁλίσκονται. οἱ δὲ φλεγματώδεις, βράγχοις καὶ εἰς τὸν πνεύμονα καταρροις. ταῖς γυναιξὶ δέ, δυσεντερίαι γίνονται, διὰ τὴν ὑγρότητα καὶ ψυχρότητα τῆς φύσεως. τοῖς δὲ γεραιτέροις, ἀποπληξίαι. ὅταν ἀθρόον λυθὲν ὑγρὸν ἐπιπέσῃ, καὶ δι᾽ ἀσθένειαν τοῦ συμφύτου θερμοῦ παγῇ.

ι Διὰ τί ἐὰν μὲν τὸ θέρος αὐχμηρὸν γένηται καὶ βόρειον, τὸ δὲ μετόπωρον ἐναντίον ὑγρὸν καὶ νότιον, ἐν τῷ χειμῶνι κεφαλαλγίαι τε γίνονται, καὶ βράγχοι, καὶ βῆχες καὶ τελευτῶσιν εἰς φθίσεις. ἢ ὅτι λαμβάνει ὕλην πολλὴν ὁ χειμών. ὥστε αὐτῷ ἔργον ἐστί, πῆξαι τὴν ὑγρότητα φλέγματι ποιῆσαι. ἐν μὲν οὖν ταῖς κεφαλαῖς, ὅταν ὑγρασία γένηται, βάρη ποιεῖ. ἐὰν δὲ ᾖ πολλὴ καὶ ψυχρά, σφακελισμούς. ἐὰν δὲ διὰ πλῆθος μὴ παγῇ, ῥεῖ εἰς τὸν ἐχόμενον τόπον. ὅθεν αἱ βῆχες καὶ οἱ βράγχοι. καὶ αἱ φθόαι γίνονται.

ια Διὰ τί ἐὰν βόρειον γένηται τὸ θέρος καὶ αὐχμῶδες, καὶ τὸ μετόπωρον, συμφέρει τοῖς φλεγματώδεσι καὶ ταῖς γυναιξίν. ἢ ὅτι ἡ φύσις ἐπὶ θάτερα ἀμφοῖν ὑπερβάλλει. ὥστε εἰς τοὐναντίον ἡ ὥρα ἑλκύσασα, καθίστησιν εἰς τὴν εὐκρασίαν, καὶ πρὸς χρήματι ὑγιαίνουσιν. ἐὰν μή τι δι᾽ ἑαυτοὺς ἀμετρίαν ὦσι. καὶ εἰς τὸν χειμῶνα ξηροὶ ἀφικνοῦνται ἔχοντες ὑπεκκαύματα τῷ ψύχει.

ιβ Διὰ τί τοῖς χολώδεσι νοσῶδές ἐστι τὸ βόρειον καὶ αὐχμῶδες θέρος καὶ μετόπωρον. ἢ ὅτι ἐπὶ ταὐτὸ ῥέπει αὐτοῖς τὸ σῶμα καὶ αἱ ὧραι. ὥστε ὥσπερ πῦρ ἐπὶ πυρὶ γίνεται. ξηραινομένων γὰρ τῶν σωμάτων, καὶ τοῦ γλυκυτάτου μὲν ἐξικμαζομένου ἐξ αὐτῶν, ὑπερθερμαινομένων δὲ λίαν, ἀνάγκη διὰ μὲν τὰς συντήξεις, ὀφθαλμίας ξηρὰς γίνεσθαι. διὰ δὲ τὸ χολῶδες, τοὺς ὑπολειπομένους εἶναι χυμούς. ὑπερθερμαινομένων δὲ καὶ τούτων, πυρετοὺς ὀξεῖς γίνεσθαι, ἅτε ὑπ᾽ ἀκράτου τῆς χολῆς. ἐνίοις δέ, μανίας. οἷς ἂν μέλαινα χολὴ φύσει ἐνυπάρχῃ. αὕτη γὰρ ἐπιπολάζει, ἀναξηραινομένων τῶν ἐναντίων χυμῶν.

ιγ Διὰ τί τὰ ὕδατα μεταβάλλειν, νοσῶδές φασιν εἶναι. τὸ δὲ τὸν ἀέ-

□ ἀ. χολώδεις

βράγχοις raucitatibus

καταρροις distillationibus

δυσεντερίαι difficultates intestinorum

Apoplexia i. stupor

βράγχοι Raucitates

βῆχες Tusses

φθόαι Tabes

ὑπεκκαύματα fomite & incitabulum

χολώδεσι biliosis

Prouerbium πῦρ ἐπὶ πυρί quo & alibi usus est aristoteles

Dulcedo corporum euaporata

Aquam mutare graue & periculosum esse aerem non esse

ρος οὖν, ἢ ὅτι τούτου γίνεται τροφή. καὶ ἔχοντες καὶ ἀπολελαυκότες τοῦ ὕδατος ἀπέρχονται· τοῦ δὲ ἀέρος οὐδέν. ἔπειτα ὕδατος μὲν, πολλὰ εἴδη ἐστὶ, καὶ διάφορα καθ' αὑτά. ἀέρος δὲ οὔ. ὥστε καὶ τοῦτο αἴτιον. ἐν μὲν γὰρ τῷ ἀέρι σχεδὸν τὸ αὐτὸ συμβαίνει διατελεῖν, καὶ ἀποδημοῦντας. ἐν δὲ ὕδασιν ἄλλοις. διὸ καλῶς δοκεῖ νοσώδης ἡ

ιδ´ τοῦ ὕδατος μεταβολὴ εἶναι. Διὰ τί μᾶλλον ἢ τοῦ ὕδατος ἡ τῶν σιτίων μεταβολὴ, νοσώδης. ὅτι πλεῖστον ἀναλισκόμενον τὸ ὕδωρ. ἔν τε γὰρ τοῖς σιτίοις ὑπάρχει, καὶ ὄψοις. καὶ ἐν τῷ πόματι

ιε´ τὸ πλεῖστον ὕδωρ. Διὰ τί ποτε ἡ μεταβολὴ νοσώδης, ἢ ὅτι πάσης μὲν ἡ μεταβολὴ καὶ ὥρας καὶ ἡλικίας, οὐ κινητόν. κινεῖται γὰρ τὰ ἄκρα. οἷον αἱ ἀρχαὶ καὶ αἱ τελευταί. ὥστε καὶ αἱ τροφαὶ ἕτεραι οὖσαι, ἀλλήλας φθείρουσιν. αἱ μὲν γὰρ ἄρτι. αἱ δὲ, οὔπω προσπεφύκασιν. ἔτι δὲ ὥσπερ ἡ ποικίλη τροφὴ νοσώδης (ταραχώδης γὰρ ἡ ὁμιλία πέψις) οὕτω συμβαίνει μεταβάλλουσιν ὕδωρ, ποικίλη πόματος χρῆσθαι τῇ τροφῇ. καὶ ἡ τοιαύτη τροφὴ, κυριωτέρα τῆς ξηρᾶς ἐστί. τὸ πλεῖστον εἶναι καὶ ἐξ αὐτῶν τῶν σιτίων, τὸ ὑγρὸν γίνεσθαι τροφήν.

ις´ Διὰ τί ἡ τοῦ ὕδατος μεταβολὴ τοὺς ἔχοντας φθεῖρας ποιεῖ πολλοὺς ἔχειν; ἢ ὅτι πεπέψια γινομένη ὑγρὸν διὰ τὴν ταραχὴν, ἢ γίνεται διὰ τὴν ποικιλίαν τοῦ ὕδατος πυκνὰ μεταβάλλουσιν, ὑγρότητα ἐμποιεῖ. καὶ μάλιστα γὰρ ὑφ' ἧς ἐπιτηδείως ὑπάρχοντι τόπῳ. ὁ δ' ἐστὶν ἐγκέφαλος, ὑγρός. διὸ καὶ ἡ κεφαλὴ ἀεὶ μάλιστα. δηλοῖ δὲ ὅτι αἱ τρίχες ἔνεισι μάλιστα ἐν αὐτῇ. ἡ δὲ τοῦ ἐγκεφάλου τούτου ὑγρότης, φθειροποιητική. δηλοῖ δὲ ὅτι τὰ παιδία μὲν ὑγροκέφαλοί τε γάρ εἰσι. καὶ πολλάκις ἢ κορυζῶσιν, ἢ αἱμα

ιζ´ ποιεῖ ῥεῖν. καὶ φθεῖρας πλείστους οἱ ἐν ταύτῃ τῇ ἡλικίᾳ ἔχουσι. Διὰ τί ἀπὸ πλειάδος μέχρι ζεφύρου οἱ τὰς μακρὰς νόσους κάμνοντες μάλιστα ἀναιροῦνται. καὶ οἱ γέροντες μᾶλλον τῶν νέων. πότερον ὅτι δύο ἐστὶ τὰ φθαρτικώτατα, ὑπερβολή τε ψύχους. τὸ γὰρ ζῶον θερμόν. ἡ δὲ ὥρα αὕτη, ἄμφω ταῦτα ἔχει. ψυχρά τε γάρ ἐστι. καὶ ἀκμαιότατος ὁ χειμών. τὸ λοιπὸν γάρ ἐστιν, ἢ ὅτι ὁμοίως μὲν διακαίονται τοῖς γέρουσι τῶν καμνόντων, οἱ τὰς μακρὰς κάμνοντες ἀσθενεῖς. οἷον γὰρ ἤδη

γῆρας

Aquam corporibus alimento esse

ὄψοις opsonijs

Varius cibus grauis est turbulenta .n. nec aequalis concoctio eius agitur

Mutationem aquarum augere pediculos

Cerebrum humidum esse

Cur pueri pediculis abundent

Pleiadis occasus

fauonij flatus

u. uetus interpres ulceribus. theodorus plenis impuris q: corporibus ut subaudiatur σώμασι. Ego cum bona utriusq: uenia utrunq: errare affirmo. uertendumq: esse palustribus locis. ἀπὸ τοῦ ἕλος ἑλώδης 4 ut infra problemate α

γῆρας ἢ μακρὰ ἀσθένεια συμβαίνει. τὸ γὰρ σῶμα ἀμφοῖν, ξηρὸν καὶ ψυχρόν ἐστι. τῶν μὲν, διὰ ἡλικίαν. τῶν δὲ διὰ νόσον. ὁ δὲ χειμὼν καὶ οἱ πάγοι, ὑπερβολή ἐστι ψυχρότητος καὶ ξηρότητος, μικρᾶς οὖν δεομένοις αὐτοῖς ῥοπῆς, γίνεται οἷον πῦρ ἐπὶ πυρὶ ὁ χειμὼν καὶ φθεί-

ιη´ ρει διὰ ταῦτα. Διὰ τί ἐν τοῖς ἑλώδεσι, τὰ μὲν ἐν τῇ κεφαλῇ ἕλκη, ταχὺ ὑγιάζεται, τὰ δὲ ἐν ταῖς κνήμαις μόλις. ἢ ὅτι βαρεῖα ἡ ὑγρότης, διὰ τὸ γεώδης εἶναι. τὰ δὲ βαρέα, εἰς τὸ κάτω ἀποχωρεῖ. τὰ μὲν οὖν ἄνω ἔκκειται, διὰ τὸ ἀποκεχωρηκέναι (f. humiditatem) εἰς τὰ κάτω, τὰ δὲ

ιθ´ κάτω, πολλοῦ περιττώσεως καὶ δυσήπτου. Διὰ τί ἐὰν τοῦ χειμῶνος ξηροῦ μὲν οὖν βορείου, καὶ τοῦ ἀέρος νοτίου καὶ ἐπόμβρου, τὸ θέρος λίαν αὐχμηροῦ γενομένου, θανατῶδες γίνεται τὸ μετόπωρον πᾶσι, μάλιστα δὲ τοῖς παιδίοις. καὶ τοῖς ἄλλοις δὲ δυσεντερίαι καὶ τεταρταῖοι χρόνιοι γίνονται ἐν αὐτῷ. ἢ ὅτι μεγίστου μὲν ἐπιγινομένου ὕδατος θερινοῦ. καταψυχθὲν τὸ ζέον ὑγρὸν ἐν ἡμῖν, λωφᾷ ὅσον ἠθροίσθη ἐν τῷ ἦρι γενομένῳ ὑγρῷ. εἰ δὲ μὴ, τὰ μὲν παιδία διὰ τὸ ὑγρὰ φύσει καὶ θερμὰ εἶναι, ὑπερζεῖ τῷ πάθει, διὰ τὸ μὴ καταψυχθῆναι. ὅσα δὲ μὴ τοῦ θέρους, τὸ μετόπωρον νόσον ἐκζεῖ. αἱ δὲ περιττώσεις, ἐὰν μὴ εὐθὺ ἀνέλωσι, περὶ πνεύμονα καὶ ἀρτηρίαν ἱστάμεναι, ἄνω γὰρ πρῶτον συνίστανται, διὰ τὸ ὑπὸ τοῦ ἀέρος ἡμᾶς θερμαίνεσθαι. διὰ γὰρ ταῦτα καὶ ὀφθαλμίαι πυρετοῦ πρότερον γίνονται ἐν τῷ νοσερῷ θέρει. ἐὰν οὖν μὴ ἐν τῷ ἄνω καθάπερ εἴρηται τὰ περιττώματα εὐθὺς ἀνέλῃ, καταβαίνουσιν εἰς τὴν κοιλίαν ἄπεπτα ὄντα. τὸ δὲ ἐστὶ δυσεντερία. διὰ τὸ μὴ ἐκκρίνεσθαι ὑπὸ πλήθους τὸ ὑγρόν. καὶ ἐὰν παύσωνται, τεταρταῖοι γίνονται τοῖς σωζομένοις. ἡ γὰρ τοῦ ἀπέπτου ὑπόστασις, μονιμωτάτη ἐστί. καὶ σύντονος γίνεται τῷ σώματι καθάπερ ἡ μέλαινα χο-

κ´ λή. Διὰ τί ἐὰν τὸ θέρος ἔπομβρον γένηται καὶ νότιον, καὶ τὸ μετόπωρον, ὁ χειμὼν νοσερὸς γίνεται. ἢ ὅτι σφόδρα ὑγρὰ τὰ σώματα ὁ χειμὼν λαμβάνει. καὶ ἡ μεταβολὴ ἐπὶ μεγάλη γίνεται ἐξ ἀλέας πολλῆς, καὶ οὐκ ἐκ προσαγωγῆς. διὰ τὸ καὶ τὸ μετόπωρον γίνεσθαι ἀλεινὸν ὥστε τοῖς μὲν, γίνεσθαι ἀνάγκη τὰ ὀξέα νοσήματα μὴ ἀ-

Prouerbium

Ignis ad ignem

Capitis ulcera in palustribus locis facile sanescere. crurum difficile

τεταρταῖοι quartanae febres

λωφᾷ quiescit theodorus

Pueri natura calidi & humidi

ὅσον .i. ualde

Dysenteria

ὑπόστασις subsidens

ἐκ προσαγωγῆς paulatim

ὅσον .i. ualde adiunctum uerbo summe notandum —

ραιοῖς οὖσι. τοῖς γὰρ τοιούτοις ἄνω μᾶλλον τὰ ὑγρὰ περιττώμα-
τα ἀθροίζεται, διὰ τὸ τούτοις μὲν τοὺς τόπους ἔχειν χώραν, τοὺς
δὲ κάτω στερεοὺς εἶναι. οἱ οὖν ὄντες πυκνόσαρκοι, οὐ πολλὰ πε-
ριττώματα δέχονται. ψυχομένης οὖν τῆς περιττώσεως τῆς ἐν τοῖς ἄνω
μέρεσι τοῦ σώματος, ὥσπερ τοῖς οἰνωμένοις ὅταν ῥιγῶσι, τὰ εἰ-
ρημένα συμβαίνει γίνεσθαι. τοῖς δὲ ἀραιοτέροις πυρετοὶ γινόμενοι.
τοὺς ἀπὸ πλείστης ἀπεψίας γινομένους πυρετούς, καύσοις συμ-
βαίνει γίνεσθαι, διὰ τὸ τοῖς τοιούτοις ἐσκεδάσθαι μὲν μᾶλλον κα-
τὰ πᾶν τὸ σῶμα τὰ ὑγρά, ἢ τοῖς πυκνοσάρκοις. συνισταμένης δὲ τῆς σαρ-
κὸς αὐτῶν ὑπὸ τοῦ χειμῶνος θερμαινόμενα τὰ ὑγρά, πυρετοὺς ποιεῖ.
ἡ γὰρ παρὰ τὸ τοῦ σώματος ὑπερβάλλουσα θερμότης, ἐστὶ πυρετός. ἐ-
πιτεινομένη δὲ διὰ τὸ πλῆθος τῆς ὑπαρχούσης αὐτοῖς ὑγρότη-
κα΄ τος, καῦσος γίνεται. Διὰ τί ὅταν ἐκ γῆς ἀνίῃ ἀτμὸς πολὺς ὑπὸ τοῦ
ἡλίου, τὸ ἔτος λοιμῶδες γίνεται; ἢ ὅτι ὑγρὸν ἀνάγκη καὶ ἔπομβρον τὸ ἔτος
σημαίνειν. καὶ τὴν γῆν ὑγρὰν ἀνάγκη εἶναι. οἷον οὖν ἐν ἑλώδει τόπῳ ἡ
οἴκησις γίνεται. νοσώδης δὲ ἡ τοιαύτη ἐστί. καὶ τὰ σώματα δὴ τότε ἀ-
νάγκη περίττωμα πολὺ ἔχειν. ὥστε ἐν τῷ θέρει ἔχειν ὕλην νοσώδη.
κβ΄ Διὰ τί γίνεται τὰ ἔτη νοσώδη, ὅταν γένηται φορὰ τῶν μικρῶν βα-
τράχων τῶν φρυνοειδῶν; ἢ ὅτι ἕκαστον εὐθενεῖ ἐν τῇ οἰκείᾳ χώρᾳ τῆς
φύσεως. καὶ ταῦτα δὴ φύσις ἐστὶν ὑγρά. ὥστε ἔπομβρον καὶ ὑγρὸν
σημαίνειν τὸν ἐνιαυτὸν γίνεσθαι. τὰ δὲ τοιαῦτα ἔτη, νοσώδη ἐστίν. ὑ-
γρὰ γὰρ τὰ σώματα ὄντα, πολὺ ἔχει τὸ περίττωμα. ὅ ἐστι τῶν νόσων
κγ΄ αἴτιον. Διὰ τί οἱ νότοι οἱ ξηροὶ καὶ μὴ ὑδατώδεις, πυρετώδεις εἰ-
σίν; ἢ ὅτι ὑγρότητα καὶ θέρμην ἀλλοτρίαν ποιοῦσιν. εἰσὶ γὰρ ὑγροὶ
καὶ θερμοὶ φύσει. τοῦτο δ᾽ ἐστὶ πυρετῶδες. ὁ γὰρ πυρετός, ἐξ ἀμ-
φοτέρας τούτων ἐστὶν ὑπερβολῆς. ὅταν μὲν οὖν ἄνευ ὕδα-
τος πνέωσι, ταύτην ἐν ἡμῖν ποιοῦσι τὴν διάθεσιν. ὅταν δὲ ἅμα
ὕδατι, τὸ ὕδωρ καταψύχει ἡμᾶς. οἱ δὲ ἐκ θαλάττης νότοι, καὶ
συμφέρουσι τοῖς φυτοῖς. ἐψυγμένος γὰρ ἀπὸ τῆς θαλάσσης
ἀφικνεῖται πρὸς αὐτά. αἱ δ᾽ ἐρυσίβαι γίνονται ὑπὸ ὑγρότητος

καὶ

Hominibus densi corporis excremēta humida superioribus partibus colliguntur

Homines spisso corpore parua excremēta admittunt

πυρετός, καῦσος DR

ἀτμὸς uapor

In locis palustribus habitatio grauis

φορά multitudo

φρυνοειδῶν rubetis similiū

ἀλλοτρίας abundat theodor)

ἐρυσίβαι erugo

κδ΄ καὶ θέρμης ἀλλοτρίας. Διὰ τί ἐν τοῖς νότοις βαρύτερον ἔχου-
σι καὶ ἀδυνατώτερον οἱ ἄνθρωποι; ἢ ὅτι ἐξ ὀλίγου πολὺ ὑγρὸν
γίνεται, διατηκόμενον διὰ τὴν ἀλέαν. καὶ ἐκ πνεύματος κού-
φου, ὑγρὸν καρύ. ἔτι ἡ δύναμις ἡμῶν, ἐν τοῖς ἄρθροις ἐστί. ταῦ-
τα δὲ ἀνίεται ὑπὸ τῶν νοτίων. δηλοῦσι δὲ οἱ ψόφοι τῶν κεκολλη-
μένων. τὸ γὰρ γλίσχρον ἐν τοῖς ἄρθροις πεπηγὸς μέν, κωλύει κι-
κε΄ νεῖσθαι ἡμᾶς. ὑγρὸν δὲ λίαν ὄν, συντείνεσθαι. Διὰ τί ἀρρω-
στοῦσι μὲν μᾶλλον τοῦ θέρους, ἀποθνήσκουσι δὲ μᾶλλον οἱ ἀρ-
ρωστοῦντες τοῦ χειμῶνος; ἢ διὰ τὴν πυκνότητα, ἐντὸς τῶν σωμά-
των συνεσταλμένου τοῦ θερμοῦ. καὶ πονοῦντες μᾶλλον εἰ μὴ πέτ-
τοιμεν, τῶν ἐν ἡμῖν συνισταμένων περιττωμάτων, ἰσχυρὰν ἀ-
νάγκη τὴν ἀρχὴν εἶναι τῆς νόσου. τοιαύτην δὲ οὖσαν, φθαρτικὴν
εἰκός ἐστιν αὐτὴν εἶναι. ἐν δὲ τῷ θέρει, μανοῦ καὶ κατεψυγμένου τοῦ παρ-
ὰ τὸ σῶμα, καὶ ἐκλελυμένου πρὸς τοὺς πόνους ὄντος, ἀρχὰς νόσων
ἀνάγκη πλείους μὲν γίνεσθαι, διὰ τὸ ἀκόπους καὶ ἀπεψίαν τῶν εἰσ-
φερομένων. καὶ γὰρ οἱ νέοι καρποὶ τότε εἰσίν. ἀλλ᾽ οὐχ οὕτως ἰσχυ-
κϛ΄ ράς. διὸ εὐβοήθητοι. Διὰ τί μετὰ τὰς τροπὰς ἀμφοτέ-
ρας, μέχρι ἑκατὸν ἡμερῶν ἀποθνήσκουσι μάλιστα; ἢ ἄχρι τοσού-
του ἑκατέρα ἡ ὑπερβολὴ διέχει, ἥ τε τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ. ἡ δὲ
ὑπερβολή, τοῖς ἀσθενέσι ποιεῖ τὰς νόσους καὶ τὰς φθοράς.
κζ΄ Διὰ τί τὸ ἔαρ καὶ τὸ φθινόπωρον νοσώδη; ὅτι αἱ μεταβολαὶ νο-
σώδεις. τὸ δὲ μετόπωρον, τοῦ ἔαρος, νοσωδέστερον. ὅτι μᾶλλον
τοῦ θερμοῦ ψυχομένου, ἢ τοῦ ψυχροῦ θερμαινομένου, νοσοῦ-
μεν. ἐν μὲν οὖν τῷ ἔαρι, τὸ ψυχρὸν θερμαίνεται. ἐν δὲ τῷ μετο-
πώρῳ, τὸ θερμὸν ψύχεται. Διὰ τί ἐν μὲν τῷ χειμῶνι,
ἐλάττω μὲν τὰ ἀρρωστήματα, ἢ ἐν τῷ θέρει, θανάσιμα δὲ μᾶλ-
λον; ἢ ὅτι ἐν μὲν τῷ θέρει ἀπὸ μικρᾶς προφάσεως, ἀρρωστήμα-
τα, ἐν δὲ τῷ χειμῶνι, οὔ. πεπτικώτεροι γὰρ καὶ ὑγιεινότεροι ἡμῶν
αὐτῶν. ὥστε εἰκότως τὰ ἀπὸ μείζονος προφάσεως γινόμενα,
μείζω καὶ ἀναιρετικώτερα. ταὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῶν ἀθλη-

Vis nostra in articulis est

γλίσχρον tenax humor

Aestate magis aegrotamus. hyeme aegrotantes magis moriuntur

Notandū hoc documētum

Cur magis autumno quam aestate aegrotamus

Per hyemē minus aegrotatur, periciosius autē

ΤΜΗΜΑ

Athletę & secundę ualętes aut nō ægrotant aut ægrotantes celeriter moriuntur,

τῶν. καὶ ὅλως ἐπὶ τῶν ὑγιεινῶς διακειμένων ὁρῶμεν. ἢ γὰρ οὐ λαμβάνουσι νόσον, ἢ ταχὺ συναπίασι. μεγάλης γὰρ αἰτίας δέονται.

κθ Διατί τοῦ μὲν φθινοπώρου καὶ τοῦ χειμῶνος, οἱ καῦσοι μᾶλλον γίνονται ἐν ταῖς ψυχραῖς ὥραις. τοῦ δὲ θέρους, τὰ ῥίγη ἐνοχλεῖ καυματ᾽ ὄντ᾽. ἢ ὅτι κατὰ τὸ μανόν, ἡ χολὴ μέν ἐστι θερμόν. τὸ δὲ φλέγμα ψυχρόν. ἐν μὲν οὖν τῷ θέρει, τὸ ψυχρὸν ἀναλύεται, καὶ διαχυθὲν, ῥίγη καὶ τρόμους παρασκευάζει. ἐν δὲ τῷ χειμῶνι, τὸ θερμὸν ὑπὸ τῆς ὥρας κρατεῖται καταψυχόμενον. οἱ δὲ καῦσοι, μᾶλλον ἐνοχλοῦσι χειμῶνος καὶ τοῦ φθινοπώρου. ὅτι διὰ τὸ ψῦχος, τὸ θερμὸν εἴσω συστέλλεται. ὁ δὲ καῦσος, ἔσωθέν ἐστι, καὶ οὐκ ἐπιπολῆς. εἰκότως οὖν οἱ καῦσοι, ταύτην τὴν ὥραν γίνονται. καταμάθοι τοῦτο δ᾽ ἄν τις ἀκριβέστερον ἐπὶ τῶν ψυχρολουτρούντων τοῦ χειμῶνος, καὶ τῶν τοῦ χειμῶνος λουομένων τῷ θερμῷ. ὅτι οἱ μὲν τῷ ψυχρῷ λουόμενοι, ἀποριγώσαντες ὀλίγον χρόνον ἕως λούονται, τὴν λοιπὴν ἡμέραν, οὐδὲν πάσχουσιν ὑπὸ τοῦ ψύχους. οἱ δὲ τῷ θερμῷ ὕδατι χρησάμενοι, δυσριγότεροι διατελοῦσι. τῶν μὲν γὰρ τῷ ψυχρῷ λουομένων, πυκνοῦται ἡ σὰρξ καὶ συστέλλεται εἴσω τὸ θερμὸν. τῶν δὲ θερμολουτούντων, ἡ σὰρξ ἀραιοῦται, καὶ τὸ θερμὸν ἕως τοῦ ἔξω ὅρου πελάζεται.

Bile calidam, pituitam frigidam esse

καῦσοι febres ardentes

Febris ardēs nō residet in summis sed in intimis

Qui lauantur frigida per hyemē qd patiuntur ,/

λ Τίς καταπλάσματος ἀρετή. ἢ διὰ τὸ χυτικὸν εἶναι, ἀνιδρῶτι ποιεῖ καὶ ἀναπνοὴν δι᾽ ὅταν ἐμπυοῖ. ἢ ἐὰν καταχεομένου τοῦ θερμοῦ ἀλλοιῶται, ἀνάγκη ἐμπυοῦν. εἰ δὲ μή, οὔ.

moueat sudorē · the

Cataplasmatis uirtus

χυτικόν resoluēdi uim habens

λα Ποῖα δεῖ καίειν. ἢ ποῖα δεῖ τέμνειν. ἢ ὅσα μὲν ἔχει στόμα μέγα καὶ ταχὺ συμφύεται, ταῦτα καίειν δεῖ.

λβ ὅτι ἡ ἐσχάρα ἐκεῖ πέσῃ. οὕτως οὐκ ἐπανύπουλα. Τίς ἐναίμου ἀρετή. ἢ τὸ ξηραντικὸν εἶναι, καὶ τῆς ποιούσης ἐπιπωρώσεως σταλτικόν. διὸ ἐσχαρώσεως καὶ σήψεως τῆς σαρκός. οὕτω γὰρ, ἀφλέγμαντον ἂν εἴη καὶ συμφυτικόν. μὴ ἐπιρρέοντος μὲν γὰρ, ἀφλέγμαντον ἔσται. ξηρὸν δὲ ὄν, συμφύσει. διὰ τοῦ τοῦτο δριμέα τὰ πάντα, ὥστε ἀποσύφειν.

λγ Ποῖα τέμνειν δεῖ καὶ ποῖα καίειν. καὶ διὰ τί οὔ, ἀλλὰ φαρμάκοις. ἢ τὰ μὲν ἐπὶ ταῖς μασχάλαις καὶ βουβῶσι, φαρμάκῳ. μετὰ γὰρ διαίρεσιν, τὰ μὲν ἐπίπονα. τὰ δὲ, ἐπιλείπ

δυνα

ἐσχάρα · i · crusta

Enæmū · i · medicamētū supprimens sanguinē

ἐσχαρώσεως crusta

ἀφλέγμαντον

βουβῶσι inguinib)

˙˙˙ problema seiunctū a superiori secundū theodorū · Sec) secundum ueterē interpretē

∝ s. καταχεομένου · theodor) · an si aq perfusus calida immutatur purulentus est

---

☐ χαλκοῦ · ex ære ambusta theodor)

Α

s. πολλάς

δύναται. καίειν δὲ τὰ πλατέα τῶν φυμάτων. καὶ πολυπρόβληματα ἔχοντα, καὶ ἐν φλεβώδεσι καὶ μὴ εὐσάρκοις. τέμνειν δὲ τὰ εἰς ὀξὺ συνηγμένα. καὶ τὰ μὴ ἐν στερεοῖς.

λδ Διατί ἐὰν χαλκῷ τις τμηθῇ, ῥᾷον ὑγιάζεται, ἢ σιδήρῳ. πότερον ὅτι λειότερον. ὥστε ἧττον σπαράττει καὶ ποιεῖ πληγήν. ἢ εἴπερ ἀκμὴν μᾶλλον ὁ σίδηρος λαμβάνει, ῥᾴων ἂν ἀπαθεστέρα ἡ διαίρεσις. ἀλλὰ μὴν φαρμακώδης ὁ χαλκός. ἡ γὰρ ἀρχὴ ἰσχυρά. τὸ μὲν οὖν λύουσα μὲν τῇ τομῇ ἧττον τὸ φάρμακον ποιεῖ τὴν φύσιν.

λε Διατί καὶ τὰ κάτω καύματα ἧττον ὑγιάζεται. ἢ ὅτι μανώτερον καὶ ἧττον σωματικόν. ἐν δὲ τοῖς στερεωτέροις πλείων ἡ θερμότης.

λς Πότερον ἡ πτισάνη κουφοτέρα ἡ κριθίνη καὶ βελτίων πρὸς τὰ ἀρρωστήματα, ἢ ἡ πυρίνη. δοκεῖ γάρ τισιν αὕτη. σημεῖον ποιουμένοις, τοὺς μεταχειριζομένους, ὅτι πολὺ εὐχρούστεροι οἱ περὶ τὴν τῶν ἀλεύρων ἐργασίαν, ἢ τὴν τῶν ἀλφίτων. ἢ ἔθος ὅτι ὑγρότερον ἡ κριθή. τὸ δὲ ὑγρότερον πλέον, οὐ πέψεως. ἢ οὐθὲν κωλύει ἔνια ἔχειν δυσπεπτότερα. καὶ ἐνίοτε πρὸς κουφότητα χρησιμώτερα. οὐ γὰρ μόνον ὑγροτέρα ἐστὶν ἡ κριθὴ τοῦ πυροῦ, ἀλλὰ καὶ ψυχροτέρα. δεῖ δὲ τὸ ῥόφημα καὶ τὸ προσφερόμενον, τοιοῦτον εἶναι τῷ πυρέττοντι, ὃ προφλῶ τι βραχεῖ ἀντιποιεῖ καὶ καταψύξει. ἡ δὲ πτισάνη τοῦτο ἔχει ἡ κριθίνη. διὰ γὰρ τὸ ὑγρότερον ἢ σωματωδέστερον εἶναι, ὀλίγον δίδωσι καὶ τοῦτο ψυκτικόν.

λζ Διατί τὰς αἱμωδίας παύει ἡ ἀνδράχνη καὶ ἅλας. ἢ ὅτι ἡ μὲν, ὑγρότητά τινα ἔχει. φανερὰ δὲ αὐτὴ μασωμένοις τε καὶ ἐὰν συντεθῇ χρόνον τινὰ ἕλκεται γὰρ ἡ ὑγρότης. τὸ δὲ γλίσχρον εἰσδυόμενον, ἐξάγει τὸ ὀξύ. καὶ γὰρ ὅτι συγγενὴς ἡ ὀξύτης σημαίνει. ἔχει γὰρ ὀξύτητος χυμόν. ὁ δὲ ἅλς συντήκων, ἐξάγει τὴν ὀξύτητα.

λη Διατί οὖν κονία καὶ τὸ νίτρον οὔ. ἢ ὅτι στύφει καὶ οὐ τήκει.

λθ Διατί τοὺς θερινοὺς κόπους λουτροῖς ἰᾶσθαι δεῖ. τοὺς δὲ χειμερινοὺς ἀλείμμασιν. ἢ τοὺς μὲν, ἀλείμματι διὰ τὰς φρίκας καὶ τὴν γινομένην μεταβολὴν θερμὴν λούεσθαι δεῖ ἐν κρίσει ἀλεάζειν. τὸ δὲ ἔλαιον, θερμόν. ἐν δὲ τῷ θέρει, καθυγραίνειν. ἡ γὰρ ὥρα ξηρά. καὶ οὐ φοβεραὶ φρῖκαι. διὰ

πολυπρόβλημα · theod. processu multiplici eruperunt ·

μὴ εὐσάρκοις carnosis

Aere incisi facilius sanescunt quam ferro

Aes medicandi uim hēt

Principiū ualidissimā rem esse

Vtra ptisana ad morbos accommodatior ordeacea aut triticea

μεταχειριζομένους

ἀλεύρων) Dr
ἀλφίτων

εὐχρούστεροι coloratiores

ῥόφημα sorbitio

αἱμωδία stupor dētium tollitur a portulaca · i · andrachne

Andrachnes · i · portulacę uis

γλίσχρον Lentor

ὀξύ acorē

κονία lixiuiū

Aestiuis lassitudinibus balneo · hybernis unctione mederi oportet

Oleū calidū esse

θερμὴν calor

☐ sic ad uerbū uetus interpres · Theodorus sec) · quod autē humidius ÷ pleniorē desiderat concoctionē · ergo legendū erit πλέονος δεῖ πέψεως

Δ s. ἐνίοτε · in quā lectionē uidetur inclinare theodor) · impressam sequitur uetus · inter

∴ s. λύειν · laxare theodor) · at interpres uetus λούειν legit · balneari

κωθωνισμός· potus liberalis

Vere & estate cibus parce potio multa

τὴν εἰς ἀλέαν ἔκκλισιν· ὀλιγοσιτία δέ, κωθωνισμὸς θέρους· τὸ μὲν, ὅλως· τὸ δὲ μᾶλλον· ὁ μὲν πότος, θέρους ὅλως διὰ τὴν ξηρότητα· ἡ δὲ ὀλιγοσιτία, κοινὸν μέν· μᾶλλον δὲ θέρους· ἐκθερμαίνεται γὰρ διὰ τὴν ὥραν ὑπὸ τῶν σιτίων.

μ΄ Διὰ τί τῶν φαρμάκων, τὰ μὲν τὴν κοιλίαν λύει, τὴν δὲ κύστιν οὔ· τὰ δέ, τὴν μὲν κύστιν λύει, τὴν κοιλίαν δὲ οὔ· ἢ ὅσα μὲν ἐστὶν ὑγρὰ τὴν φύσιν καὶ ὕδατος μεστά, ταῦτα αὐτῆς φαρμακώδη, λύει τὴν κύστιν· ἐκεῖ γὰρ ὑφίσταται τὰ ἄσηπτα τῶν ὑγρῶν· ὑπὸ δὲ ταχυτῆτος διέρχεται ἡ κύστις· τὸ μὴ πεπομμένον οὖν ὑγρὸν ἐν τῇ κοιλίᾳ οὐ λύει, ἀλλὰ πρὶν ποιῆσαί τι πάθος ὑποχωρεῖ· ὅσα δὲ ἐκ γῆς τὴν φύσιν ἐστίν, αὐτῆς φαρμακώδη, ταῦτα δὲ τὴν κοιλίαν λύει· εἰς ταύτην γὰρ ἡ φορὰ τῶν γεωδῶν· ὥστε αὐτῆς κινητὸν ταράττει.

De urina pulchrum

ἄνω κοιλία

κάτω κοιλία

Elleborus .i. Veratrum

σκαμμωνία Scamonea

ἐλατήριον Ellaterio

θαψίας ὀπός· Thapsie succus

προσιστὰν· obsistens .ue(r)xans

μα΄ Διὰ τί δὲ τὰ μὲν, τὴν ἄνω κοιλίαν· τὰ δέ, τὴν κάτω κινεῖ· οἷον ἐλλέβορος μὲν τὴν ἄνω· σκαμμωνία δὲ τὴν κάτω· τὰ δέ, ἄμφω· οἷον ἐλατήριον καὶ τὸ θαψίας ὀπός· ἢ ὅτι τὰ μὲν ἐστὶ ψυχρὰ τῶν φαρμάκων τῶν τὴν κοιλίαν κινούντων· ὥστε τὰ μὲν διὰ τὴν θερμότητα εὐθὺς ἐν τῇ ἄνω κοιλίᾳ ὄντα φέρεται ἐξ αὐτῆς πρὸς τὸν ἄνω τόπον· κἀκεῖθεν συντήξαντα μάλιστα μὲν τὰ ἀμοιβαιότατα καὶ ἥκιστα συμπεφυκότα· ἂν δὲ ἰσχυρὸν ᾖ τὸ φάρμακον, ἢ πλέον δεῇ τῆς φύσεως, κατάγει εἰς τὴν ἄνω κοιλίαν ταῦτά τε καὶ ἐὰν τὸ περίττωμα ᾖ· καὶ διὰ τὴν θερμότητα ταράττον τὸ πνεῦμα πολὺ γινόμενον ὑπ' αὐτοῦ, προσιστὰν τοὺς ἐμέτους ποιεῖ· τὰ δὲ ψυχρὰ τὴν φύσιν αὐτῶν διὰ βάρος, καὶ πρὶν παθεῖν τι ἢ κινῆσαι, κάτω φέρεται· κἀκεῖθεν ὁρμῶντα, τὸ αὐτὸ δρᾷ τῇ ἄνω· κατὰ δὲ τοὺς πόρους ἀνιόντα ἐκεῖθεν, καὶ κινήσαντα ὧν ἂν κρατήσῃ περιττωμάτων ἢ συντηγμάτων, λαβόντα τὴν αὐτὴν ἀγωγὴν διορίζουσι· ὅσα δὲ ἀμφοῖν μετέχει ἐστὶ μικτὰ τῶν φαρμακωδῶν ἐκ θερμοῦ καὶ ψυχροῦ· ταῦτα δὲ δι' ἑκατέραν τὴν δύναμιν ἀπάγει τὰς ζητείας ἀμφω· ὥσπερ καὶ νῦν σκευάζουσιν οἱ ἰατροὶ μιγνύντες ἀλλήλοις.

μβ΄ Διὰ τί τὰ φάρμακα καθαίρει, ἄλλα δὲ πικρότερα

ὄντα

π. ἑ. ἐάν τι περίττωμα ᾖ theodor(us)

ὄντα καὶ στρυφνότερα καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις ὑπερβάλλοντα, οὐ καθαίρει· ἢ διότι οὐ διὰ τὰς τοιαύτας δυνάμεις καθαίρει, ἀλλ' ὅτι ἄπεπτά ἐστι· δεῖ δὲ ἀκρατεῖν, ἀλλὰ μὴ κρατεῖσθαι ὑπὸ τῆς τῶν ζώων θερμότητος, ἀλλὰ διαχεόμενα ὑπὸ τῆς κοιλίας· ταῦτα τὰ φάρμακα ἐστίν· ὅταν εἰς τὴν κοιλίαν ἔλθωσι καὶ διαχυθῶσι, φέρονται καθ' οὕσπερ ἡ τροφὴ πόρους εἰς τὰς φλέβας· οὐ πεφθέντα δέ, ἀλλὰ κρατήσαντα, ἐκ τόπου ἐκφέρονται ἐμποδὼν αὐτοῖς· καὶ καλεῖται τοῦτο κάθαρσις. χαλκὸς δὲ καὶ ἄργυρος καὶ τὰ τοιαῦτα, ἄπεπτα μὲν ἐστὶν ὑπὸ τῆς τῶν ζώων θερμότητος· ἀλλ' οὐκ εὐδιάχυτα τῇ κοιλίᾳ. ἔλαιον δὲ καὶ μέλι καὶ γάλα καὶ τὰ τοιαῦτα τῆς τροφῆς, καθαίρει· ἀλλ' οὐ τῷ ποιῷ ἀλλὰ τῷ ποσῷ· ὅτε γὰρ διὰ πλῆθος ἄπεπτα γένηται, τότε καὶ καθαίρει· ἢ ὑπερκαθαίρει διὰ δύο αἰτίας ἄπεπτά ἐστι· διὰ τὸ ποιὰ αὐτὰ εἶναι, ἢ διὰ τὸ ποσά· διόπερ οὐ φάρμακόν ἐστιν οὐδὲν τῶν εἰρημένων· τὸ δὲ γὰρ διὰ δύναμιν καθαίρει· στρυφνότης δὲ καὶ πικρότης συμβέβηκε τοῖς φαρμάκοις, καὶ δυσωδία, διὰ τὸ ἐναντίον εἶναι τῇ τροφῇ τὸ φάρμακον· τὸ μὲν γὰρ πεφθὲν ὑπὸ τῆς φύσεως, τοῦτο προσφύεται τοῖς σώμασι, καὶ καλεῖται τροφή· τὸ δὲ μὴ πεφυκὸς κρατεῖσθαι, εἰσιὸν δὲ εἰς τὰς φλέβας, καὶ δι' ὑπερβολὴν θερμότητος ἢ ψυχρότητος ταράττον, αὕτη δὲ φαρμάκου φύσις ἐστίν.

Aes & argentum

Oleum. Mel. Lac

Cur medicamenta acida. Acerba & mali odoris

Alimentum quod

Pharmacum quod

μγ΄ Διὰ τί τὸ μὲν πέπερι, πολὺ μὲν ὂν τὴν κύστιν λύει, ὀλίγον δὲ τὴν κοιλίαν· ἡ δὲ σκαμμωνία, πολλὴ οὖσα τὴν κοιλίαν λύει, ὀλίγη δὲ καὶ παλαιά, τὴν κύστιν· ἢ διότι ἑκάτερον ἑκατέρας ἐστὶ κινητικώτερα· τὸ μὲν γὰρ πέπερι, οὐρητικόν ἐστιν· ἡ δὲ σκαμμωνία, κατωρετικόν· τὸ μὲν οὖν πέπερι, πολὺ μὲν ὄν, φέρεται εἰς τὴν κύστιν, καὶ οὐ δέχεται ἐν τῇ κοιλίᾳ· ὀλίγον δὲ ὂν κρατηθέν, διαλύει, καὶ γίνεται φάρμακον αὐτῆς· ἡ δὲ σκαμμωνία πολλὴ μὲν οὖσα, εἰς τοῦτο κρατεῖται· ὥστε διαχυθῆναι· διαχυθεῖσα δέ, γίνεται φάρμακον διὰ τὴν εἰρημένην ἐν τοῖς ἀνωτέρω αἰτίαν· ὀλίγη δὲ οὖσα μετὰ τοῦ ποτοῦ, ἀναπίνεται εἰς πόρους καὶ πρὶν ταράξαι, καταφέρεται εἰς τὴν κύστιν· ἐκεῖ τῇ αὐτῆς

Piper si large sumatur

Scammonea

Piper urinam ciet

κατωρετικόν alvum ciens

δυνάμεις, ἀπάγει τὰ περιττώματα, καὶ τὰ συντήγματα ὅσα ἐπὶ πολλῆς ἐστίν, ἡ δὲ πολλὴ ὥσπερ εἴρηται, διὰ τὴν ἰσχὺν πολὺν χρόνον μὴ ἐμμένουσα, κατὰ τὰς πολλὰς κάθαρσιν ἢ σικυώδη. Διὰ τί τὰς αὐτὰς φλεγμασίας, οἱ μὲν ψύχοντες ὑγιάζουσιν, οἱ δὲ θερμαίνοντες; πέττουσιν ἄλλοι μὲν, ἀλλοτρίᾳ θερμότητι· οἱ δὲ καταψύχον-

με' τες τὴν οἰκείαν συνάγουσιν. Διὰ τί μεταβάλλειν δεῖ τὰ καταπλάσματα; ἢ ὅτι ὡς μᾶλλον αἰσθάνηται· τὰ γὰρ συνήθη, ὥσπερ ἐπὶ τῶν ἐδεσμάτων, οὐκέτι φάρμακα, ἀλλὰ τροφὴ γίνεται, οὕτως ἐπὶ τῶν ἰατρικῶν.

μϛ' Διὰ τί ὑγιεινὸν τὸ τὴν τροφὴν μὲν ὑποστέλλεσθαι, πονεῖν δὲ πλείω; ἢ ὅτι τὸ νοσεῖν αἴτιον περιττώματος πλῆθος· τοῦτο δὲ γίνεται, ἡ-

μζ' νίκα τροφῆς ὑπερβολὴ ἢ πόνων ἔνδεια. Διὰ τί τὰ φάρμακα καὶ τὰ πικρὰ ὡς ἐπὶ τὸ πολὺ καὶ τὰ δυσώδη καθαίρει; ἢ ὅτι ἅπαντα τὰ πικρὰ καὶ δυσώδη ἄπεπτά ἐστι. διὸ καὶ τὰ φάρμακα, πικρὰ καὶ δυσώδη· δεῖ γὰρ ἄπεπτα εἶναι, καὶ κινητικὰ μετὰ τῆς πικρότητος φαρμακόν ἐστιν· καὶ ἐὰν δοθῇ πλείω διαφθείρει· ὅσα δὲ καὶ σμικρὰ δοθῇ διαφθαρτικά, ταῦτα οὐ φάρμακα λέγεται εἶναι, ἀλλὰ θανατηφόρα. οὐδ' ὅσα μὴ τῶν τριῶν καθαίρει, οὐκ ἔστι φάρμακα. ἃ γὰρ ἐν τῇ τροφῇ πολλὰ μὲν ταὐτὸ ποιεῖ, ἐὰν πόσα δοθῇ· οἷον γάλα, ἔλαιον, γλεῦκος. ἅπαντα δὲ ταῦτα διὰ τὸ μὴ εἶναι εὔπεπτα, καθαίρει· καὶ τούτοις οἷς μὴ εὔπεπτα, καθαίρει καὶ τούτοις· ἔστι γὰρ ἄλλα ἄλλοις εὔπεπτα καὶ δύσπεπτα. διὸ οὐ πᾶσι ταὐτὰ φαρμακώδη, ἀλλ' ἐνίοις ἴδια. ὅλως γὰρ τὸ φάρμακον, δεῖ οὐ μόνον μὴ πέττεσθαι, ἀλλὰ καὶ κινητικὸν εἶναι, ὥσπερ καὶ τὸ γυμνάσιον

μη' μὴ ἔξωθεν ἧκον ἢ ἔσωθεν τῇ κινήσει ἐκκρίνει τὰ ἀλλότρια. Διὰ τί τὰ μὲν εὐώδη διουρητικὰ, σπέρματα καὶ φυτά; ἢ ὅτι θερμὰ καὶ εὔπεπτα· τὰ δὲ τοιαῦτα, οὐρητικά· ταχὺ γὰρ λεπτύνει ἡ ἐνοῦσα θερμότης· καὶ ἡ ὀσμὴ οὐ σωματώδης. ἐπεὶ καὶ τὰ ὀσμώδη οἷον σκόροδα, διὰ τὴν θερμότητα οὐρητικά· μᾶλλον μέντοι συντήκτι-

μθ' κά. θερμὰ δ' οὖν τὰ εὐώδη σπέρματα. Διὰ τί δεῖ πρὸς μὲν τὰ μὴ καθαρὰ καὶ φαῦλα τῶν ἑλκῶν, ξηροῖς καὶ δριμέσι καὶ στρυφνοῖς χρῆσθαι φαρμάκοις, πρὸς

Cur oportet mutare cataplasmata

Cibum minuere. Laborem augere salubre esse

Pharmaca acerba ut plurimum & male oletia purgant

Pharmaci diffinitio

Pharmaca Thanatephora

Lac. Oleum. Mustum non qualitate sed quantitate purgant. & non omnes sed aliquos.

Alia aliis facile aut difficile concoquuntur

Odorata semina & plantae urinam movent

Odorem non esse corporale

Allia ut odora urinam cient

distinctum a superiori problema in theodoro & vetere interprete & emendandum πρότερον. i. An

μάκοις· πρὸς δὲ τὰ καθαρὰ καὶ ὑγιαζόμενα, ὑγροῖς καὶ μόνοις; ἢ διότι ἀπὸ μὲν τῶν μὴ καθαρῶν δεῖ ἀφαιρεῖν τι· τοῦτο δέ ἐστιν ὑγρότης ἀλλοτρία, ἣν ἀφαιρεῖν δεῖ· τὰ δηκτικὰ δὲ καὶ δριμέα καὶ στρυφνὰ τοιαῦτα, καὶ τὸ ξηρὸν μᾶλλον τοῦ ὑγροῦ· τὰ δὲ καθαρὰ

ν' συνεπουλῶσαι δεῖται μόνον. Διὰ τί συμφέρει πρὸς τὰ ἀπὸ φλέγματος νοσήματα, λαγνεία; ἢ ὅτι τὸ σπέρμα περιττώσεως ἀπόκρισις, καὶ φύσει ὅμοιον φλέγματι· ὥστε ἀφαιροῦσα πολὺ φλεγματῶδες ὠφελεῖ ἡ συνουσία. Πρότερον γὰρ τροφὴν προσφέρειν ἀρχομένων βέλτιον ἢ ὕστερον; ἢ ἀρχομένων, ὅπως μὴ προεξηνθηκυίας τῆς φλεγμασίας ἐπιτίθηται; ἢ οὖν ἀπισχναντέον εὐθύς, ἢ οὕτω προσοιστέον· ἀναλαμβάνειν χρὴ πρὸ αὐτοῦ τοῖς ῥοφήμασι. πραότερα γὰρ καὶ λεπτότερα καὶ εὐτηκτότερα· καὶ ἐκδέξασθαι τὴν τροφὴν ἐκ τούτου ῥᾷόν ἐστιν ἀσθενεῖ σώματι. οὐ γὰρ ἐν κοιλίᾳ δεῖ πέττειν τὰ σιτία πρὸ αὐτοῦ· διαχυθῆναί τε καὶ θερμανθῆναι μετὰ πόνου τῷ σώματι ταῦ-

να' τα πέπονθε. Διὰ τί δεῖ σκοπεῖν τὰ περὶ τὸ οὖρον σημεῖα, ἀπολαμβάνοντα τὴν οὔρησιν, εἰ ἤδη πέπεπται, ἢ μὴ μᾶλλον καὶ συνεχῶς οὐροῦντα; ἢ διότι σημεῖον μὲν τοῦ πεπέφθαι, ἐὰν ᾖ πυρρόν· τοῦτο δὲ γίνεται μᾶλλον διαλαμβάνουσιν· ἢ διότι ἔνοπτρον γίνεται ἅπαν μᾶλλον ὑγρὸν χρόας, ὀλίγον ἢ πολὺ ὄν· ἐν μὲν γὰρ τῷ πολλῷ ὑγρῷ, τὰ σχήματα ἐνορᾶται· ἐν δὲ τῷ ὀλίγῳ, τὰ χρώματα· οἷον καὶ ἐπὶ τῆς δρόσου καὶ τῶν ῥανίδων, καὶ ἐπὶ τῶν δακρυόντων ἐπὶ τοῖς βλεφάροις. συνεχῶς μὲν οὖν ἀφιέμενον, γίνεται πλεῖον· διαπαυόμενον δέ, δέχεται μᾶλλον· ὥστε καὶ ᾖ αὐτὸ τὸ τοιοῦτον ἤδη διὰ τὴν πέψιν, καὶ φαίνεται μᾶλλον διὰ τῆς

νβ' ἀνακλάσεως γινομένης, καὶ ἐνόπτρου γινομένου διὰ τοῦ ἀέρος. Ὅτι οὐ δεῖ πυκνοῦν τὴν σάρκα πρὸς ὑγείαν, ἀλλ' ἀραιοῦν· ὥσπερ γὰρ πόλις ὑγιεινὴ καὶ τόπος εὔπνους· διὸ καὶ ἡ θάλασσα ὑγιεινή, οὕτω καὶ σῶμα τὸ εὔπνουν, μᾶλλον ὑγιεινόν. δεῖ γὰρ ἢ μὴ ὑπάρχειν μηθὲν περίττωμα, ἢ τούτου ὡς τάχιστα ἀπαλλάττεσθαι· καὶ ἀεὶ οὕτως ἔχειν τὸ σῶμα, ὥστε λαμβάνον, εὐθὺς κινεῖν τὴν περίττωσιν· καὶ εἶναι

.: f. oi.

συνεπουλῶσαι cicatricem

Morbis qui contrahuntur a pituita immodicam libidinem prodesse

Semen esse excrementi separationem & natura simile pituite

Sorbitionum laus

ἀναλαμβάνειν recreare

Pulchrum documentum

ὅτι. i. notandum quod saepe in eustathio & aliis hunc loquendi modum offendes

Ad valitudinem confert corpus rarefacere non densare

Locus qui aspiratur salubris. quare & mare salubre

ἐν κινήσει καὶ μὴ ἠρεμεῖν· τὸ μὲν γὰρ μένον, σήπεται ὥσπερ ὕδωρ
τὸ μὴ κινούμενον· σηπόμενον δὲ νοσοποιεῖ· τὸ δὲ ἐκκρινόμενον,
πρὸ τοῦ διαφθαρῆναι χωρίζεται. τοῦτο οὖν τοῖς κινουμένοις μὲν
τῆς σαρκὸς, οὐ γίνεται· ὥσπερ γὰρ ἐμφράττονται οἱ πόροι· ἀραι-
ουμένης δὲ συμβαίνει. διὸ καὶ οὐ δεῖ ἐν τῷ ἡλίῳ γυμνὸν βαδίζειν·
συνίσταται γὰρ ἡ σάρξ. ἢ κομιδῇ ἀποσαρκοῦται, καὶ ὑγρότερον τὸ
σῶμα γίνεται· τὸ μὲν γὰρ ἐντὸς διαμένει· τὸ δὲ ἐπιπολῆς, ἀπαλλάτ-
τεται· ὥσπερ καὶ τὰ κρέα τὰ ὀπτὰ, τῶν ἑφθῶν μᾶλλον. οὐδὲ τὰ
στήθη γυμνὰ ἔχοντα βαδίζειν. ἀπὸ γὰρ τῶν ἄριστα ᾠκοδομημένων
τοῦ σώματος ὁ ἥλιος ἀφαιρεῖ, ἃ ἥκιστα δεῖται ἀφαιρέσεως. ἀλ-
λὰ μᾶλλον τὰ ἐντός. ἐκεῖθεν μὲν οὖν διὰ τὸ πόρρω εἶναι, ἐὰν μὴ
μετὰ πόνου, οὐκ ἔστιν ἱδρῶτα ἀγαγεῖν. ἀπὸ τούτου διὰ τὸ πρόχει-
νγ' ῥον ῥᾴδιον. Διὰ τί ποτε τοῖς χιμέτλοις καὶ τὸ ψυχρὸν ὕδωρ συμ-
φέρει καὶ τὸ θερμόν; ἢ ὅτι τὰ χίμετλα, δι' ὑπερβολὴν γίνεται ὑ-
γροῦ. τὸ μὲν οὖν ψυχρὸν, συνίστησι καὶ παχύνει τὸ ὑγρόν. τὸ θερμὸν,
ἐκ πνεύματος, τὴν ἔξοδον ποιεῖ τῷ πνεύματι ἀραιοῦν τὴν σάρκα.
νδ' Διὰ τί τὸ ψυχρὸν καὶ ποιεῖ καὶ παύει τὰ χίμετλα, καὶ τὸ θερμὸν τὰ
πυρίκαυστα; ἢ διὰ τὸ αὐτὸ ποιεῖ μὲν συντήκοντα, παύει δὲ ξηραί-
νε' νοντα; Ἐν τοῖς πυρετοῖς, διδόναι δεῖ τὸ ποτὸν, πολλάκις κα-
τ' ὀλίγον· τὸ μὲν γὰρ πολὺ, παραρρεῖ· τὸ δὲ ὀλίγον μὲν, πολ-
λάκις δὲ, διαβρέχει καὶ εἰς τὰς σάρκας χωρεῖ. οἷα γὰρ τὰ ἐν τῇ
γῇ· ἐὰν μὲν κατὰ πολὺ ἔλθῃ τὸ ὕδωρ, παραρρεῖ· ἐὰν δὲ κατ' ὀ-
λίγον, βρέχει μόνον. τὸ αὐτὸ καὶ ἐν τοῖς πυρετοῖς· τὰ γὰρ ῥέοντα
ὕδατα, ἐάν τις κατ' ὀλίγον ἄγῃ, ὁ ὀχετὸς ἐκπίνει· ἐὰν δὲ τὸ ἴσον,
ἀθρόον ἄγῃ, ὅπου ἂν ἄγῃ, χωρεῖ. ἔπειτα κατακεῖσθαι ἀκίνητον
ὡς μάλιστα ἀκίνητον μὲν, ὅτι καὶ τὸ πῦρ φανερῶς ἐάν τι μὴ κινῇ,
καταμαραίνεται. τὸ γὰρ πνεῦμα δὲ, μὴ κατακεῖσθαι· διότι ὁ ἄνε-
μος τὸ πῦρ ἐξεγείρει καὶ ἐπιζωπυρεῖ· τὸ πῦρ, ἐξ ὀλίγου, πολὺ
γίνεται. περιστέλλεσθαι δὲ τούτου ἕνεκεν, ὅτι πυρὶ ἐὰν ἀναπνοὴν
μὴ διδῷς, σβέννυται. τὰ ἱμάτια μὴ ἀγυμνοῦσθαι ἕως ἂν νο-
τις

[Marginal manuscript notes, left page:]
∴ castigator lectio κινούμενον … & theod. & interpres vet(us) refrigentur
σήπεται putrescit theodo.
Oportet moveri. nam q(ui) no(n) movetur putrescit tanq(uam) aqua manens
Cur no(n) oporteat ad sole(m) nudu(m) incedere
πόροι · invisibilia foramina
Carnes assę humidiores elixatis ~~humidiores~~
No(n) oportet pectus nudu(m) gestare
χιμέτλοις · pternionib(us)
Id(em) facere & sedare pterniones
In febrib(us) potu(m) dare oportet sepe sed paulatim
Aegrotans febri quiescere & immotus q(uam) maxime fieri potest permanere debet. neq(ue) flatui exponatur. & cur.
Obvelandus aeger cur
& theodor(us) & vet(us) interpres legunt μόν(ον) & vertunt solu(m) ego vero ἤ legi posse video μένον) i. manens

[Marginal manuscript note, top of right page:]
□ ἐκλούοντα theod. balneu(m) interpres vet(us) lavantem

τὶς ἐγγένηται· φανερὸν γὰρ ὅτι πῦρ, τὸ ὑγρὸν σβέννυσι. κατὰ ταῦτα δὲ
καὶ ἐν τῇ φύσει ἐστί. τῶν δὲ διαλειπόντων πυρετῶν, προπαρασκευά-
ζειν δεῖ ἐκλούοντα καὶ πυριάματα πρὸ τοῦ τοὺς πόδας παρα-
τιθέντα, καὶ πίνειν σαλμένον ἀναπαύεσθαι, ὅπως ὅτι θερμότερον
ᾖ πρὸ τοῦ τὴν λῆψιν εἶναι· καὶ γὰρ ὅπου πολὺ πῦρ, τὸ ὀλίγον πρὸς
νς' ἑαυτὸ ἄγει. Τεταρταίοις πυρετοῖς, δεῖ μὴ λεπτύνειν ἀλλὰ
πῦρ ἐν τοῖς σώμασιν ἐμποιεῖν εἰσάγοντα· δεῖ δὲ καὶ τοῖς γυμνασί-
οις χρῆσθαι. ᾗ δὲ ἡμέρᾳ ἡ λῆψις, λουσάμενον, ὕπνον μὴ ζητεῖν. διὰ
δὲ τοῦτο καὶ συμφέρει θερμαίνεσθαι, ὅτι ἀσθενὴς ὁ τεταρταῖ-
ος πυρετός· εἰ γὰρ μὴ ἦν ἀσθενής, οὐκ ἂν τεταρταῖος ἐγένετο. ὁρᾷς
ὅπου πῦρ πολὺ, λύχνος οὐ δύναται καίεσθαι· τὸ γὰρ πολὺ, τὸ ὀλίγον
πρὸς ἑαυτὸ ἁρπάζει. τούτου δὲ ἕνεκεν, πολὺ πῦρ ἐν τῷ σώματι
ἐμποιεῖν, ὅτι ὀλίγον ὁ πυρετὸς πῦρ ἔχει. ὅ ἐστι δὲ τὸ καθ' ἡμέραν διαί-
νζ' τημα, τὸ μὲν πῦρ, τὸ δὲ νοτίδα εἰς τὸ σῶμα εἰσάγοντα. Εἰσὶ
δὲ νόσοι, αἱ μὲν ἀπὸ πυρός, αἱ δὲ ἀπὸ νοτίδος· ἰατρεύονται δέ, αἱ μὲν
ἀπὸ πυρὸς νόσοι, νοτίᾳ· αἱ δὲ ἀπὸ νοτίδος, πυρί· νοτίδα γὰρ ξηραίνει.

ἈΡΙΣΤΟΤΕΛΟΥΣ ὍΣΑ ΠΕΡῚ ἹΔΡΩ͂ΤΑ.

α' Διὰ τί οἱ συντείνοντες ἢ κατέχοντες τὸ πνεῦμα, ἧττον ἱδροῦσιν
ἀλλὰ μᾶλλον ἀνέντες; ἢ ὅτι τὸ πνεῦμα κατεχόμενον πληροῖ
τὰς φλέβας, ὥστε κωλύει ἐξιέναι· ὥσπερ τὸ ὕδωρ τὸ ἐκ τῶν κλε-
ψυδρῶν, ὅταν πλήρεις οὔσας ἐπιλάβῃ τις. ὅταν δὲ ἐξέλθῃ, πολὺς
β' γίνεται διὰ τὸ ἐν αὐτῇ ἐπιλήψει ἀθροισθῆναι κατὰ μικρόν. Διὰ
τί οὐχ ἱδροῦσι τὰ ἐν θερμῷ ὕδατι μέρη, οὐδ' ἂν ᾖ θερμά; ἢ διότι τὸ ὕ-
δωρ κωλύει τήκεσθαι, ὅ ἐστιν ἱδρώς, τὸ κακῶς προσῳκοδομημένον
ἐν τῇ σαρκί· κωλύει τήκεσθαι ὅταν ἐκκρίνηται διὰ θερμότητα.
γ' Διὰ τί ὁ ἱδρὼς ἁλμυρός; ἢ διότι γίνεται ὑπὸ κινήσεως καὶ θερμό-
τητος ἀποκρινούσης ὅσον ἀλλότριον ἐνέστιν ἐν τῇ πρὸς φύσει τῆς
τροφῆς τῷ αἵματι καὶ ταῖς σαρξί· τοῦτο γὰρ τάχιστα ἀφίσταται
διὰ τὸ μὴ οἰκεῖον εἶναι· καὶ ἐξωθεῖ ἐκκρινόμενον. ἁλμυρὸς δέ ἐστι, διὰ

[Marginal manuscript notes, right page:]
volis sudor
πυριάματα fomenta
λῆψιν · Accessione
λεπτύνειν ratione victus extenuare
Quartana febris imbecilla est. nam nisi imbecilla esset no(n) esset q(ua)rtana
Sudore(m) ex venis exire
sudor q(uo)d
Cur sudor salsus
□ hec duo verba superfluu(n)t tam apud theodoru(m) q(uam) apud vetere(m) interprete(m)

addit theo. quod parti robustissime praedixim) ~ (dum vero laboram) vires augemus. hic auctis spiritum cotinem) - Aspulatur & interpres vet)

τὸ τὸ γλυκύτατον καὶ κουφότατον εἰς τὸ σῶμα ἀναλοῦσθαι, τὸ δ᾽ ἄλλο βαρύτατον καὶ ἀπεπτότατον, ἀπολύεσθαι. τὸ ῥεῦμα δὲ ἐν μὲν τῇ κάτω ὑποστάσει, οὖρον καλεῖται. ἐν δὲ σαρκὶ, ἱδρώς. ἀμφοῖν δ᾽ ἁλμυρὰ διὰ

Vrina) Dr / Sudor

δ' τὴν αὐτὴν αἰτίαν. Διὰ τί τὰ ἄνω ἱδροῦσι μᾶλλον τῶν κάτω; πότερον τὸ θερμὸν ἄνω, καὶ ἀνέρχεται καὶ ὅσον ἐστὶν ἄνω, τοῦτο δ᾽ ἄνω φέρεται τὸ ὑγρόν; ἢ ὅτι πνεῦμα πρὶν ἢ τὸν ἱδρῶτα. τοῦτο δ᾽ ἐν τοῖς ἄνω; ἢ διότι ἄπεπτον ὑγρὸν ὁ ἱδρώς ἐστι. τοιοῦτο δ᾽ ἐν τοῖς ἄνω ἡ κρᾶσις ἄνω. Διὰ τί τὰς χεῖρας γυμναζομένοις μᾶλλον ἱδρὼς ἐπιγίνεται, ἐὰν τὰ ἄλλα ὁμοιοσχημονῶμεν; ἢ διότι ἰσχύομεν μάλιστα τούτῳ τῷ τρόπῳ. τούτῳ δὲ τὸ πνεῦμα κατέχομεν. εἶτα καὶ τῇ τριβομένῳ συντονουμένῳ μᾶλλον; ἢ ὅταν ἄλλο μέρος τρίβωμεν. τῇ δὲ καθέξει τοῦ πνεύματος, καὶ βιαζόμενοι γυμναζόμεθα, βιαζόμεν-

Sudoré ab spiritu moueri

κρᾶσις habitus corporis theodor). Vet) interpres complexio

ὁμοιοσχημονῶμεν in positu suo seruem)

ε' τες. Διὰ τί οἱ ἱδρῶτες ἐκ τῆς κεφαλῆς, ἢ οὐκ ὄζει, ἢ ἧττον τῶν ἐκ τοῦ σώματος; ἢ ὅτι εὔπνους ὁ τῆς κεφαλῆς τόπος. δηλοῖ δὲ μανὸς ὢν, τῇ τῶν τριχῶν ἐκφύσει. δυσώδεις δ᾽ οἱ τόποι, καὶ τὰ ἐν αὐτοῖς ἐπι-

ς' μεταὶ ὅσα μὴ εὔπνοα. Διὰ τί οἱ γυμναζόμενοι, ἐὰν διαπαυσάμενοι παλαίωσι, μᾶλλον ἱδροῦσιν, ἢ ἐὰν συνεχῶς; ἢ διὰ τὸ ἀθροίζεσθαι διαναπαυόμενον. ἔπειτα τοῦτον τὸν ἱδρῶτα ἐξάγει

η' ὕστερον ἡ πάλη. ἡ δὲ συνεχὴς ἀναξηραίνει, ὥσπερ ὁ ἥλιος. Διὰ τί μᾶλλον ἱδροῦσιν, ὅταν μὴ διὰ πολλοῦ χρόνου χρῶνται ταῖς ἀφιδρώσεσιν; ἢ διότι οἱ ἱδρῶτες γίνονται οὐ μόνον δι᾽ ὑγρότητα, ἀλλὰ καὶ διὰ τὸ τοὺς πόρους ἀνεῷχθαι μᾶλλον. καὶ ἀραιὰ τὰ σώματα εἶναι. τοῖς μὲν οὖν μὴ χρωμένοις, συμμεμύκασιν οἱ πόροι. τοῖς χρωμέ-

ἀφιδρώσεσι. euocationibus sudoris

θ' νοις δ᾽ ἀνεστόμωνται. Διὰ τί τοῦ ἡλίου μᾶλλον θερμαίνοντος τοὺς γυμνοὺς ἢ τοὺς ἀμπεχομένους, ἱδροῦσι μᾶλλον οἱ ἀμπεχόμενοι; πότερον ὅτι τοὺς πόρους συμμύειν ποιεῖ ἐγκαίων ὁ ἥλιος, ἢ διότι τὰς ἀτμίδας ξηραίνει. ἀμπεχομένοις δὲ, τοῦτ᾽ ἧττον συμ-

Magis sudare amictos quam nudos

ι' βαίνει. Διὰ τί ἱδροῦσι μάλιστα τὰ πρόσωπα; ἢ ὅσα ἀραιὰ καὶ ὑγρὰ μάλιστα. διὰ δὲ τούτων ὁ ἱδρὼς διαπορεύεται. δοκεῖ δ᾽ ὑγιεῖναι ἡ κεφαλὴ τοῦ ὑγροῦ. δηλοῦσι δ᾽ αἱ τρίχες, διὰ τὸ πολὺ ὑγρὸν ὁ τό-

πος,

faciem maxime sudare

Capilli oriuntur propter nimium humorem

∴ supfluit in utraque traductioe

ια' πος, ἀραιὸς καὶ ἰσχὺς δίδωσιν ἀραιὰ κατὰ φύσιν. Διὰ τί οὐ τῶν θερμοῦντος τοῦ πυρὸς μᾶλλον ἱδροῦσιν, οὔτε ἐλάττονος ἀεὶ, ἀλλὰ πλείονος ἐπιφερομένου. οἱ γὰρ ἐν τοῖς πυριατηρίοις ἱδροῦσι μᾶλλον, ἢ εὐθὺς εἰ ἐκ τοσοῦτον; ἢ ὅτι τὸ σύμμετρον ἕκαστον ἐργάζεται. οὐκοῦν εἰ τοσοῦτον ποιεῖ, τὸ πλεῖον οὐ ποιήσει· πλεῖον δὲ μᾶλλον τοὐναντίον ὅτι τοῦ σύμμετρον εἶναι, ἐργάζεται τὸ ἔργον. διὰ μὲν δὴ τοῦτο, οὐχ ὑπὸ τοῦ πλείονος μᾶλλον ἱδροῦσι. διὰ δὲ τὸ πρὸς ἕκαστα ἄλλων εἶναι συμμεξίαν, καὶ τὸ πεπτικὸν μηκέτι ποιεῖν, προστιθεμένου μᾶλλον. οὐ γὰρ ταὐτὸ προσθεῖναι ἑκάστῳ ἑκάστου, καὶ ἐπιτηδείως ἔχειν παρασκευάζει. καὶ ἤδη τοῦτο ἐργάζεται ἀμέτρον. τὸ μὲν οὖν ὀλίγον μᾶλλον ἢ πλεῖον, προσοδεῖ ἰσχὺς καὶ πάσχει διὰ σε τὸ σῶμα πρὸς τὸ ἱδροῦν. ἀλλὰ μὴν δὲ διὰ συμμετρίας ἢ πλεῖον πρὸς τὸ ποιῆσαι. τοῦτο δὲ οὐκέτι ποιεῖ ὃ πεποίηκεν. ἀλλὰ μεταπῦ

Pyriateria. the. caldaria. uetus interpres calefactoria

Pulcherrima doctria

ιβ' τὸ ὕστερον. ἄλλο τῆς συμμεξίας γινόμενον. Διὰ τί τοῖς στλεγγισαμένοις μᾶλλον ἐξ ὁ ἱδρὼς ἢ ἐῶσιν ἐπιμένειν; πότερον διὰ τὸ καταψύχεσθαι ὑπὸ τοῦ ἔξω, ἢ ὅτι ὥσπερ ἐπὶ τῶν ... ἐξοιδεῖ

ἀποστλεγγισαμένοις detergentib) uterq: interpres

ιγ' ὢν τοῖς πόροις ὥστε κωλύεται ἔσωθεν τὴν ὁρμήν. Διὰ τί τὸ πήγανον δυσώδεις τοὺς ἱδρῶτας ποιεῖ, καὶ ἔνια τῶν μύρων; ἢ ὅτι ὧν ἐν τῇ ὀσμῇ βαρύτης ἐστί, ταῦτα καταμιγνύμενα τοῖς περιττώμασι τῆς

Ruta & quedam pigmeta sudores foetidos mouent

ιδ' ὑγρότησι, κακωδεστέραν ποιεῖ τὴν ὀσμήν. Διὰ τί ἱδροῦσι τὰ νῶτα μᾶλλον ἢ τὰ πρόσθεν; ἢ ὅτι ἐν μὲν τῷ πρόσθεν ἐστὶ τὸ κύτος, εἰς ὃ ἀποχεῖται τὸ ὑγρόν. ἐν δὲ τῷ ὄπισθεν, οὐκ ἔστιν. ἀλλ᾽ ἔξω τὴν ἔκκρισιν ἀναγκαῖον γίνεσθαι. τὸ δ᾽ αὐτὸ ἔστιν αἴτιον, καὶ ὅτι τὴν κοιλίαν ἧττον ἱδροῦμεν, ἢ ὅτι τὸ στῆθος ἐστι τὸ ὅτι μᾶλλον διαφυλακτικόν ἐστι τοῦ ἱδρῶτος τὰ νῶτα, καὶ τὰ ὄπισθεν ἢ τὰ πρόσθεν, διὰ τὸ μᾶλλον τὰ ἔμπροσθεν ἀποψύχεσθαι. ὅπερ ἐστὶν αἴτιον, καὶ τοῦ τὰς μασχάλας ἱδροῦν τάχιστα μάλιστα. ἥκιστα δὲ ψύχειν. ἔτι δὲ σαρκωδέστερά ἐστι τὰ περὶ τὸν νῶτον τῶν ἔμπροσθεν. ὥστε ὑγρότερα. πλεῖον δ᾽ ἡ ὑγρότης ἐστὶν ἐν τοῖς ὄπισθεν. ὁ δ᾽ ἐμυελὸς ... ὑγρασίαν πολλὴν

Tergo magis quam priori parte sudare

Ventre minus quam pectus sudare

ιε' ἔχει. Διὰ τί ἐφ᾽ ἃ κατακείμεθα μὴ ἱδροῦμεν; ἢ ὅτι ὁ θερμὸς ὢν

Parte quam fultamus sudare nõ possumus. notandu

ὁ γὰρ πυρετὸς ὢν ἀπὸ μέθης κωλύει δ' εἶναι τὸν ἱδρῶτα, ἀναξηραίνεται αὐτοῦ·
ἔτι δὲ θλίβεται· θλιβόμενον δὲ διαχεῖται τὸ αἷμα· οὐ συμβαίνοντος
ναρκη .i. torpor affectio
κατεψῦχθαι μᾶλλον· σημεῖον δὲ ἡ νάρκη κατὰ ψῦξιν τε γὰρ γίνεται
ις' τὸ πάθος, καὶ γίνεται ἐκ θλίψεως ἢ πληγῆς. Διὰ τί οἱ καθεύδοντες
Dormientes magis sudare
μᾶλλον ἱδροῦσιν; ἢ διὰ τὴν ἀντιπερίστασιν· ἀθροισθὲν γὰρ τὸ θερμὸν ἐντὸς
ιζ' ἐξελαύνει τὸ ὑγρόν. Διὰ τί τὸ πρόσωπον μάλιστα ἱδροῦσιν, ἄ-
Antiperistasis · circuob sistendi ratio · theodor) uetus interpres repulsio
σαρκον ὄν; ἢ ὅτι ἐν ᾧ ἱδρῶτα μὲν, ὅσα ὕφυγρα καὶ ἀραιά· ἡ δὲ κεφαλὴ
τοιαύτη· ὑγρότητα γὰρ οἰκείαν ἔχει πλείστην· δηλοῦσι δὲ αἱ φλέβες
τείνουσαι ἐντεῦθεν· καὶ οἱ κατάρροι δ' ἀπὸ ταύτης· καὶ ὁ ἐγκέφαλος ὑγρός. καὶ οἱ
Cur facies magis sudet
πόροι πολλοί· σημεῖον δὲ αἱ τρίχες, ὅτι πολλοὶ οἱ πόροι εἰσὶ, περαί-
Poros esse multos in capite ostendut capilli
νοντες ἔξω· οὐκ οὖν ἐκ τῶν κάτω ὁ ἱδρὼς, ἀλλ' ἐκ τῆς κεφαλῆς γίνεται·
διὸ ἱδροῦσι πρῶτον καὶ μάλιστα τὸ μέτωπον· ὑπόκειται γὰρ πρῶτον· τὸ
ιη' δὲ ὑγρὸν κάτω ῥεῖ, ἀλλ' οὐκ ἄνω. Διὰ τί οἱ ἱδροῦντες ἐὰν ψυχθῶσιν ἢ
Sudantes si uel aq(ua) uel flatu refrigescant nauseant
ὕδατι ἢ πνεύματι, ναυτιῶσι; πότερον τὸ ὑγρὸν ψυχθὲν ἐστὶν ἀθρόον
ἔμπροσθεν οὐκ ἠρεμοῦν διὰ τὸ ῥεῖν, ἢ καὶ τὸ πνεῦμα διιὸν ἔξω γινό-
μενον ἱδρὼς διὰ τὴν ψύξιν, τοῦ τε ἔσω ψυχθὲν πρὶν ἐξελθεῖν, ὑγροῦ ἐγγινόμενον τὸ
ιθ' ἐν προσπεσὸν ποιεῖ τὴν ναυτίαν. Διὰ τί ποτε ἐκ τῶν ποδῶν καὶ
τῆς κεφαλῆς μάλιστα ἱδρῶτες γίνονται θερμαινομένων; ἢ ὅτι τὸ θερ-
μαινόμενον ἐφέλκεται ἐφ' ἑαυτὸ τὸ ὑγρόν· τὸ δὲ ὑγρὸν οὐκ ἔχει ὅπῃ κα-
ταναλίσκηται· διὰ τὸ εἶναι τοὺς τόπους τούτους ὀστώδεις· ἐκπίπτει
κ' οὖν ἔξω. Διὰ τί οἱ πονοῦντες ὅτε παύσονται ἱδροῦσιν; ἔδει γὰρ ἐπεὶ
ὁ πόνος αἴτιος, ὅταν πονῶσι. πότερον ὅτι πονοῦντος μὲν, ὑπὸ τοῦ πνεύ-
ματος αἱ φλέβες ἐμφυσώμεναι, τοὺς πόρους συμμεμυκέ-
ναι ποιοῦσι· παυσαμένων δὲ, συνίζουσιν· ὥστε διευρυνομένων
Humor q(ui) postea in sudore uertitur ex uenis profluit
τῶν πόρων, ῥᾷον διεξέρχεται τὸ ὑγρόν. ἢ ὅτι πονούντων μὲν, ἀποκρί-
νεται ἡ κίνησις ἐκ τοῦ συμπεφυκότος ὑγροῦ πνεῦμα, καὶ διὰ θερμότητα
τὴν ἀπὸ τῆς κινήσεως, γίνεται τὸ ὑγρὸν πνεῦμα ἀπὸ ὀλίγου· ὅταν δὲ παύσων-
ται πόνου, ἅμα καὶ ἡ θερμότης λήγει· καὶ ἐκ τοῦ πνεύματος πυκνουμένου
κα' ὑγρότης γίνεται ὁ καλούμενος ἱδρώς. Πότερον δὲ μᾶλλον τοῦ θέ-
ρους παρασκευάζειν τὸ ἱδροῦν, ἢ τοῦ χειμῶνος, ἢ ὅτι μᾶλλον ὑγροὶ καὶ
χαλεπώτεροι

.: f. n. 1. An. theo .

χαλεπώτεροι ἐν ἐπιμελείας γίνονται πᾶν· ὥστε τοῦ χειμῶνος ἀν-
δείας μᾶλλον ἡ μεγάλη μεταβολὴ, καὶ τὰ περιττώματα τοῦ συ-
μεκπέττεται πάλιν, ψυχθέντος ἔτι παρὰ φύσιν τοῦ χειμῶνος·
δῆλον ἄρα ὅτι τοῦ θέρους μᾶλλον· καὶ γὰρ ταῖς ὑγρασίαις πίπτεται μᾶλ-
λον ἅπαν τὸ τοῦ θέρους· διότι δεῖ ἀπαντλεῖν· διὰ τοῦτο δὴ καὶ οἱ
κβ' ἀρχαῖοι πάντες οὕτως ἔλεγον. Διὰ τί ἀεὶ τοῦ σώματος ῥέον-
τος, καὶ τῆς ἀπορροῆς γινομένης ἐκ τῶν περιττωμάτων, οὐ κουφί-
ζεται τὸ σῶμα ἐὰν μὴ ἀφιδρώσῃ; ἢ ὅτι ἐλάττων ἔκκρισις· ὅταν γὰρ
ἐξ ὑγροῦ μεταβάλλῃ εἰς ἀέρα, πλεῖον γίνεται ἐξ ἐλάττονος· τὸ
δὲ ὑγρὸν διακενούμενον πλεῖον· ὥστε πλείονι χρόνῳ ἡ ἔκκρισις. διὰ δὲ
τοῦτο, καὶ ὅτι δι' ἐλαττόνων πόρων ἡ ἔκκρισις ἐστίν· ἔτι τὸ γλίσχρον
καὶ τὸ κολλῶδες, μετὰ μὲν τοῦ ὑγροῦ, ἐκκρίνεται διὰ τὴν κατάμι-
ξιν· μετὰ δὲ τοῦ πνεύματος, ἀδυνατεῖ· μάλιστα δὲ τοῦτό ἐστι τὸ λυποῦν·
διὸ καὶ οἱ ἔμετοι τῶν ἱδρώτων κουφίζουσι μᾶλλον· ὅτι συνεξάγουσι τοῦ- *Vomitus cur corp(us) magis alleuant q(uam) sudor*
το· ἅτε παχύτεροι καὶ σωματωδέστεροι ὄντες. καὶ ὅτι τῇ μὲν σαρκὶ
πόρρω ὁ τόπος οὗτος ἐν ᾧ τὸ γλίσχρον καὶ τὸ κολλῶδες· ὥσπερ οὖν με-
ταστῆσαι. τῇ δὲ κοιλίᾳ ἐγγύς· ἢ γὰρ ἐν αὐτῇ ἐστὶν ἢ πλησίον· διὸ καὶ
κγ' δυσεξάγωγον ἄλλως. Διὰ τί ἧττον ἱδροῦσιν ἐν αὐτῷ τῷ *Minus sudamus cu(m) in labore sum(us) q(uam) post p(er)fectum labore*
πόνῳ ἢ ἀνέντες; ἢ ὅτι πονοῦντες μὲν, ποιοῦσι· πεποιηκότες δὲ, πε-
πονήκασιν· εἰκότως οὖν ἐκκρίνεται πλεῖον, ὅτε μὲν γὰρ γίνεται, ὅ-
τε δὲ ἔστιν. ἢ ὅτι πονούντων μὲν, συγκλείονται τῆς σαρκὸς οἱ πόροι
διὰ τὴν κάθεξιν τοῦ πνεύματος· ὅταν δὲ ἀνῶσιν, ἀνοίγονται· διὸ
κδ' καὶ τὸ πνεῦμα κατέχοντες, ἧττον ἱδροῦσι. Διὰ τί ὅταν προχάζω- *χάζομεν currimus*
μεν, ὁ ἱδρὼς οὐ πλείων· καὶ ὅταν ἐν κινήσει ᾖ τὸ σῶμα, ἀλλ' ὅταν
παύσωνται; ἢ ὅτι τότε μὲν, ὥσπερ ὑπὸ τῆς χειρὸς ἢ ἄλλου τινός
ἐστιν, ὕδωρ ῥέον ἀποφράξαι πᾶν ταχὺ θὲν συναθροιζόμενον· ὅ-
ταν δὲ ἀφεθῇ, πλέον ἢ ὅσον ἐξ ἀρχῆς· ὡς δὲ ὑπὸ τῆς χειρὸς, οὕ-
τω καὶ ὑπὸ τοῦ πνεύματός ἐστιν ἀποληφθῆναι, ὥσπερ ἐν τῇ κλε-
ψύδρᾳ, καὶ πάλιν πρὸς τὴν κύστιν· ἀπολαμβάνει γὰρ ἐντός. ὁ-
μοίως οὖν πολλῆς κινήσεως οὔσης τὸ πνεῦμα ἐναπολαμβάνεται

διὸ καὶ αἱ φλέβες διατείνονται, τοῦ ὑγροῦ δύναμιν οὐκ ἔχοντος ἐξιέναι· ἀπολαμβανόμενον δ' ἀθρόον τὸ ὑγρὸν ὅταν ἀνεθῇ τὸ πνεῦμα, ἀθρόον ἐξέρχεται.

κε΄ Διὰ τί ὅταν πίωσιν, ἧττον ἱδροῦσιν ἐπιφαγόντες; ἢ διότι τὰ σιτία ἐπιπωματίζει τὴν ὑγρότητα· καθάπερ εἰ σπόγγου ἐμπεσόντος· ἔτι δὲ κωλύσαι τὴν ὁρμὴν οὐ μικρὸν μέρος, ὥσπερ ἐν τοῖς ῥεύμασι τὸ ἐπιλαβεῖν τοὺς πόρους προσενεγκάμενον τὴν τροφήν.

κϛ΄ Διὰ τί οἱ ἀγωνιῶντες ἱδροῦσι τοὺς πόδας, τὸ δὲ πρόσωπον οὐ μᾶλλον; ἢ γὰρ εὔλογον ὅταν πᾶν ἱδρώσῃ τὸ σῶμα, τότε μάλιστα καὶ τοὺς πόδας. ψυχρότατοι γὰρ οἱ πόδες· διὸ ἥκιστα ἱδροῦσι. καὶ οἱ ἰατροὶ ἐν ταῖς ἀρρωστίαις μάλιστα περιστέλλειν τοὺς πόδας παραγγέλλουσιν, ὅτι εὐψυκτοῖεῖσιν· ὥστε ἀρχὴ ἐστὶν ἐκεῖ γίγνεσθαι ἢ ἐν τῷ ἄλλῳ σώματι. ἢ ὅτι ἡ ἀγωνία ἐστὶ θερμότητος οὐ μετάστασις, ὥσπερ ἐν τῷ φόβῳ ἐκ τοῦ ἄνω τόπου εἰς τὸν κάτω· διὸ καὶ αἱ κοιλίαι λύονται τῶν φοβουμένων· ἀλλ' αὔξησις θερμοῦ ὥσπερ ἐν θυμῷ· καὶ ὁ θυμὸς ζέσις τοῦ θερμοῦ ἐστὶ τοῦ περὶ τὴν καρδίαν, ἡ δ' ἀγωνία οὐ διὰ φόβον ἢ διὰ ψύξιν γίγνεται, ἀλλὰ διὰ τὸ μέλλον.

κζ΄ Διὰ τί τὸ πρόσωπον ἐξερυθριῶντες, οὐχ ἱδροῦσι δέ; ἢ διὰ τὸ μᾶλλον θερμαίνεσθαι· ὥστε τὸ μὲν ἐν τῷ προσώπῳ ὑγρὸν ξηραίνει ἡ θερμότης ἐπιπολάζουσα· τὸ δὲ ἐν τοῖς ποσί, συντήκει, διὰ τὸ ἐλάττω μὲν εἶναι, πλέον δὲ τοῦ ἐμφύτου καὶ προϋπαρχούσης.

κη΄ Διὰ τί καθεύδοντες ἱδροῦσι μᾶλλον ἢ ἐγρηγορότες; ἢ ὅτι ἔσω θερμὴ ἀρχὴ τοῦ ἱδρῶτος· θερμότερα δὲ τὰ ἐντός· ὥστε τινὰ ἐκκρίνει διαχέουσα ἡ ἐν τοῖς θερμότης, τὸ ἐντὸς ὑγρόν· ὥστε καὶ ἔοικεν ἀπορεῖν τοῦ σώματος· ἀλλὰ διὰ τὸ μηθὲν ἐμποδὼν εἶναι, πρὸ ὁ προσώπῳ μάλιστα θήσεται λανθάνει· σημεῖον δέ· τὰ γὰρ κοῖλα τοῦ σώματος, ἀεὶ ἱδροῖ.

κθ΄ Διὰ τί ἐν τοῖς πυελατηρίοις μᾶλλον ἱδροῦσιν, ἢ ὅτι ἢ ψύχει, ἢ ὅτι τὸ θερμὸν οὐ βαδίζει ἔξω, διὰ τὸ τῇ ψύχει περιστᾶσιν κωλύεται· ἐν δὲ τοῖς ... ἀλλ' ἐντὸς κατειλούμενον ἀναλύει τὰ ἐνόντα ὑγρά, καὶ ἱδρῶτα ποιεῖ ἐξ αὐτῶν.

λ΄ Διὰ τί ὠφελιμώτερός ἐστιν ὁ ἱδρὼς καὶ ἐλάττων ἐπελθὼν ὁ γυμνοῦ σχολάζοντος γινόμενος, ἢ ὁ ἐν ἱματίῳ, ἢ τὸ μὲν πόνου τοῦ μὴ πόνου βέλτιόν ἐστι καθόλου, καὶ ὁ ἱδρὼς ὁ μετὰ πόνου, τοῦ ἧττον

βελτίων

Trepidantibus cur sudat pedes facies autē nō sudant

Pedes facile frigescunt ideo medici illos coopiri precipiut

Cur nōnulli erubescentes non sudant

Dormientes magis sudant q̄m uigilantes

Caua corporis ~~non~~ semp sudant

Pyriateria .i. sudatoria

Peristasis. ergo anti peristasis

λ aut legendū ἀχρούστεροι· aut ἢ τῶν εὐχρούστεροι ex theodoro & uetere interprete

βελτίων· μᾶλλον δὲ ὁ μετὰ πόνου, ὁ γυμνοῦ σχολάζοντος γινόμενος· ἐὰν δὲ μὴ πολλὴ συνουσία σχολάσῃ, οὐ δύναται ἱδρῶσαι γυμνὸς ὤν· ἐν δὲ ἱματίῳ γὰρ κἂν παραμικρὸν σχολάσῃ, ταχὺ ἱδροῖ, διὰ τὴν ἀπὸ τοῦ ἱματίου ἀλέαν. καὶ ψυχρότεροι δὲ γίνονται οἱ γυμνοὶ σχολάζοντες τῶν θερμῶν τῶν ἐν ἱματίοις· ὅτι ὥσπερ ἅπαντες οἱ ἐν τοῖς εὐπνουστέροις τόποις οἰκοῦντες, ψυχρότεροί εἰσι τῶν ἐν τοῖς καταπεπνιγμένοις οἰκούντων. οὕτω καὶ αὐτὸς αὑτοῦ, ὅτε ὥσπερ ἐν εὐπνοίᾳ, τότε ψυχρότερός ἐστιν· ἢ ὅταν καταπεπνιγμένος ᾖ ἐν περιεχομένῳ ὑπό τινος ἀλέας πολλῆς· ὃ συμβαίνει μᾶλλον τῷ ἐν ἱματίῳ σχολάζοντι. ταῦτα δὲ καὶ οἱ πολὺν χρόνον καθεύδοντες, ψυχρότεροί εἰσι, τῶν μέσον χρόνον καθευδόντων· καταπέπνικται γὰρ καὶ ὁ καθεύδων.

λα΄ Διὰ τί οἱ ἀγωνιῶντες ἱδροῦσι τοὺς πόδας, τὸ δὲ πρόσωπον οὔ, ἐν τῷ ἀλεεινῷ ἱδρούντων ἡμῶν μάλιστα μὲν τὸ πρόσωπον, ἥκιστα δὲ τοὺς πόδας; ἢ ὅτι ἡ ἀγωνία, φόβος τίς ἐστι πρὸς ἀρχὴν ἔργου, ὁ δὲ φόβος, κατάψυξις τῶν ἄνω· διὸ καὶ ὠχροῦσι τὰ πρόσωπα οἱ ἀγωνιῶντες. κινοῦνται δὲ καὶ σκαίρουσι τοῖς ποσί· ποιοῦσι γὰρ τοῦτο οἱ ἀγωνιῶντες, καὶ καθάπερ γυμνάζονται· διὸ εἰκότως ἱδροῦσι ταῦτα, οἷς πονοῦσι, καὶ ξίβουσι δὲ τὰς χεῖρας καὶ συγκαθιᾶσι, καὶ ἐκτείνονται καὶ ἐξάλλονται, καὶ οὐδέποτε ἠρεμοῦσιν· ὁρμητικοὶ γάρ εἰσι πρὸς τὸ ἔργον, διὰ τὸ τὸ θερμὸν αὐτῶν ἠθροῖσθαι εἰς τὸν περὶ τὸ στῆθος τόπον, ὃν ταχὺ σηματωδέστερον· ὅθεν παντὸς διαπλέοντος αὐτοῦ τινὸς καὶ τοῦ αἵματος, συμβαίνει ποικίλως καὶ πυκνῶς κινεῖσθαι κίνησιν· μάλιστα δὲ ἱδροῦσι τοὺς πόδας· ὅτι οὗτοι μὲν συνεχῶς πονοῦσι· τὰ δ' ἄλλα μέρη τοῦ σώματος, ἀναπαύσεως τυγχάνει, ταῖς τῶν σχημάτων καὶ κινήσεων μεταβολαῖς.

λβ΄ Διὰ τί ἐν τοῖς πυελατηρίοις οὐδὲ ἀθρόου τοῦ πυρὸς ὄντος, μᾶλλον ἱδροῦσιν· οὔτ' ἐλάττονος ἀεὶ γινομένου, ἀλλὰ πλείονος ἐπεισφερομένου γὰρ τὰ πυριατήρια μᾶλλον ἱδροῦσιν, ἢ εἴπερ εὐθὺς ἐξ ἀρχῆς τοσοῦτον ἦν τὸ πῦρ· ἢ τὸ μὲν πολὺ ἐκ πρώτης ξηραίνει λαμβάνον τὴν ἐπιπολῆς σάρκα, καὶ δέρματα καὶ ὀστρακοῖ· γινομένης δὲ τοιαύτης, στεγνοῖ τοὺς ἱδρῶτας. τὸ δ' ὀλίγον μᾶλλον τὴν σάρκα, ἀνίησιν αὐτὴν τε ἀραιοῖ.

Quiloca aspiratiora incolunt coloratiores sunt q̄m q inpedita & silentia a uentis

Multū dormientes minus colorati sunt

ἀγωνιῶντες trepidantes theod. uetus inter. exercitantes se

συγκαθιᾶσι se modo inflectunt

διατεῖνον

ἐκ πρώτης a principio

στεγνοῖ arcet obtrudit the. tegit uet. in.

∴ σηματωδέστερον the. corpulentior· uet. = aute interpres coctamior uertit

ὀργάζει

καὶ τὰς ἐντὸς, καθάπερ ὀργάζει πρὸ τοῦ τὴν ἀκέλισιν καὶ ἐξάγειν. οὕτω
δὲ χυθείσης αὐτῆς, ἐπεισέρχεται πλέον πῦρ, ὃ εἰσδυόμενον εἰς βάθος
τῆς σαρκὸς διὰ ἀραιότητα, ἐξατμίζει τὰ πρόσθεν ἀπομαλαχθέντα ὑ-
λγ' γρά, καὶ τὰ λεπτὰ αὐτῆς ἀρκεῖν, ἐξάγει μετὰ τοῦ πνεύματος. Πότε-
ρον δεῖ μᾶλλον τοῦ θέρους παρασκευάζειν τὸ ἱδροῦν, ἢ τοῦ χειμῶνος; τοῦ μὲν χει-
μῶνος συστελλομένου ἐντὸς τοῦ θερμοῦ ἐκ περιστάσεως καὶ πνεύματος, τὰ ἐν ἡμῖν
ὑγρά. διὸ πάντα αὐτοῦ ἢ τοῦ πλείστου ἀναλισκομένου, οὐδὲν δεῖ ταῖς συγκι-
νήσεσιν ἀρκεῖσθαι. τοῦ θέρους διὰ ἀραιότητα τῆς σαρκὸς ἐκπίπτοντος τοῦ θερ-

ἀπαντλήσεως exhaustione

μοῦ, ἧττον πέττεται τὰ ἐν ἡμῖν ὑγρά. διὸ δεῖ ταῖς ἀπαντλήσεσιν. ἐμ-
μεμενηκότα γὰρ διὰ τὴν ὥραν, σήπεται ἢ νοσοποιεῖ. σήπεται γὰρ πᾶν τὸ ση-

Vt suo res calore concoquitur sic alieno putrescit

πόμενον, ὑπὸ ἀλλοτρίας θερμότητος, ὑπὸ δὲ τῆς οἰκείας πέττεται. ἐν μὲν οὖν τῷ
θέρει τὸ ἀλλότριον ἰσχύει. διὸ σήπεται μᾶλλον ἐν αὐτῷ. ἐν δὲ τῷ χειμῶνι

σήπεται putredinem creat

λδ' τὸ οἰκεῖον. διὸ οὐ σήπεται ὁ χειμών. Διὰ τί τῶν ἱδρώτων γινομένων ὑπὸ τῆς
ἐντὸς θερμασίας, ἢ ὑπὸ τῆς ἐκτὸς προσπιπτούσης, πρὸ τοῦ ἐνίων ἱδρώτων
φρίττουσιν; ἢ διότι ὑπὸ μὲν τῆς ἐντὸς θερμασίας ὅταν ἐκπίπτωσιν ἐκ πολ-
λοῦ πόνου εἰς ὀλίγον συστελλομένοις πρὸ τοῦ τὰς περιοχὰς παντελῶς
τοῦ θερμοῦ περιόδους ἀποφράττουσιν. εἶτα ἡ φρίκη ἐγγίνεται, ἔτι τῆς

περιόδους circuitus

σαρκὸς παντελῶς διαβρόχου γινομένης ὑπὸ τοῦ θερμοῦ ἐξιόντος. ἡ
δὲ ἐκτὸς θερμασία προσπίπτουσα, ἀραιοῖ τὸν χρῶτα πρῶτον· εἶτα
τὸ ἐντὸς τῆς φύσεως θερμὸν ἀποκεκριμένον τὴν φρίκην ἐποίησεν.

Sudorum calidi meliores sunt quam frigidi

Διὰ τί τῶν ἱδρώτων οἱ θερμοὶ ἐκείνων βελτίους εἰσὶ τῶν ψυχρῶν; ἢ
ὅτι πᾶς μὲν ἱδρὼς, περιττώματός τινος ἔκκρισίς ἐστιν. εἰκὸς δὲ τὸ
μὲν ὀλίγον περίττωμα ἐκθερμαίνεσθαι, τὸ δὲ πλέον, μὴ ὁμοίως.
ὥστε ὁ ψυχρὸς ἱδρὼς, πολλοῦ περιττώματος ἂν εἴη σημεῖον. διὸ
λς' καὶ μακροτέρας τὰς νόσους ποιεῖ. Διὰ τί τῶν ἱδρώτων διὰ θερμασίας

Ad multum ignem minus sudamus

γινομένων πρὸς τὸ πολὺ πῦρ ἧττον ἱδροῦμεν; ἢ διότι ἡ ἄγαν σφοδρὰ θερ-
μαινομένου τοῦ σώματος εἰς πνεῦμα τὸ ὑγρὸν διαλύεται, ἢ ἐκπί-
πτοντος τοῦ ὑγροῦ ὑπὸ τάχους ξηραινομένου, τὴν αἴσθησιν οὐ λαμβάνομεν.
λζ' Διὰ τί ῥυπῶντες μᾶλλον θερμαινόμενοι, ἐὰν μηδὲν περίλειμμα ἔχω-
μεν, ἱδρῶτες γίνονται τοῖς ἱματίοις περιστελλομένοις, ὃ περὶ τούτου

λη' ταυτὰ ἐροῦμεν τῷ προτέρῳ. Διὰ τί τῶν ὀξειῶν κινήσεων μᾶλλον θερ-
μαινουσῶν ἀκουσῶν, τῶν ἠρεμαιοτέρων ἧττον, αἱ πρὸς τὸ σιμὸν πορεῖαι νωθρό-

σιμὸν curuum uetus in accliuum theodor.

τεραι οὖσαι, ἱδρῶτάς τε μᾶλλον ἐκκρίνουσι· καὶ τὸ πνεῦμα προϊστῶσιν
ὡς θερμαίνουσαι μᾶλλον τῶν κατάντων. ἢ ὅτι τοῖς βάρεσιν εἰς τὸ κά-
τω φέρεσθαι κατὰ φύσιν ἐστίν. εἰς δὲ τὸ ἄνω παρὰ φύσιν. ἡ οὖν οὐ θερμοῦ

Pulchrum documentum

φύσις ἡ φέρουσα ἡμᾶς, πρὸς μὲν τὰ κάταντη οὐθὲν συμπονεῖ. πρὸς
δὲ τὰ σιμὰ φορτίζουσα διατελεῖ. ὥστε διὰ μὲν τὴν τοιαύτην κίνησιν
ἐκθερμαίνεται. καὶ μᾶλλον τοὺς ἱδρῶτας ἐκκρίνει. καὶ τὸ πνεῦμα προ-

προσίστησι prosistit ut paulo ante

σίστησιν. συμβαίνει δὲ τοῦτο ἐν ταῖς πορείαις. καὶ ἡ τοῦ σώματος σύ-
λθ' καμψις. πρὸς τὸ μὴ εὐθυπορεῖν τὸ πνεῦμα προϊστᾶσα. Διὰ τί τῶν
ἱδρώτων γινομένων ὅσῳ ἂν ἐπιβάλλῃ τις μᾶλλον, οὐχ οἱ πλεῖ-
στα ἱμάτια ἐπιβαλλόμενοι ἱδροῦσι· καὶ περὶ τούτου, ταυτὰ ἐροῦμεν

Corpora sicciora aestate quam hyeme

μ' τῷ ἐπάνω. Διὰ τί τῶν σωμάτων ξηροτέρων ὄντων τοῦ θέρους, ἢ τοῦ χει-
μῶνος, ἱδρωτικώτεροι διακείμεθα τοῦ θέρους. ἢ ὅτι τοῦ μὲν θέρους
ἀραιῶν τῶν σωμάτων ὄντων, τὸ τῆς φύσεως θερμὸν οὐ πολὺ κατέχεται.
διαλύει οὖν τὰ ὑγρὰ εἰς πνεῦμα. τοῦ δὲ χειμῶνος πεπυκνωμένων
ἐκτὸς τῶν σωμάτων, πολὺ κατειλημμένον τὸ τῆς φύσεως θερμὸν
εἰς πνεῦμα οὐ διαλύει τὸ ὑγρόν. ἔτι δὲ καὶ τοῦ μὲν θέρους πολὺ προσ-

προσφερόμεθα τὸ ὑγρόν.

μα' φερόμεθα τὸ ὑγρόν· τοῦ χειμῶνος δὲ τοὐναντίον. Διὰ τί οἱ ἀπὸ τοῦ
αὐτομάτου γινόμενοι τοῖς ὑγιαίνουσιν ἱδρῶτες, φαυλότεροι δο-

Pulchra questio

κοῦσιν εἶναι τῶν ὑπὸ τῶν πόνων; ὅτι οἱ μὲν πόνοι ἀπαντλοῦντες ἀεὶ τὸ περιτ-
τεῦον ὑγρόν, ξηροτέραν τὴν σάρκα παρασκευάζουσιν, ὥστε τὰς κοι-

ἔμφραξιν obseptionem siue opilationem theo.

λότητας τοῦ ὑγροῦ εἶναι καὶ τῇ τοῦ θερμοῦ ὠθήσει, μηδεμίαν ἔμφραξιν γί-
νεσθαι. οἱ δὲ αὐτόματοι μὲν προσαγορευόμενοι ἱδρῶτες, γινόμενοι

κοιλότητες cocauitates

δὲ ἐξ ἀνάγκης, ὅταν ὑπὸ πλείονος ὑγρασίας συγχεομένων τῶν τῆς φύσεως πό-

πόρων foraminum

ρων τὰ θερμὰ μὴ παντελῶς καταλαμβάνηται, ἀλλ' ἔτι τὰ ἀπομά-
χεσθαι ἢ ἐκκρίνειν αὐτὸ δύνηται, ὡς λόγῳ νόσου σημεῖα φαίνεται. ἔτι γὰρ
ὑπὸ πλείονος ἐργασίας ἢ τοσούτου μὴ ἐξ ἔργου κατὰ φύσιν ψύχεται. ἥττησας ἐξ
ὀμβροσγινομένην τὴν κακίστην πρὸς ὑγείαν διάθεσιν λαμβάνει.
μβ' Διὰ τί τοῦ χειμῶνος ἱδρῶτες ἧσσον γίνονται, εἰ καὶ μὲν οὖν χρόνοι παρασκευά-

Humidiora sunt corpora nostra hyeme

ξυνειλόμεθα, ὑγροτέρων ὄντων τῶν σωμάτων τοῦ χειμῶνος ἢ τοῦ θέρους μὲν
ἱδροῦμεν· ὅτι τὰ ὑγρὰ τοῦ χειμῶνος ἐκπήγνυται καὶ συνέστηκε σφόδρα·
διὸ λυτώτερά ἐστιν. οὐ χεῖρον λαμβάνομεν δὲ ἂν ἱδροῦν τὸ γενέσθαι τοῦ
χειμῶνος· διότι ἡ τοιαύτη διάθεσις ὑγιεινή. ὁ δὲ τοὺς ἱδρῶτας ἐμ-
ποιεῖ, τήκει καὶ συγχεῖ τὴν ἕξιν. ἔτι τε καὶ ἀραιοτέραν τοῦ προσήκοντος
ἐμποιῶν, τό τε ψῦχος θερμὰ ἀπ' ἐκείνων, ἔλαττον ποιεῖ· ὥστε μὴ ὁμοί-
ως δύνασθαι τῷ περιέχοντι ψυχρῷ ἀντιτετάχθαι, τό τε ἐκ τοῦ ὑγροῦ
ῥᾳδιέστερον ἐξεμπίπτειν τοῖς σώμασιν ἀραιοῖς τε οὖσι διὰ τοὺς ἱδρῶτας.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΟΣΑ ΠΕΡΙ ΟΙΝΟΠΟΣΙΑΣ καὶ μέθης

α΄ Διὰ τί οἱ μεθύοντες, θερμοῦ ὄντος τοῦ οἴνου, δυσριγοῦσι, καὶ
τάχιστα ἁλίσκονται ὑπὸ πλευρίτιδος καὶ τῶν τοιούτων; ἢ διό-
τι πολὺ ὑγρὸν ἐὰν ψυχρὸν ᾖ, πολὺ ψυχρὸν γίνεται· ὥστε κρατεῖ τῆς φυσικῆς θερ-
μότητος. γίνεται δὲ ὅμοιον ὥσπερ ἂν εἰ ἐσθὴς βεβρεγμένη εἴη ὑγρῷ
β΄ ψυχρῷ· οὕτω δὴ ἡ σὰρξ ἔνδοθεν. Διὰ τί οὐχ οἱ σφόδρα μεθύοντες ἐνοχλ-
οῦσιν, ἀλλ' οἱ ἀκροθώρακες μάλιστα; ἢ ὅτι οὔτε ὀλίγον πεπώκα-
σιν, ὥστε ὅμοιοι ἔχειν τοῖς νήφουσιν, οὔτε τοσοῦτον ὥστε διαλύεσθαι, ὅπερ τοῖς ἄγαν.
σιν, οἱ πολὺ πεπωκότες. ἔτι οἱ μὲν νήφοντες μᾶλλον ὀρθῶς κρίνουσιν.
οἱ δὲ σφόδρα μεθύοντες, οὐδὲ ἐγχειροῦσι κρίνειν. οἱ δ' ἀκροθώρακες, κρί-
νουσι μέν, διὰ τὸ μὴ σφόδρα μεθύειν· κακῶς δὲ διὰ τὸ μὴ νήφειν. καὶ
ταχὺ τῶν μὲν καταφρονοῦσιν, ὑπὸ τῶν δ' ὀλιγωρεῖσθαι δοκοῦσιν.
γ΄ Διὰ τί μᾶλλον κραιπαλῶσιν οἱ ἀκρατέστερον πίνοντες, ἢ ὅλως ἄ-
κρατον; πότερον διὰ τὴν λεπτότητα ὁ κεκραμένος μᾶλλον εἰσδύεται
εἰς πλείους τόπους καὶ στενωτέρους, ὁ δ' ἄκρατος ἧττον, ὥστε δυσεξαγωγό-
τερος ὁ κεκραμένος· ἢ διότι ἐλάττω πίνουσιν ἄκρατον, διὰ τὸ μὴ δύ-
νασθαι, καὶ ἀπεμοῦσι μᾶλλον. ἔτι δὲ συμπέττει τὰ πολλὰ θερμότερος
δ΄ ὢν καὶ αὐτὸς αὑτόν, ὁ δ' ὑδαρὴς τοὐναντίον. Διὰ τί τῶν οἰνοφλύ-
γων τὸ σπέρμα, ἄγονον ὡς ἐπὶ τὸ πολύ; ἢ ὅτι ἡ κρᾶσις τοῦ σώματος
ἐξύγρανται· τὰ δ' ὑγρὰ σπέρματα οὐ γόνιμα, ἀλλὰ τὰ συνεστῶτα καὶ πά-
ε΄ χος ἔχοντα. Διὰ τί οἱ οἰνόφλυγες τρέμουσι μᾶλλον, ὅσῳ ἂν ἀκρα-
τοποτῶσιν

ἀκροθώρακες qui leviter se ebriaverunt

κραιπαλῶσιν crapulam sentiunt

ἀκρατέστερον dilutius cullu

ἄκρατον purum

Ebriosorum semen infecundum magna ex parte

---

ubi loc(us) mutil(us) · vetus interpres legendus & theodorus

τοποτῶσιν; ἔστι δὲ ὁ μὲν οἶνος θερμαντικόν· ὁ δὲ τρόμος γίνεται
μάλιστα ἀπὸ ψυχροῦ· διὸ οἱ ῥιγῶντες μάλιστα τρέμουσι. πολλοὶ δ'
ἤδη χρώμενοι μόνον ἀκράτῳ τροφῆς χάριν, τρόμοι ἰσχυροὶ συνέ-
βησαν· ὥστε τὰ περὶ ἔσφυντο τοὺς φιλοβολίτας, καὶ τῷ θερμῷ ὕδατι
λουόμενοι, ἀναισθήτως εἶχον. ἢ ὅτι γίνεται μὲν ὁ τρόμος διὰ κατα-
ψυξιν· γίνεται δὲ ἢ περιισταμένου εἴσω τοῦ θερμοῦ διὰ τὸ ἐκτὸς ψῦχος,
οἷον τοῦ χειμῶνος, ἢ σβεννυμένου τοῦ κατὰ φύσιν θερμοῦ. σβεννυμένου μὲν
τῷ ἐναντίῳ, ἢ διὰ χρόνου, οἷον γῆρας, ἢ τῇ ἀλλοτρίου θερμοῦ ὑπερ-
βολῇ· ὃ συμβαίνει τῷ ἐν τῷ ἡλίῳ ἢ πυρὶ καιομένῳ. συμβαίνει δὲ
τοῦτο, καὶ τοῖς τῷ ἀκράτῳ οἴνῳ χρωμένοις· ὢν γὰρ θερμός τις, ὅταν
ὑπερτείνῃ τῇ δυνάμει τῇ τοῦ σώματος οἰκείᾳ θερμότητι μιγνύ-
μενος, ἀποσβέννυσιν αὐτό. σβεσθέντος δὲ καὶ ψυχθέντος τοῦ σώματος συμ-
βαίνει τοὺς τρόμους γίνεσθαι. ἔστι δὲ καὶ ταῦτα τὰ εἰρημένα.
ς΄ Ἀναιρεθείσης δὲ τῆς ὕλης, ὑφ' ἧς τὸ θερμὸν ἑκάστῳ τρέφεται, συμβαίνει
καὶ τὸ θερμὸν φθείρεσθαι. τοῦτο δὲ ἐπὶ τῶν ἀψύχων, ἐπὶ τοῦ λύχνου ἐστὶ
φανερόν· τοῦ γὰρ ἐλαίου ἀναλωθέντος συμβαίνει σβέννυσθαι τὸ
φῶς. ἐπὶ δὲ τῶν ἐμψύχων, τό τε γῆρας ταὐτὸ ποιεῖ τοῦτο, καὶ τῶν
νόσων αἱ μακραὶ καὶ συντηκτικαί· ἀναιρουμένης γὰρ ἢ λεπτυ-
νομένης τῆς τοῦ θερμοῦ τροφῆς ἐκλύειν αὐτὸ συμβαίνει. ὑγρῷ
μὲν γὰρ τρέφεται τὸ θερμόν· τοῦτο δ' οὐ τῷ τυχόντι, ἀλλὰ λεπτῷ
καὶ πλείονι. διὸ τοῖς νοσοῦσι τὰς εἰρημένας νόσους καὶ πρεσβυτέ-
ροις, φθειρομένου τοῦ τοιούτου καὶ ἀλλοιουμένου, δριμὺ καὶ αὐχμηρὸν
ὑπολείπεται, λιπαροῦ γίνεται, συμβαίνει ἐκλείπειν αὐτό. σημεῖον δὲ
τῶν εἰρημένων ἐστίν, αἱ γινόμεναι βοήθειαι τοῖς μαραινομένοις τὸν βίον
ἐκλείπουσιν· ὅτι γὰρ ἂν ἐπιστάξῃ τις αὐτοῖς τῶν προφωδῶν ὑγρῶν
προσαναφέρεσθαι συμβαίνει. τὸ δὲ ὁπλικὸν αὐτῶν ὡς τῇ τοῦ τοιού-
του ἐκλείψει γινομένης τῆς διαλύσεως. ἔοικε δὲ τοῖς ἀκρατο-
ποτοῦσι τοῦτ' εἶναι αἴτιον· ὢν γὰρ θερμὸς ὁ οἶνος μετὰ τῆς φύσει
ὑπαρχούσης θερμότητος, μᾶλλον ἀναλίσκει τὰ ἐν τῷ σώματι
ὑπάρχοντα ἐφόδια τῷ οἰκείῳ θερμῷ. διὸ συμβαίνει τοὺς μὲν.

ubi + longe aliter pungit hunc contextum & legit vetus interpres · q(uod) est omnino legend(um)

Pulchrum documentum

φιλοβολίτας homines premetes. Theodorus. Vestes vet. interpres. lege problema xx. & statue

Extincta materia qua calidum sustentatur calor ipse extinguitur

Calidum humore alitur & non quolibet humore sed levi & copioso

προσαναφέρεσθαι i. referri ut vetus interpres exponit quod conciliator enarrans ait significare reviviscere

ὁπλικὸν

ὑδρωπικούς hydropicos

ὑδρωπικοὺς αὐτῶν γίνεσθαι, τοὺς δὲ ῥευματικούς, τοὺς δὲ εἰς τὴν
κοιλίαν. τὰ γὰρ λοιπὰ ὑγρὰ αὐτοῖς, δριμέα ἐστί. καὶ τὰ εἰσι-
όντα δι' ἀσθένειαν τοῦ οἰκείου θερμοῦ, ἀπολαόντα οὐ παχύνεται. ἀ-
σθενὲς δὲ ἐστὶ τὸ θερμὸν, τῷ τὴν ὕλην εἶναι τοιαύτην ὑφ' ἧς σώζε-
ται. καθάπερ τὸ καλάμινον πῦρ. καὶ γὰρ τοῦτο διὰ τὴν τῆς ὕ-
ζʹ λης ἀσθένειαν, ἀσθενέστερόν ἐστι τοῦ ξυλίνου. Διὰ τί οἱ μεθύον-
τες θερμοῦ ὄντος τοῦ οἴνου, δυσριγοί εἰσι, καὶ ταχὺ ὑπὸ πλευρίτι-
δος ἁλίσκονται, καὶ τῶν τοιούτων νόσων. ἢ ὅτι τὸ πολὺ ὑγρὸν ἐὰν
ψυχθῇ, πολὺ ψυχρὸν γίνεται, ὥστε κρατεῖν τῆς φυσικῆς θερμότη-
τος. πάντα δὲ τὰ ὑγρότερα, θερμότερά ἐστι τὴν φύσιν. σημεῖον δέ.
θερμαίνεται μὲν γὰρ τοῖς ἐκτὸς. ὑγραίνεται δὲ οὔ. εἰ δὴ ἧττον καὶ θερ-
μαίνει καὶ ἀπολείπει, δῆλον ὅτι θᾶττον αὐτῷ ἡ θερμότης ἢ ὑγρότης.
ὥστε ληφθέντων ψυχρῶν ὑγρῶν, εἰκότως ῥιγοῦσί τε μᾶλλον οἱ
ηʹ μεθύοντες. καὶ τὰ τοῖς ῥίγους οἰκεῖα πάσχουσι πάθη. Διὰ τί
οἱ μὲν παῖδες θερμοὶ ὄντες, οὐ φίλοινοί εἰσι. σκυθρωποὶ δὲ οἱ ἄνδρες
οἱ ἄνδρεοι θερμοὶ ὄντες, φίλοινοι. ἢ ὅτι οἱ μὲν θερμοὶ ὄντες, καὶ ξηροί.
ἡ γὰρ τοῦ ἀνδρὸς ἕξις τοιαύτη. οἱ δὲ παῖδες ὑγροὶ καὶ θερμοί. ἡ δὲ
φιλοποσία ἐστὶν, ἐπιθυμία ὑγροῦ τινός. ἡ δὲ ὑγρότης κωλύει, διψη-
τικοὺς εἶναι τοὺς παῖδας. ἔνδεια γάρ τις ἐστὶν ἡ ἐπιθυμία.
θʹ Διὰ τί μεθύοντες μᾶλλον διαισθανόμεθα τὰ ἁλυκὰ καὶ τὰ μο-
χθηρὰ ὕδατα. νήφοντες δὲ ἧττον. ἢ ὅτι τὸ οἰκεῖον ὑπὸ τοῦ οἰκείου
ἐστὶν ἀπαθὲς, καὶ τὸ ὁμοίως διακείμενον. τὰ δὲ ἐναντία,
τῶν ἐναντίων ἐστὶν αἰσθητικώτερα. ὁ μὲν οὖν μεθύων, γλυκεῖς ἐν
αὐτῷ χυμοὺς ἔχει. τοιοῦτον γὰρ ὁ οἶνος δοκεῖ, καὶ τῶν φαύλων
χυμῶν, αἰσθητικώτερός ἐστιν. ὁ δὲ νήφων, δριμεῖς καὶ ἁλυκούς.
τῆς τροφῆς οὖν πεπεμμένης, οἱ περιττωματικοὶ ἐπιπολάζουσιν.
οὗτοι τε οὖν εἰσιν ἀπαθεῖς ὑπὸ τῶν ὁμοίων καὶ τὸν ἔχοντα ποι-
ιʹ οῦσιν. Διὰ τί τοῖς μεθύουσι σφόδρα, κύκλῳ πάντα φαίνε-
ται φέρεσθαι. καὶ ἤδη ἁπτομένης τῆς μέθης, ἀθρεῖν τὰ πόρρωθεν οὐ δύ-
νανται. διὸ καὶ σημεῖον τῆς μέθης αὐτὸ ποιοῦνταί τινες. ἢ ὅτι κινεῖται
ὑπὸ τῆς

Ignis q ex arundine redditur imbecillior q̃ q ex ligno praestatur

Pulchra questio

Simile a simili nihil patitur

Notandu documetu

Ebrijs omnia circumferri

ὑπὸ τῆς θερμότητος τοῦ οἴνου ἡ ὄψις πυκνάκις. διαφέρει οὖν τὴν
ὄψιν οὐθὲν κινεῖν ἢ τὸ ὁρώμενον. ταὐτὸ γὰρ ποιεῖ, τρόπος τὸ φαίνεσθαι
τὰ εἰρημένα. ἐπειδὲ καὶ περὶ τὰ πλησίον ὄντα διαψεύδεσθαι τὴν
ὄψιν συμβαίνει τῶν μεθυόντων ἢ περὶ τὰ πόρρω μᾶλλον ἐκ τού-
του πάσχει. διόπερ ἐκεῖνα μὲν ὅλως οὐχ ὁρᾶται. τὰ δὲ ἐγγὺς ὁρᾶ μὲν ὥσπερ τρόπῳ
ἐστὶν ὁρᾶ. κύκλῳ δὲ φαίνεται φέρεσθαι. ἢ ὅτι ἐγγὺς καὶ πόρρω. ὅτι εἰς μὲν
τὸ πόρρω, διά τε τὴν κύκλῳ κίνησιν. ἀδυνατωτέρα ἐστὶ φέρεσθαι
ἡ ὄψις. ἅμα γὰρ τἀναντία ποιεῖν οὐ ῥᾴδιον. ἐστὶ δὲ ἡ μὲν πόρρω ἐπι-
θυμία, σφοδρά. ἡ δὲ κύκλῳ, ἐν ᾧ τρόπον μάλιστα σημαίνει, σχήματι. διά τε
οὖν τὰ εἰρημένα πόρρω οὐ φέρεται, καὶ εἰ φέροιτο τὸ ἐγγὺς ἢ πόρρω.
οὐκ ἂν ταὐτὸ ὁρῴη. ἀπολείπει γὰρ ἀεὶ ἐφεξῆς τῷ ἑτέρῳ χρόνῳ αὐτῷ τὸ ὁρώμενον
ἐν ταὐτῷ τόπῳ ἀπολείπων ὥστε οὐκ ἂν ὁρῴη. κύκλῳ δὲ φέρεται.
διὰ τοῦ περὶ χρῶμα τῆς ὄψεως. ἐστὶ γὰρ καθόλου. οὐ κίνησις, κύκλος. ἐν
ᾧ κινουμένῳ καὶ ὁρωμένῳ τοῦτο. διὰ τὸ μηδέποτε ἀπολείπειν αὐτό.
διέψευσται δὲ τῷ τόπῳ. διὰ τὸ μὴ τὴν αὐτὴν ὄψιν ἐπιβάλλειν ἐπ'
αὐτό. ταὐτὸν γὰρ ἂν ἦν, ἤτοι τὸ πρὸς τὴν ὄψιν κινεῖσθαι, ἢ τὴν ὄψιν πρὸς
ιαʹ τοῦτο. Διὰ τί τοῖς μεθύουσιν ἐνίοτε τὰ πολλὰ φαίνεται τὸ ἓν ὁρῶσιν.
ἢ καθάπερ εἴρηται κινουμένης τῆς ὄψεως συμβαίνει μηθένα χρόνον τὴν
αὐτὴν ἐπὶ ταὐτοῦ ἠρεμεῖν ὄψιν. τὸ δὲ ἐν ταὐτῷ χρόνῳ ἐπιτεθὲν ὁρώ-
μενον ὄψει αἴτερ εἶναι δοκεῖ. ἀφῇ γὰρ ὄψεως ὁρᾶται τὸ ὁρώμενον, ἅ-
πτεσθαι δὲ πλεόσιν ἅμα τοῦ αὐτοῦ ἀδύνατον. ὅταν δὲ αἰσθή-
του μεταξὺ χρόνου εἰς εἶναι δοκεῖ χρόνος. ὥστε ἡ ταχεῖα πάρεμμα-
χεν. ὥστε ἐν τῷ αὐτῷ χρόνῳ ταὐτῷ πλειόνων ἁπτομένων ὄψεων, πλείω
δοκεῖ εἶναι τὰ ὁρώμενα. διὰ τὸ ταὐτὰ κατὰ τὸν αὐτὸν τρόπον ἀδύνα-
ιβʹ τον εἶναι ἅπτεσθαι. Διὰ τί οἱ μεθύοντες ἀφροδισιάζειν ἀδύνα-
τοί εἰσιν. ἢ ὅτι δεῖ τι μόριον ἐκθερμανθῆναι μᾶλλον τοῦ ἄλλου σώματος.
τοῦτο γὰρ ποιεῖ διὰ τὸ πλῆθος τῆς ἐν ὅλῳ τῷ σώματι θερμασίας ἀ-
δυνατοῦσιν. ἀποσβέννυται γὰρ τὸ ὑπὸ τῆς κινήσεως θερμὸν γινόμενον
ὑπὸ τοῦ περιέχοντος μᾶλλον. ὅτι, πολὺ ἐστὶν ἐν αὐτοῖς τὸ ὑγρὸν τὸ
ἄπεπτον. ἔτι δὲ τὸ σπέρμα ἐκ τροφῆς. τροφὴ δὲ πᾶσα πέπτεται.

Simul contraria facere impossibile

Quod cernitur no nisi contactu visus cernitur

ebrij coire no possut

ᾗς πληρωθέντες ὁρμητικοί εἰσι πρὸς τὰ ἀφροδίσια. διὸ καὶ κελεύουσί τινες πρὸ τῆς πράξεως τῆς τοιαύτης, ἀριστᾶν μὲν πολύ, δειπνεῖν δὲ ὀλίγον· ἵνα ᾖ αὐτοῖς ἐλάττω τὰ ἄπεπτα τῶν πεπεμμένων.

ιγ' Διὰ τί ὁ γλυκὺς καὶ ἄκρατος καὶ ὁ κυκεὼν μεταξὺ διαπινόμενοι ἐν τοῖς πότοις, νήφειν ποιοῦσι· καὶ διὰ τί ἧττον μεθύσκονται, τοῖς μεγάλαις κωθωνιζόμενοι; ἢ πάντων τὸ αὐτὸ αἴτιόν ἐστιν, ἡ παράκρουσις τοῦ ἐπιπολῆς θερμοῦ. τὸ γὰρ μεθύειν ἐστίν, ὅταν ᾖ τὸ θερμὸν τοῖς περὶ τὴν κεφαλὴν τόποις.

ιδ' Διὰ τί τοῦ γλυκέος ἐπιπολαστικοῦ ὄντος, ἐάν τις μεθύων ἤδη ὢν πίνῃ γλυκύ, καταπέπτεται ὁ συνυπάρχων οἶνος, καὶ ἧττον ἐνοχλεῖ; ἢ ὅτι τὸ μὲν γλυκὺ λεαντικόν τε ἐστὶ καὶ γλίσχρον· ἐμφράττει οὖν τοὺς πόρους. τὸ δὲ αὐστηρὸν τραχυντικόν. καὶ τὸ μὲν εὐπετῆ ποιεῖ τῶν θερμῶν τὴν ἀναφοράν· ὁ δὲ γλυκύς, στέγει αὐτό, τοὺς πόρους ἐμφράττων. ὅτι δὲ τῶν ἄνω θερμανθέντων ἐστὶν ἡ μέθη, εἴρηται. ἔστι δὲ ὁ μὲν γλυκὺς ἄοδμος, ὁ δὲ αὐστηρὸς εὐ· ὀσμὴ δὲ πᾶσα βαρύνει κεφαλήν.

ιε' Διὰ τί ἀπὸ τοῦ κεκραμένου μέν, ἀκράτου δέ, ἕωθεν μᾶλλον πονοῦσι τὴν κεφαλὴν ἢ ἀπὸ τοῦ ἀκράτου; ἢ ὅτι ὁ μὲν ἄκρατος παχυμερὴς ὤν, εἰς τοὺς περὶ τὴν κεφαλὴν πόρους στενοὺς ὄντας, αὐτὸς μὲν οὐκ εἰσπίπτει· ἡ δὲ δύναμις αὐτοῦ, ἥ τε ὀσμὴ καὶ θερμότης. ὁ δὲ κεκραμένος μιχθεὶς λεπτῷ τῷ ὕδατι, αὐτὸς εἰσδύεται. ἔτι δὲ ἴσως μᾶλλον διὰ δυνάμεως πλῆθος τοῦ ἀκράτου δυσπεπτότερός ἐστι. τά τε γὰρ ὑγρὰ δυσπεπτότατα, καὶ τὰ σώματα τῶν ἐν αὐτοῖς δυναμένων.

ις' Διὰ τί μᾶλλον δύνανται πίνειν εἰς μέθην οἱ ἀγύμναστοι τῶν γεγυμνασμένων, καὶ ῥᾷον ἀπαλλάττουσιν; ἢ ὅτι οἱ ἔχοντες περίττωμα τὸ ὑγρὸν ἐν αὐτοῖς, οὐρητικοὶ γίνονται. ὅπερ ποιεῖ εὐδύνατον πίνειν καὶ ὕστερον κοῦφος ἔχειν, διὰ τὸ μὴ ἐμμένειν πολὺ ὑγρὸν οἰνῶδες. οἱ μὲν οὖν ἀγύμναστοι, ὑγροὶ καὶ περιττωματικοί εἰσιν. οἱ δὲ γεγυμνασμένοι, ξηροί. ὥστε εἰς τὸ σῶμα τούτοις ἡ ὑγρότης ἡ οἰνηρὰ ἀφικνεῖται. εὐθὺς τι οὖν ἀντισπᾷ τῇ οὐρήσει ἡ φορὰ αὕτη, καὶ ὕστερον ἐμμένον τὸ ὑγρόν, τοῦτο ἐν τῷ σώματι βάρος ποιεῖ.

Διὰ τί

Qui coituri sunt prandere debent large coenare parce

ἀριστᾶν Prandere

δειπνεῖν Coenare

Cyceon theod. uerbú graecú intactú reliqt

κωθωνιζόμενοι ebriantur

Ebrietas tunc est cum sedé capitis calor occupat

γλίσχρον lentú

::ιϛ. βεαυτρους

ιζ' Διὰ τί ὁ οἶνος καὶ τετυφωμένους ποιεῖ καὶ μανικούς; ἐναντία γὰρ ἡ διάθεσις· ὁ μὲν γὰρ μᾶλλον ἐν κινήσει, ὁ δὲ ἧττον. ἢ ὥσπερ Χαιρήμων εἶπε, τῶν χρωμένων γὰρ τοῖς τρόποις κεράννυται. τἀναντία οὖν ποιεῖ οὐ ταυτά, ἀλλὰ τὰ μὴ ὁμοίως ἔχοντα, ὥσπερ καὶ τὸ πῦρ, τὰ μὲν ξηραίνει, τὰ δὲ ὑγραίνει, ἀλλ' οὐ ταυτά. καὶ τήκει τὸ κρύσταλλον, καὶ πήγνυσι τοὺς ἅλας. καὶ ὁ οἶνος ὑγρὸς γὰρ ἐστὶ τὴν φύσιν, τοὺς μὲν βραδυτέρους ἐπιτείνει καὶ θάττους ποιεῖ, τοὺς δὲ θάττους ἐκλύει. διὸ ἔνιοι τῶν μελαγχολικῶν τῇ φύσει, ἐν ταῖς κραιπάλαις ἐκλελυμένοι γίνονται πάμπαν. ὥσπερ γὰρ τὸ λουτρὸν τοὺς μὲν συνδεδεμένους τὸ σῶμα καὶ σκληρούς, εὐκινήτους ποιεῖ, τοὺς δὲ εὐκινήτους καὶ ὑγροὺς ἐκλύει, οὕτως ὁ οἶνος, ὥσπερ λύων τὰ ἐντός, ἀπεργάζεται τοῦτο.

ιη' Διὰ τί ἡ κράμβη παύει τὴν κραιπάλην; ἢ ὅτι τὸν μὲν χυλὸν γλυκὺν καὶ ῥυπτικὸν ἔχει· διὸ καὶ κλύζουσιν αὐτῷ τὴν κοιλίαν οἱ ἰατροί· αὐτὴ δὲ ἐστὶ ψυχρά. σημεῖον δέ, πρὸς τὰς σφοδρὰς διαρροίας χρῶνται αὐτῇ οἱ ἰατροὶ ἕψοντες σφόδρα καὶ ἀποξυλίζοντες καὶ ψύχοντες. συμβαίνει δὲ τῶν κραιπαλώντων, τὸν μὲν χυλὸν αὐτῆς εἰς τὴν κοιλίαν κατασπᾶν τὰ ἐν αὐτῇ ὑγρὰ οἰνηρὰ ἄπεπτα ὄντα. αὐτὴν δὲ ὑπολειπομένην ἐν τῇ ἄνω κοιλίᾳ, ψύχειν τὸ σῶμα. ψυχομένου δέ, ὑγρὰ λεπτὰ συμβαίνει δὲ εἰς τὴν κύστιν φέρεσθαι. ὥστε καὶ κατ' ἀμφότερα τῶν ὑγρῶν ἐκκρινομένων διὰ τοῦ σώματος καὶ καταψυχομένου, εἰκότως ἀκραίπαλοι γίνονται. ὁ γὰρ οἶνος ὑγρὸς καὶ θερμός ἐστιν. ἔτι δὲ συμβαίνει τῶν ὑγρῶν κατασπωμένων καὶ ἐκκρινομένων κάτω, καὶ πνεῦμα ἐπάγεσθαι αὐτοῖς ὅθεν τὸ θερμὸν ἀπὸ τοῦ οἴνου εἰς τὴν κεφαλὴν φερόμενον, τὸν μὲν κάρον καὶ τὴν κραιπάλην ποιεῖ. κάτω δὲ ὁρμήσαντος καὶ καταψυχομένου τοῦ σώματος διὰ τὰ εἰρημένα, λύεται ἡ κραιπάλη. ὅτι πόνος ἐστὶ γὰρ ἡ κραιπάλη, ζέσις τις θερμασίας ἀλλήγουσα. λυπεῖ δὲ μᾶλλον τῆς μέθης. ὅτι ἐκείνη μὲν ἐξίστησιν, ἡ δὲ κραιπάλη ἐν ἑαυτοῖς οὖσι τὸν πόνον παρέχει. καθάπερ οὖν καὶ ὑπὸ τῶν πυρετῶν οἱ λαμβανόμενοι πιέζονται μᾶλλον ἢ ἀλγοῦσι, παρ' αὐτοῖς δὲ γινόμενοι αὐτοὶ κουφισθέντες τοῦ πάθους ἀλγοῦσι. ταυτὸ γάρ ἐστι καὶ ἐπὶ τῆς κραιπάλης καὶ ἐπὶ τῆς μέθης συμβαίνει.

Chæremó

Crambe .i. Brassica soluit crapulá

ῥυπτικόν discutieté theodo. uidetur itaq: legere ἐρυπτικόν at uet9 interpres purgatiuú

κλύζουσι clysterizant uetus in.

διάρροιαι aluidefectiones

ἀποξυλίζοντες stipitem adimentes. uet9 interpres. at theo. callo purgare

κάρον grauitaté

κραιπάλη | Dra
μέθη
Crapulę diff°.

ΘΟ καὶ uidet[r] theodor9 legere. Sec9 uet9 in.

et emendo ὁμοίως ex utraq: traductioe - sed ex theodoro addenda negatio · is nō cupienti similis·

ιθ' Διὰ τί μᾶλλον ἐμετικοὺς ποιεῖ ὁ ὑδαρὴς οἶνος, ἢ τὸ ὕδωρ καὶ ὁ ἄ-
κρατος, ἢ ὅτι ἐμετικὰ μὲν μάλιστα τὰ ἐπιπολαστικά, καὶ ὅσα ἀηδῆ ἐστιν.
ἔστι δὲ ὁ μὲν οἶνος κατακρουστικός, τὸ δὲ ὕδωρ λεπτὸν καὶ οὐκ ἀ-
ηδές. διὰ μὲν οὖν τὸ λεπτὸν καὶ οὐκ ἀηδὲς εἶναι, κάτω διέρχεται τα-
χύ. διὰ δὲ τὸ μὴ ἀηδές, οὐ ποιεῖ καρδιωγμόν. ὁ δὲ κεκραμμένος λί-
αν, οὐκ ἔστι λεπτός, ὥστε διαρρεῖν ταχύ. διὰ δὲ τὸ μικρὸν ἔχειν
οἴνου ἀηδής ἐστι. παρὰ τὰ εἰωθότα γὰρ τὴν αἴσθησιν, τὰς πλείους ἐν αὐτῇ
κινήσεις ἐμποιεῖν. τὴν τάχα τοῦ οἴνου καὶ τοῦ ὕδατος. αἰσθηταὶ
γὰρ ἄμφω γίνονται. ὁ δ' ἄκρατος, τὴν μὲν τοῦ ὕδατος αἴσθησιν
ἀφανίζει. οἴνου δὲ μαλακοῦ ποιεῖ αἴσθησιν. διὸ ἡδέως πίνεται. ἀη-
δὴς δὲ ὢν ὁ ὑδαρὴς οἶνος, ἐπιπολαστικός ἐστι. τὸ δὲ τοιοῦτον ἐμε-
κ' τικόν ἐστι.   Διὰ τί μεθύοντες μάλιστα διαισθανόμεθα τὰ ἄλυ-
κα καὶ τὰ μοχθηρὰ ὕδατα, νήφοντες δὲ ἧττον. ἢ ὅτι τὰ λυπηρὰ μᾶλ-
λον δῆλα τοῖς μὴ ἐπιθυμοῦσι. τοὺς δὲ ἐπιθυμοῦντας λανθάνει. ὁ μὲν
οὖν ἡδέως ἔχων [ἡδέως] ἐπιθυμοῦντι ἔχει. ὁ δὲ νήφων, οὕτως ἔχει. ὁ
κα' δὲ μεθύων πλήρης.   Διὰ τί τοῖς μεθύουσι σφόδρα, κύκλῳ
πάντα φαίνεται φέρεσθαι. καὶ ἤδη ἁπτομένης μᾶλλον τῆς μέ-
θης, ἀριθμεῖν τὰ πόρρω οὐ δύνανται. διὸ καὶ σημεῖον τῆς μέθης ποι-
οῦνται αὐτό τινες. ἢ ὅτι κινεῖται ὑπὸ τῆς θερμότητος τοῦ οἴνου ἡ
ὄψις πυκνάκις. ὥσπερ οὖν ὅταν ὑποθῇ τις ὑπὸ τὸν ὀφθαλμόν, δύο
φαίνεται, οὕτω καὶ τοῖς μεθύουσιν. οὐδὲν γὰρ διαφέρει. ἐὰν μὲν ὑποθῇ
κινῇ δὲ τὴν ὄψιν, οὐδὲ ἂν ἔξωθεν ἢ ἔσωθεν. ἀμφοτέρως γὰρ τὸ αὐτὸ
πάσχει ἡ ὄψις. ὥστε οὐ δοκεῖ μὲν ἓν τὸ ὁρώμενον. καὶ τὸ πόρρωθεν ἔτι
μᾶλλον. ἔτι γὰρ ἧττον κρατεῖ ἀποτεινομένης τῆς ὄψεως, τὸ πλέ-
ον τὸ διάστημα ἐπὶ τῶν ἄκρων ποιεῖ, ἢ ἐγγὺς αὐτῇ κίνησις. ἐὰν οὖν σφό-
δρα κινῆται καὶ ὁμαλῶς ἄνω καὶ κάτω, ἧττον κρατήσει τοῦ πόρ-
ρω. πάντα οὖν ἀποτεινόμενα κύκλῳ φέρεται. οἷον οἰστοὶ καὶ τὰ ἀ-
πεστώμενα. καὶ ἡ ὄψις οὖν διαθεῖσα, ταὐτὸ πάσχει. ὥσπερ οὖν εἰ
πόρρω ἐφέρετο. διαφέρει οὐθὲν τὴν ὄψιν κινεῖν, ἢ τὸ ὁρώμενον.
κβ' ταὐτὸ γὰρ ποιεῖ πρὸς τὸ φαίνεσθαι.   Διὰ τί ὅταν ἀθρόως πί-

(margin note:) addit theodor(us) q(uod) autem in tristitia est cupientis hic gerit affectu(m). Interpreti aute(m) ueteri no(n) additur

νωσι ξηρότεραι αἱ κοιλίαι γίνονται, ὅτι δεῖ ὑγραίνεσθαι μᾶλλον
ὑπὸ τοῦ πλείονος. ἢ ὅτι τοῦ μὲν πολλοῦ καὶ ἀθρόου, οὐ κρατεῖ ἡ κοι-
λία. ἀλλ' εἰς τὸν αὐτὸν ἔρχεται τόπον ἀπαθές. ἔστι δὲ ὑγροῦ τόπος ἀ-
πέπτου ἡ κύστις. τοῦ δ' ὀλίγου κρατεῖ, καὶ πέττει. ὥστε μένον, ὑγραίνει.
κγ' Διὰ τί μᾶλλον κραιπαλῶσιν οἱ ἄκρατον πίνοντες, ἢ οἱ ἄκρα-
τον, ἢ διὰ τὴν λεπτότητα εἰς πλείους τόπους ὁ κεκραμμένος εἰ-
σέρχεται, καθάπερ ἐν τοῖς ἱματίοις. καὶ ἔστι δυσεξαγωγότερος.
τὸ δὲ ὕδωρ λεπτομερέστερον μέν, ἀλλ' οὐ ξόδον. ἢ διότι ἔλαττον πίνου-
σιν ἄκρατον διὰ τὸ μὴ δύνασθαι, καὶ μᾶλλον ἀπεμοῦσιν. ἔτι δὲ
κδ' συμπέττει τὰ λοιπά. ταὐτὸ δέ ἐστι πρόβλημα.   Διὰ τί οἱ ἀπὸ τοῦ
ἀκράτου ἀποθνήσκουσιν, ἐάν τις προϊσχναίνας πολὺ πίῃ. ἢ μὴ προ-
ϊσχναίναντες δὲ πολλοὶ τῶν φιλοπότων, ἀθρόον πολὺ πίνοντες, ξη-
ροὶ γίνονται. δοκεῖ γὰρ ὁ τοιοῦτος τῷ θερμαίνειν μὲν τὴν φύσιν τὸ
τὸ ζῆν. τὸ δὲ ἀποθνήσκειν, κατάψυξις. ὥσπερ ἀπὸ τοῦ κωνείου σβεν-
νυμένου καὶ μικροῦ τοῦ θερμοῦ τοῦ οἰκείου. ἀλλὰ τρόπον ἕτερον. τὸ
μὲν γάρ ἐστι τῇ ψυχρότητι, πήγνυσι τὸ ὑγρὸν καὶ θερμόν. ὁ δὲ οἶνος τῇ θερ-
μότητι τῇ αὑτοῦ, μαραίνει τὴν φυσικὴν θερμότητα. ὥσπερ
οὖν ὑπὸ τοῦ πολλοῦ πυρὸς ἢ ἡλίου, τὸ ὀλίγον πῦρ ἀποσβέννυ-
ται, οὕτω καὶ ἐν τοῖς σώμασι θερμότης ὑπὸ τῆς ἐν τῷ οἴνῳ, ἐὰν ὑπερ-
κε' βάλλῃ.   Διὰ τί οἱ μεθύοντες ἀεὶ δάκρυοι μᾶλλον. ἢ ὅτι θερ-
μοὶ καὶ ὑγροὶ γίνονται. ἀκρατεῖς οὖν εἰσιν, ὥστε ὑπὸ μικροῦ κινεῖσθαι.
κϛ' Διὰ τί ~~ἧττον μεθύσκονται, τοῖς μεγάλαις [illegible]~~
~~[illegible]~~
~~[illegible]~~ ἢ ὅτι δεῖ πρὸς τὴν ὕπνου
ὑγρότητα ἐνυπάρχειν θερμήν. ἂν γὰρ ἢ πεπτός. ἂν δὲ μὴ ζέῃ ἡ
ὑγρότης ὀλίγη ἢ δύσπεπτος, οὐ γίνεται ὕπνος. διὸ καὶ τοῖς κόποις καὶ
μετὰ τὰ σιτία καὶ τοὺς πόνους, ὑπνωτικώτατοι γίνονται ὑπὸ τῆς
θέρμης. τοῖς δὲ μελαγχολικοῖς καὶ [τοῖς μεγάλαις πυρείαις, ἀγρυ-
πνίαι] τοῖς μὲν ὅτι κατέψυκται τούτων. τοῖς δέ, ὅτι οὐκ ἔστιν ἢ
ὀλίγον. φανερὸν οὖν ὅτι εἰς ταῦτα βλεπτέον καθ' ἑτέρου τῶν παθῶν.

ΓΓΓ   ccc

(margin notes:) ἀρίσκει ad lachrymandu(m) propensi

Ad somnu(m) creandu(m) calidu(m) adesse humore(m) opus est

hec uerba supra precesserunt problemate ·ιβ'· loco aute(m) illoru(m) debent hec substitui τοῖς μεθύουσι ὕπνος οὐ γίνεται - ex utraq: traductioe

∴ καὶ . deest ex utraq: traductioe

τοῖς μεγάλαις πυρείαις ἀγρυπνία . ex ueteri tralatioe emendo

κζ'. Διὰ τί οἱ οἰνόφλυγες τρέμουσι, καὶ μᾶλλον ὅσῳ ἂν ἀκρατέστερον πίνωσιν. ἔστι δὲ ὁ μὲν οἶνος θερμαντικός· ὁ δὲ τρόμος γίνεται μάλιστα ἀπὸ ψυχροῦ· διὸ οἱ ῥιγῶντες μάλιστα τρέμουσι. πολλοῖς δὲ ἤδη χρωμένοις μόνῳ ἀκράτῳ τροφῆς χάριν, τρόμοι ἰσχυροὶ συνέβησαν, ὥστε τὰ περιείληφ τοὺς θλίβονται. ἐν δὲ θερμῷ ὕδατι λουόμενοι, ἀναισθήτως εἶχον. ἕτεροι δὲ τοῦτον τὸν τρόπον διαιτώμενοι, καὶ τρίψεσι χρώμενοι καὶ τροφῇ κρέασι, πρὸς ἀποπληκτικὰς ἀρρωστίας ἦλθον. τρόμοι μὲν διὰ τὴν ἀκινησίαν, ἧττον ἐνέπιπτον. πόνος δὲ ἰσχυρὸς καὶ τὸ μὴ δύνασθαι ἡσυχάζειν. ἔτι, τοῦ μὲν τρόμου αἰτία, ἡ ψυχρότης· φαίνονται γὰρ ὥσπερ εἴρηται, οἵ τε ῥιγῶντες τοῦτο πάσχοντες, καὶ οἱ σφόδρα γέροντες· ἀμφοτέρων ἢ τούτων, τῶν μὲν τὸ πάθος ψυχρόν, τῶν δὲ ἡ ἡλικία. ὁ δὲ οἶνος, θερμαντικώτατος. ὥσθ' ὑπεναντίον ἔτι συμβαίνειν οὐθὲν κωλύει γίνεσθαι ταὐτὸ ὑπὸ ἐναντίων, μὴ ὡσαύτως δὲ ποιούντων· οἷον καὶ ἀπὸ τῶν πάγων ἀποκάεται ὑπὸ θερμοῦ, ὅταν ὁ πάγος ἀθρόον ποιήσῃ τὸ θερμόν· ὥστε ἔστι μὲν ὡς ὑπὸ ἐναντίων τὸ πάθος τὸ αὐτὸ συμβαίνειν, ἔστι δὲ ὡς ὑπὸ τοῦ αὐτοῦ τὸ αὐτό. ὁ δὲ τρόμος γίνεται μὲν ὑπὸ ἐνδείας θερμοῦ, οὐ παντός, ἀλλὰ τοῦ οἰκείου· φθείρεται δὲ τὸ θερμόν, ἢ μαράνσει, ἢ σβέσει· σβέσει μὲν ὑπὸ τῶν ἐναντίων, ὑπὸ ψυχροῦ καὶ ὑγροῦ· μαράνσει δέ, ὑπὸ ἐνδείας τροφῆς· οἷον οἱ λύχνοι ὅταν μὴ ἔχωσιν ὑπέκκαυμα, μηδὲ ἔλαιον· ἢ ὑπὸ θερμοῦ ἀλλοτρίου· οἷον τὸ πῦρ ἐν τῷ ἡλίῳ καὶ οἱ λύχνοι παρὰ τῷ πυρί. οἱ μὲν οὖν ῥιγῶντες ὑπὸ ψυχροῦ σβεννυμένου τοῦ θερμοῦ τρέμουσι· διὸ καὶ τοῖς προεχομένοις τὸ θερμὸν ἀφαιρεῖ καὶ γίνονται· ἐγκατακλειόμενον γὰρ τὸ ψυχρὸν εἴσω καὶ ἀντιπεριϊστάμενον, ἵστησι τὰς τρίχας· καὶ τῷ ἀρχομένῳ πυρέττειν τὸ γινόμενον εἶδος, διὸ ὁμοίαν αἰτίαν γίνεται. ἐν δὲ τῷ γήρᾳ τὸ θερμὸν μαραίνεται, διὰ τροφῆς ὑπολείψεως· τροφὴ μὲν γάρ, ὑγρὸν τῷ θερμῷ· τὸ δὲ γῆρας ψυχρόν. οἱ δὲ οἰνόφλυγες, μαραινομένης μὲν διὰ τῆς οἰκείας θερμότητος, τρέμουσι· καὶ ἐπειδὰν ἄλλοι τοῦ πάσχουσι διὰ τὸν οἶνον, τὸν αὐτὸν τρόπον τοῖς διὰ τὸ γῆρας. ἀλλ' ἔτι τρίτος ὁ τρόπος.

.·. sf. καὶ ἀπό ex utraq: traductiōe τῆς

ἀποπληξίας ἀῤῥωσίας .i. stuporē attonitū theodor)

Cadē affectionē posse p̄uenire a duob) contrariis

Dupliciter calidū deperire uel marcore uel extinctu · tradit hoc etiam Aristoteles in libro de iuuentute & senectute

ὑπέκκαυμα fomes

Antiperistasis

Origo frigoris in incipiente febricitante

.·. ἢ uel οἷον legendū

δηλονότι οἴνῳ

τῆς τοῦ θερμοῦ φθορᾶς· ὅταν γὰρ ὑπερβάλλον τι χέηται ἐν τῷ σώματι πολλὴ οὖσα ἡ θερμότης, ἢ ἀποσβέννυσιν, ἢ ἀσθενῆ ποιεῖ ἔτι τὴν οἰκείαν θερμότητα ἰσχυομένην· ἔστι γὰρ ὅταν μὴ κρατῇ τὸ κινοῦν τὸ κινούμενον· ὅταν ξύλον μακρὸν ἢ μέγα, μὴ ἀκρατῶς ἔχῃ τις τὸ ἄκρον τρέμει· γίνεται δὲ τοῦτο, ἢ τῷ τὸ ἐχόμενον μεῖζον εἶναι, ἢ τῷ τὸ κινοῦν ἔλαττον. συμβαίνει δὲ σβεννυμένου τοῦ θερμοῦ· δοκεῖ γὰρ αἴτιον τοῦ τε εἶναι τοῦ κινεῖσθαι τοῖς ζώοις, μὴ κρατεῖν τὴν φύσιν. σημεῖον δ' ὅτι διὰ ψυχρότητα γίνεται τὸ πάθος τοῖς οἰνόφλυξι, καὶ τοῖς πρεσβυτέροις· ὅτι αὐτοῖς εὐθὺς γίνεται ὁ τρόμος.

κη. Διὰ τί ὁ ἀκροθώραξ μᾶλλον παροινεῖ τοῦ μεθύοντος μᾶλλον ἢ νήφοντος. ἢ ὅτι ὁ μὲν νήφων, ὥσπερ ἐκεῖνος· ὁ δὲ πάνυ τε πάσι μεθύων, διὰ τὸ τὰς αἰσθήσεις ἐμπεπλασμένας εἶναι οὐδὲ ὁμοίως δυνάμενος τὸ βάρος φέρειν, οὐκ ἐκείνων ἐκείνων οὐ παροινεῖ. ὁ δὲ ἀκροθώραξ κεῖται· ἐν διὰ τὸν οἶνον, κακῶς ἐκεῖνος. ὥστε παροιμεῖν ὥσπερ καὶ Σάτυρον τὸν Κλαζομένιον, ὄντα φιλολοίδορον φασὶν δικῶν· ἵνα ὑπὲρ τὸ πρᾶγμά τι λέγῃ ἐν μὴ λοιδορῆται, πάντα ἐπιπλάσειν· ἵνα μὴ ἀκούων εἰς λοιδορεῖαν τρέπῃ· παυομένου τοῦ ἀντιδίκου, ἀφεῖλε· μικρᾷ ἀκούσας ἔτι λέγοντος, οὐκ ἀπείχετο, ἀλλὰ κακῶς ἔλεγε· διὰ τὸ αἰσθάνεσθαι μὲν κακῶς ἢ κρίνειν.

κθ. Διὰ τί πρὸς τὸν γλυκὺν οἶνον ἡδέως ὁρῶντες, οὐ γίνονται οἰνόφλυγες. ἢ ὅτι οὐκ ἴδιον χυμὸν ἔχει ὁ γλυκύς· ἀλλὰ μᾶλλον τροφῆς· φιλόγλυκυς ἢ φίλοινος ἔσται ὁ κεκρατημένος.

λ. Διὰ τί οἱ οἰνόφλυγες ὑπὸ τοῦ ἡλίου θερμαινόμενοι, μάλιστα χαίρουσιν. ἢ ὅτι δέονται πέψεως ἔτι ὅλως διὰ τὸ κατεψύχθαι· διὸ ἐν αἱ ἀποπληξίαι καὶ αἱ ἀποναρκώσεις τὰ πολλὰ μετὰ τοὺς πότους γίνονται. Διὰ τί τοῖς μεθύουσιν ἐνίοτε πολλὰ φαίνεται τὸ ἓν ὁρῶσιν. ἢ ὅτι αἱ ἀρχαὶ τῆς ὄψεως ἔξωθεν κινοῦνται ὑπὸ τοῦ οἴνου· καθάπερ ἡ ὅλη κεφαλή· κινουμένων δὲ τῶν ἀρχῶν οὐκ εἰς ταὐτὸ συμβάλλουσιν αἱ ὄψεις· ἀλλ' οἷον ἑκάτερον ἑκάτερον ὁρῶμεν, διὸ δύο φαίνεται· ταὐτὸ δὲ τοῦτο γίνεται, κἂν ἐάν τις κάτωθεν πιέσῃ τὴν ὄψιν· ἐκίνησε γὰρ τὴν ἀρχὴν τῆς ὄψεως· ὥστε μηκέτι εἰς ταὐτὸ συμβάλλειν τῇ ἑτέρᾳ. ἡ μὲν οὖν τοιαύτη κί

Tertius modus corruptionis calidi

Pulchra comparatio

ἀκροθώραξ leuiter a uino tenetur

ἐμπεπλασμένας theo. interceptas / uetus interpres suffocatas

Satyrus clazomeni)

Jucunda historia de satyro Clazomenio

Apoplexię. Attoniti

ἀποναρκώσεις stupores

.·. οὐ ex utraq: traductore

ῥῆσις, ἔξωθεν γίνεται. ἡ δὲ ἀπὸ τοῦ οἴνου ἔσωθεν. διαφέρει δ' οὐθέν.
λβʹ. ταῦτα γὰρ ποιήσει ὁπωσοῦν κινηθεῖσα. Διὰ τί τῶν μεθυόντων ἡ
γλῶσσα πταίει; πότερον ὅτι καθάπερ τὸ ὅλον σῶμα ἐν τῇ μέθῃ σφάλ-
λεται, οὕτω καὶ ἡ γλῶσσα σφαλλομένη πταίει, καὶ οὐ δύναται τὴν λέ-
ξιν διαρθροῦν, ἢ μυσπογγώδης ἐστὶν ἡ τῆς γλώττης σάρξ. βρεχομένη
οὖν ἐξαίρεται. τοῦτο δὲ συμβαῖνον τοῖς διὰ τὸ πάχος τὸ ἀπὸ τοῦ ὄγ-
κου, δυσκινητοτέρα οὖσα, οὐ δύναται ἀκριβοῦν. ἢ διότι οὐκ ἐν ὑ-
γρῷ δυνάμεθα λαλεῖν, διὰ τὴν ἀπουσίαν τοῦ ἀέρος. οὐδ' ὅταν
εἰς τὸ στόμα λάβωμεν ὑγρόν. ἐν τῇ μέθῃ οὖν ἐν ὑγρῷ πολλῷ τῆς
γλώττης οὔσης, οὐκ ἀκριβοῦμεν. τὸ δὲ μὴ ἀκριβοῦν ἐστι, τὸ πταίειν. ἢ
διότι ἐν ταῖς μέθαις ἡ ψυχὴ συμπαθὴς γινομένη, πταίει. τῆς ψυ-
χῆς οὖν τοῦτο πασχούσης, εἰκὸς καὶ τὴν γλῶτταν ταὐτὸ πάσχειν.
ἀπ' ἐκείνης γὰρ ἡ τοῦ λέγειν ἀρχή. διὸ καὶ χωρὶς τῆς μέθης ὅταν ἡ ψυ-
χὴ πάθῃ τι, συμπάσχει καὶ ἡ γλῶττα. οἷον τῶν φοβουμένων.
λγʹ. Διὰ τί οἱ οἰνόφλυγες καὶ οἱ περὶ τὴν θάλασσαν, χαίρουσιν ἡλίῳ;
ἢ διότι οἱ μὲν οἰνόφλυγες, δέονται πέψεως. καὶ ἅμα συμβαίνει τι-
νὰς τόπους κατεψῦχθαι. διὸ καὶ ἀποπληξίαι καὶ ἀποναρκώσεις
μετὰ τοὺς πότους. οἱ δὲ θαλάττιοι διὰ τὸ ἀεὶ ἐν ὑγρῷ εἶναι τοῦτο
λδʹ. ποιοῦσι. Διὰ τί οἱ μεθύοντες, ἀδύνατοι ἀφροδισιάζειν. ἢ ὅτι δεῖ
μᾶλλον τινὰ τόπον ἐκθερμανθῆναι τοῦ ἄλλου σώματος. οἱ δὲ διὰ
τὸ πλῆθος τῆς θερμασίας, ἀδύνατοι. ἀποσβέννυται οὖν τὸ ἀ-
πὸ τῆς κινήσεως θερμὸν γινόμενον ὑπὸ τοῦ περιέχοντος. ἢ διότι δεῖ
μὲν ἐκθερμανθῆναι τοὺς κάτω τόπους. ὁ δὲ οἶνος ἄνω πέφυκε
φέρεσθαι, ὥστ' ἐκεῖ ποιεῖ τὴν θερμασίαν ἐντεῦθεν δ' ἀπάγει. καὶ με-
τὰ τὰ σιτία, ἥκιστα ἀφροδισιαστικοί. καὶ κελεύουσιν ἀεὶ σιτεῖν μὲν πολύ.
δεῖ πιεῖν δὲ ὀλίγον. ἀπέπτων μὲν γὰρ ὄντων, ἄνω φέρεται. πεπεμμέ-
νων δὲ, κάτω τὸ θερμὸν καὶ τὸ ὑγρόν. ἡ δὲ τοῦ σπέρματος γένεσις ἐκ τού-
των. οἱ κοπιῶντες, ἐξονειρώττουσιν. ὅτι ὑγρὸς καὶ θερμὸς ὁ κόπος. ἐ-
ὰν δ' ὑπάρχῃ τῷ τόπῳ τούτῳ γίνηται ἡ περίπτωσις, συμβαίνει ἐξονει-
ρώττειν. διὰ ταὐτὸ δὲ καὶ τοῖς ἀρρωστήμασιν ὅσοις γίνεται συμβαί-

νει.

Cur ebriorum lingua oberrat

μυσπογγώδης Mollis & instar spongiæ

ἀποπληξίαι καὶ ἀποναρκώσεις μετὰ τοὺς πότους γίνονται

ἐξονειρώττειν pollutione pati

Qui ueneri daturi operam sunt oportet multum prandere parum autem cibum in coena adhibere

Cur fatigatis per somnium profluit genitura

Labor humidos homines & calidos reddit

^ καὶ ὑγρούς. deest ex utraq: tralatione

νει καὶ τοῖς φοβουμένοις καὶ τοῖς ἀποθνήσκουσι συμβαίνει ὡσαύτως.
λεʹ. Διὰ τί νέοι ὄντες οὐροῦσι μᾶλλον ὅταν μεθυσθῶσιν, ἢ πρεσβύ-
τεροι; ἢ διὰ τὸ θερμοὺς εἶναι, πολὺ τὸ συγγενὲς εἶναι περίττωμα. διὰ
τὸ μὴ ἀναλίσκειν τὸ σῶμα τὸ ὑγρόν. ὥστε ὑπερχεῖται. πρεσβυτέ-
ροις δὲ γινομένοις, διὰ ξηρότητα τὴν ὑπερβολὴν ἀντισπᾷ τὸ σῶ-
μα. ἢ ὅτι μᾶλλον ὑπνωτικώτεροί εἰσιν οἱ νέοι τῶν πρεσβυτέρων.
διὸ τοὺς μὲν νέους καθυπνώσσονται, λανθάνει ἡ ὁρμὴ τοῦ οὔρου ἐκ-
πίπτουσα πρὶν διεγερθῆναι. τοὺς δὲ πρεσβυτέρους οὔ. καθάπερ
οὐδὲ τῆς ἔξωθεν κινήσεως οὐδὲν ἧττον τι λανθάνει αὐτοὺς ἡ ῥύσις. δῆ-
λον δέ. καὶ γὰρ αὐτοὶ οἱ νέοι ἐν τῷ βαθυτάτῳ ὕπνῳ μάλιστα
λϛʹ. ἐνουροῦσιν. Διὰ τί τὸ ἔλαιον πρὸς τὰς μέθας
συμφέρει. καὶ τὸ δύνασθαι πίνειν τὸ καταρρο-
φεῖν. ἢ διότι ἐρηνικόν ἐστι, τῷ
ὠθήματι προο-
δοποιεῖ.

ἀντισπᾷ

Oleum ad ebrietates conferre & urinam ciere

theodorus scribit: ideo puto legendum καταρροφεῖν uel τὸ καταρροφεῖν.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΟΣΑ ΠΕΡΙ ΑΦΡΟΔΙΣΙΑ.

Διὰ τί ὁ ἀφροδισιάζων καὶ ὁ ἀποθνήσκων, ἀναβάλλει τὰ ὄμ-
ματα, καθεύδων δὲ καταβάλλει. ἢ διότι ἄνωθεν τὸ θερμὸν
ἐξιὸν, ἀναστρέφει ἄνω πρὸς ὁρμάς. ἐν δὲ τῷ ὕπνῳ, κάτω συνάγεται.
διὸ ὅτε ἐπὶ κάτω συγκλείονται δὲ οἱ ὀφθαλμοὶ, διὰ τὸ μὴ ὑπάρχειν
βʹ ἔτι νοτίδα. Διὰ τί τῶν πλείοσιν ἀφροδισίοις χρωμένων ἐπιδή-
λως ταῦτα συνδιδῶσι τὰ ὄμματα καὶ τὰ ἰσχία, τὰ μὲν, ἐγγὺς ὄντα
ταῦτα, πόρρω. πότερον ὅτι καὶ αὐτῇ τῇ συνουσίᾳ ἐπιδήλως ταῦ-
τα συμπονεῖ ταῦτα τῇ ἐργασίᾳ συνιόντα περὶ τὴν πρόεσιν τοῦ σπέρ-
ματος. συνεκθλίβεται οὖν μάλιστα ἐντεῦθεν ὅσον ἐστὶν εὔτηκτον τῆς
τροφῆς ἐν ὧ ἐστι διὰ τὴν θλῖψιν. ἢ διότι παραθερμαίνεται, τήκε-
ται μάλιστα. ὁ δ' ἀφροδισιασμὸς, θερμότητα ἐργάζεται. μάλιστα

Mulierosis manifeste oculi & clunes subsidunt

□ magna ÷ differentia in huius loci tralatione inter antiquum interprete(m) & The. Δ soluet Vet(us) m. ideo λύσ

ἢ ταῦτα θερμαίνεται, ἃ κινεῖται ἐν τῇ ἐργασίᾳ. οἱ δὲ ὀφθαλμοὶ τὰ περὶ τὴν ἕδραν, ὡς δήλως συμπονεῖ. οὔτε γὰρ μὴ συναγαγόντι τὰ περὶ τὴν ἕδραν ἐνδέχεται προέσθαι, οὔτε μὴ τῶν ὀφθαλμῶν καταβληθέντων. τὰ μὲν γὰρ περὶ τὴν ἕδραν συνιόντα, θλίβεται. οἷον ἐκθλίψεως τῇ χειρὶ τὸ ὑγρόν. ἡ δὲ τῶν ὀφθαλμῶν συναγωγή, τὰ ἀπὸ τοῦ ἐγκεφάλου. ὅτι δὲ μεγάλην ἔχουσι τὰ ὄμματα τὴν δύναμιν, ἡ ὄρχεις αὐτῶν πρὸς γένεσιν, δηλοῖ ἡ τῶν ἀτέκνων ἢ γονίμων γυναικῶν ἐν τοῖς ἀλείμμασι πεῖρα. ὡς δέον ταύτῃ διελθεῖν εἰς τὸ σπέρμα δύναμιν. πλείονα γὰρ ἀμφω τυγχάνει ὄντων πάντων ἀεί, ἀρχός τε καὶ ὄμμα. διὰ μὲν οὖν τὴν συνεργίαν, κοινωνεῖ τῆς θερμασίας. διὰ δὲ ταύτην, λεπτύνεται καὶ συναποκρίνεται λυὲν εἰς τὸ σπέρμα. οὔτε γὰρ ἂν μὴ πλεῖον ὁμοίως χύσει ἡ θερμότης ἔτι πλεῖον μὴ συμπονοῦν, οἷον ἐν τῇ κοιλίᾳ. αἱ γὰρ οἰνέφροι τῶν ἄλλων μάλιστα αἰσθάνονται διὰ τὸ γειτνιάσιν. καὶ αὕτη δὲ ἡ τοῦ σπέρματος πάροδος, παρὰ τοὺς τόπους τούτους οὖσα, ὡς δῆλόν ἐστι καὶ μὴ ἦν λε-

γ'. πτύνειν. ἀφαιρεῖ γὰρ ἄλλου, προστίθησι πλησιάζουσα. Διὰ τί καὶ οἱ ἀφροδισιάζοντες καὶ οἱ εὐνοῦχοι οὐ χρώμενοι ἀφροδισίοις, ὁμοίως ἀμφοτέροις τὰ ὄμματα πρὸς ὀξυωπίαν βλάπτονται. ἢ ὅτι τοῖς μέν, διὰ λαγνείαν. τοῖς δέ, διὰ τὴν πήρωσιν, τὰ ἄνω ξηρὰ γίνεται μᾶλλον τοῦ δέοντος. ὡς δῆλόν ἐστι δὲ ἐν τούτοις ὅσον τὸ ἔργον ἐστὶν ἀκριβές, ἡ δὲ ὄψις τοιοῦτον. κατάπω μὲν οὖν δὲ τῶν ὑγρῶν τὰ ἄνω ξηραίνεται ὁ μὲν ἀφροδισιασμός, δῆλον ὅτι τούτου τοῖς εὐνούχοις, τὰ σκέλη οἰδεῖ. καὶ αἱ κοιλίαι αὐτῶν λυτοί. ὡς κάτω

δ'. μεθισταμένου τοῦ ὑγροῦ. Διὰ τί ἄνθρωπος μόνον ὁπόταν ἄρχηται δύνασθαι ἀφροδισιάζειν ἡβᾷ. τῶν δ᾽ ἄλλων ζώων ὅσα τρίχας ἔχει, οὐθέν. ἢ ἐπειδὴ κατὰ τὰς ἡλικίας μεταβάλλει τὰ ζῷα εἰς τοὐναντίον. φωνή τε γὰρ βαρεῖα ἐξ ὀξείας γίνεται. καὶ δασύνεται ἐκ ψιλῶν. δῆλον οὖν ὡς καὶ τὰ ἐκ γενετῆς δασέα ζῷα ψιλοῖτ᾽ ἄν, ὅταν γίνοιτο σπερματικὰ γινόμενα. οὐ πάσχει δὲ τοῦτο, διὰ τὸ τὰ σπέρματα ξηρότερα γίνεσθαι καὶ ἀραιότερα. ἐξ ὧν θρὶξ φύεται. δῆλον δὲ ἐκ τοῦ μὴ ἐν ταῖς οὐλαῖς φύεσθαι τρίχας. μὴ δὲ τοῖς παιδίοις καὶ γυναιξίν.

ι'. γυναιξίν. Διὰ τί ἡ ἀνυποδησία οὐ συμφέρει πρὸς ἀφροδισιασμούς. ἢ ὅτι τὸ μέλλον ἀφροδισιάζειν σῶμα, δεῖ τὰ ἐντὸς θερμὸν εἶναι καὶ ὑγρόν. τοιοῦτο δὲ ἐν τοῖς ὕπνοις μᾶλλον, ἢ ἐν τῷ ἐγρηγορέναι. διὸ καὶ ταχὺ καὶ ἄνευ ἐργασίας οἱ ἐξονειρωγμοὶ γίνονται. ἐγρηγοροῦσι δὲ μετὰ πόνου. ἅμα δὲ τὸ σῶμα τοιοῦτον. καὶ οἱ πόδες ὑγρότεροι καὶ θερμότεροι. σημεῖον δέ, ὅτι καθεύδοντες θερμοί, ὡς ἅμα τοῦ ἐντὸς οὕτως ἔχοντος. ἡ δὲ ἀνυποδησία, τοὐναντίον ποιεῖ. ξηραίνει γὰρ καὶ ψύχει. ὥστε εἴ τι ἀδύνατον μὴ θερμαινόντων ἀφροδισιάσαι ἤ τι χαλεπόν, ἀνάγκη ἀσύμφορον εἶναι, πρὸς τὴν τῶν ἀφροδισί-

ε'. ων χρῆσιν. Διὰ τί ἐκλύεται μάλιστα τῶν ζώων ἀφροδισιάσας ὁ ἄνθρωπος. ἢ διότι πλεῖστον προΐεται σπέρμα κατὰ λόγον τοῦ σώματος.

ζ'. Διὰ τί δὲ πλεῖστον προΐεται. ἢ ὅτι ἥκιστα ἐκπονεῖ τὴν τροφήν. καὶ φύσει ὑγρὸν καὶ θερμόν ἐστι τῶν ζώων μάλιστα. ὧν τὸ μὲν ποιεῖ σπέρματος πολύ. τὸ δέ, τὴν φύσιν σπερματικὴν ποιεῖ. καὶ γὰρ τὸ σπέρ-

η'. ματος τὸ γόνιμον ἐστὶν ἕως ἂν σώζηται. Διὰ τί τοῦ ἀφροδισιάζειν γινομένου διὰ θερμότητα, τοῦ δὲ φόβου ὄντος ψυκτικοῦ καὶ τοῦ ἀποθνήσκειν, ἐνίοις ὅταν γένωνται ἐν τούτοις τοῖς πάθεσι σπέρμα προέρχεται. ἢ ὅτι ψυχομένων ἐνίων τόπων, ἕτεροι ὑποθερμαίνονται. τήν τε οἰκείαν ἔχοντες θερμότητα, καὶ δεχόμενοι τὴν τῶν καταψυχομένων τόπων. ὥστε καταψυχομένων μέν, συμβαίνει οὐ διὰ τὸ ψύχεσθαι μόνον, ἀλλὰ καὶ διὰ τὸ θερμαίνεσθαι. δῆλον δὲ ἐπὶ τῆς ὄψεως. τῶν γὰρ φοβουμένων τὰ ἄνω λειφαιμεῖ, τὰ δὲ κάτω ὑγραίνεται. ἡ κοιλία καὶ κύστις λύεται. ὑπιὸν οὖν τὸ θερμόν, ἐν τῷ φόβῳ κάτω. ἐν δὲ τῷ θανάτῳ, κάτωθεν ἄνω, ἐξυγραῖνον τῇ θερ-

θ'. μότητι, ποιεῖ τὴν τοῦ σπέρματος ἔξοδον. Διὰ τί οὐδὲ εἷς μὴ ὀργῶντα, οὔτε ἀφροδισιάζειν, οὔτε ἐμεῖν, οὔτε πτερνύσθαι, ὅτι φῦσαν ἀφιέναι. ἢ ὅτι μὴ ὀργῶντες ὁμοίως ἔχομεν τοῖς ἐκ γῆς ἀνασπωμένοις, οἷς προσεκπέπεται πολὺ ξύλον. ἢ ἐγκαταλείπεται ἀπορραγέν. ἅπαν γὰρ ὅλον ἐστὶν ἐξαρθῆναι, κολοβὸν δὲ ὑπολείπεται. πλείω χρόνον παρέξει πόνον. ἐάν τε τις κινήσῃ πολλοστὸν τοῦ χρόνου

Oculi & partes sedi p(ro)xime perspicue in coitu collaborant

Oculi in coitu demittu(n)tur. Supra aute(m) dixit illos attolli. ergo co(n)fer & statue

Oculos & locu(m) his p(ro)ximu(m) uim ad p(ro)creatione(m) maxima(m) obtinere q(uod) experime(n)to constet

Cur mulierosis & eunuchis uisus diminuatur

Ex quibus ~~pilis~~ causis pili oriuntur. pulchru(m) documentu(m)

□ ss. σπερματικά. ex utroq(ue) interprete

∴ ss. ὅσον. the. quoru(m) op.

ἀνυποδησία nuditas pedu(m)

Nota de pollutionibus nocturnis

Homo plus seminis emittit proportione sui corporis q(uam) reliqua animantia & cur plus emittat

Homo animaliu(m) maxime humidu(m) & calidu(m)

λιφαιμεῖ

Cur timentibus uenter & uesica soluatur

ὀργῶντες turgete corpore

πτέρνυσθαι sternuere

φῦσαν ἀφιέναι flatu(m) emittere

□ δῆλον ὅτι θερμότητι, ut e uestigio subdit

Diuina & aristotele uere digna doctrina

περαίνει· οὐκ ἐν τῇ αὐτῇ χώρᾳ ὄν. ἃ συμβαίνει τοῖς μὴ ὀργῶσι, ποιοῦσί τι τῶν εἰρημένων.

ι'. Διὰ τί νήστεις θᾶττον ἀφροδισιάζουσιν; ἢ διότι οἱ πόροι κενότεροι οἱ τοῦ σώματος νήστεσι, πλήρεσι δὲ οὔ. πλήρεις κωλύουσι γὰρ τὴν εἰς τὸ σπέρμα ὑγρότητα διεξιέναι. δῆλον δὲ ἐπὶ τῆς κύστεως· οὐ γὰρ δύνανται πλήρους οὔσης ταχὺ ἀφροδισιάζειν.

Cur iuuenes odio habeant eas quas primum ineunt foeminas

ια'. Διὰ τί οἱ νέοι ὅταν πρῶτον ἀφροδισιάζειν ἄρχωνται, αἷς ἂν ὁμιλήσωσι μετὰ τὴν πρᾶξιν μισοῦσιν; ἢ διὰ τὸ μεγάλην γίνεσθαι τὴν μεταβολήν· τῆς γὰρ συμβαινούσης ὕστερον ἀηδίας μεμνημένοι, ὡς αἰτίαν οὖσαν τὴν πλησιάσασαν, φεύγουσι.

ιβ'. Διὰ τί οἱ ἱππεύοντες ἀφροδισιαστικώτεροι γίνονται; ἢ ὅτι διὰ τὴν θερμότητα καὶ τὴν κίνησιν, ταὐτὸ πάσχουσιν, ὅπερ ἐν τῇ ὁμιλίᾳ. διὸ καὶ τῇ τῆς ἐπεχούσης ἡλικίας ἐπιδόσει, ἔπειτα αἰδοῖα μείζω τὰ μόρια ταῦτα γίνεται, καὶ προωδοπεποιημένα πρὸς τὸν ἀφροδισιασμόν.

ἐπεχούσης ἡλικί

Cur corpus male olet his qui primum coire incipiunt

ιγ'. Διὰ τί ὅταν ἄρξωνται ἀφροδισιάζειν δύνασθαι, οἱ χρῶτες ὄζουσι, πρότερον δὲ οὐκ ὄζουσι πρὸ ἥβης, οὔτε οἱ ἄνδρες, οὔτε αἱ γυναῖκες; ἢ ὅτι τὰ ἄπεπτα, τούς τε χυμοὺς ἀεὶ χείρους ἔχει· ἢ γὰρ ὀξυτέρους, ἢ ἁλμυρωτέρους ἢ πικροτέρους· καὶ τὰς ὀσμὰς δυσωδεστέρας. τὰ δὲ πεπεμμένα, ἢ γλυκεῖς ἢ ἧττον ἀγλυκεῖς· καὶ τὰς ὀσμὰς εὐωδεστέρας ἢ ἧττον δυσώδεις. τοῦτο δέ ἐστι δῆλον ἐπὶ πάντων θεωμένοις καὶ φυτῶν καὶ ζώων. ἀφαιρεθέντων δὴ τῶν πέπτων, τὰ ὑπολειπόμενα ἄπεπτα. οἷον δὴ ἀπὸ τῆς τέφρας, ἀναλωθέντος τοῦ γλυκέος, πικρὰ ἡ κονία. καὶ ἱδρὼς ἁλμυρός. ἐπεὶ δὲ ἡ φυσικὴ θερμότης τὸ σπέρμα, ὃ μικρὸν ὂν πολλὴν ἔχει δύναμιν· ἐκ πολλοῦ γὰρ ὀλίγον συγκεφαλαιοῦται. διὸ ὅταν ἀπέλθῃ, λύονται ὡς ἐπὶ τὸ πολὺ, καὶ καταψύχονται· ὥστε ἀπεπτότεροι οἱ χυμοὶ μᾶλλον γίνονται, ἀνεστομωμένων τῶν πόρων, διὰ τὴν ἔκκρισιν αὐτοῦ. ἁλμυρότεροι οὖν οἱ τῶν παίδων ἱδρῶτες καὶ δυσωδέστεροι διὰ τὴν ἀπεψίαν. ἐὰν τύχῃ τοιαύτη ἡ φύσις οὖσα, ὥστε δυσώδη ἔχειν τὴν ὑπόστασιν τοῦ ἱδρῶτος, τούτοις μάλιστα σημαίνει, καὶ ἐν τοῖς τόποις

Cinis amarus est

Sudor cur salsus

τούτοις μάλιστα

/. Vetus interpres ex putrefactis. itaq: lego ^ ἐκ τῶν σηπομένων

τούτοις μάλιστα. οἷον μασχάλῃ. ἐν ᾧ μάλιστα καὶ τοῖς ἄλλοις.

ιδ'. Διὰ τί ἐὰν μὲν ἐκ τοῦ σπέρματος τοῦ ἡμετέρου γένηται ζῷον, τοῦτο ἡμέτερον ἔκγονόν ἐστιν, ἐὰν δὲ ἐξ ἄλλου τινὸς ἡμετέρου μέρους ἢ ἀποκρίσεως, οὐχ ἡμέτερον; γίνεται γὰρ σηπομένων πολλὰ ἐκ τοῦ σπέρματος. τί δὴ οὖν ἐὰν μὲν τοιοῦτον, οἷον ἡμεῖς, ἡμέτερον· ἐὰν δὲ ἀλλότριον, οὔ; ἢ γὰρ ἅπαντα προσήκει, ἢ οὐθέν; ἢ πρῶτον μὲν, ὅτι οὕτω μὲν ἐξ ἡμετέρου γίνεται, ἐκείνως δὲ ἐξ ἀλλοτρίου. ὅσα δὲ ἐξ ἀποκαθάρματος γίνεται καὶ ἐκκρίσεως. καὶ ὅλως οὐδὲν τοῦ ζώου ζῷον γίνεται, ἀλλ' ἢ τὸ σπέρμα. τὸ δὲ βλάπτον καὶ τὸ κακὸν, οὐθενός ἐστιν οἰκεῖον. οὐδὲ τὸ ἀλλότριον· οὐ γὰρ ταὐτὸ, τούτου εἶναι, καὶ τούτου ἀλλότριον ἢ ἕτερον, ἢ κακόν. αἱ δὲ ἐκκρίσεις καὶ σήψεις οὐχ ἡμέτεραι· ἀλλότριαι καὶ ἀλλότριαι τῆς φύσεως ἡμῶν εἰσιν. οὐ γὰρ ὅσα ἐν τῷ σώματι γίνεται, τοῦ σώματος θετέον· ἐπεὶ καὶ φύματα γίνεται, ἀφαιροῦσι καὶ ἐκβάλλουσι. καὶ ὅλως ὅσα παρὰ φύσιν, πάντα ἀλλότρια· παρὰ φύσιν δὲ πολλὰ καὶ τῶν συγγινομένων ἐστίν. εἰ οὖν ἐκ μόνου τούτου τῶν ἡμετέρων γίνεται ζῷον, ὀρθῶς ἂν τὸ ἐκ τούτων γινόμενον, ἔκγονον ἡμέτερον εἴη μόνον. καὶ ἐκ τοῦ σπέρματος δὲ ἂν τι ἄλλο γένηται, οἷον σκώληξ σαπέντος. ἢ καὶ τῇ μήτρᾳ διαφθαρέντος, οἷον ἃ λέγεται τέρατα, οὐκ ἔκγονα λεκτέον. ὅλως γὰρ ἐκ διεφθαρμένου γινόμενα, οὐκέτι ἐξ ἡμετέρου ὄντος γίνεται, ἀλλ' ἐξ ἀλλοτρίου· ὥσπερ τὰ ἐκ τῶν ἀποκρίσεων. οἷον τὸ ἐκ τῆς κόπρου. σημεῖον δὲ ὅτι ἐκ διεφθαρμένου πάντα τὰ τοιαῦτα γίνεται, μὴ ἐκ διαφθειρομένου τοῦ τοιούτου πέφυκε γίνεσθαι, οἷον ἂν ᾖ ἐξ οὗ τὸ σπέρμα. ἐὰν δὲ ἐξ ἵππου, ἵππος· ἐὰν δὲ ἐξ ἀνθρώπου, ἄνθρωπος. καὶ αὐτὸ τοῦτο τίμιον μὲν τὸ σπέρμα. οὐ δὲ πᾶν τὸ ἐν τῇ γενέσει γινόμενον. καὶ γὰρ ὑγρὸν, καὶ ὄγκος τίς καὶ σὰρξ γίνεται. τούτων δὲ διὰ τὸ μήπω ἔχειν τὴν φύσιν. ἀλλ' ἢ τοῦτο μόνον τῆς φύσεως, ὅτι οὕτω διακείμενα ὥστε γίνεσθαι ἐξ αὐτοῦ τοιοῦτον οἷον ἡμεῖς ἐκ διεφθαρμένου. οὐδὲ τοιοῦτον διὰ ταῦτα, οὐδὲ ἐξ ἑτέρου τῶν ἐν ἡμῖν. τὸ δὲ ἐκ τούτου διεφθαρμένου ἀλλὰ τέλος ἔχοντος τὸ ἔκγονόν ἐστιν ἡμέτερον.

Nihil eorum quae sunt animalis animal gignit praeter sperma

Aduertendum

ιε'. Διὰ τί ἐν τῷ ὕδατι ἧττον δύνανται ἀφροδισιάζειν οἱ

∴ theodorus omnes meatus omnesque pori . scilicet si aegescimus aliter grece legendū . Vetus autē interpres in pre(sen)ti lectioni consentit .

ἄνθρωποι. ἢ ὅτι ἐν ὕδατι οὐδὲν τήκεται, ὅσα ὑπὸ πυρὸς τήκεται· οἷον μόλιβδος ἢ κηρός. ἡ δὲ γονὴ τηκομένη, φαίνεται πυρί. πρὶν μὲν γὰρ ἢ ξείψει ἐκθερμαίνη, οὐ τήκεται. οἱ δὲ ἰχθύες οὐ τρίψει ὀχεύουσι.

οἱ ἰχθύες οὐ τρίψει ὀχεύουσι

ιε΄. Διὰ τί τὸ ἀφροδισιάζειν ἥδιστον, καὶ πότερον ἐξ ἀνάγκης, ἢ ἕνεκά τινος ὑπάρχει τοῖς ζῴοις. ἢ ἡδὺ μέν ἐστιν, ἤτοι διὰ τὸ ἀπὸ παντὸς τοῦ σώματος ἀπιέναι τὸ σπέρμα, ὥσπερ τινές φασιν· ἢ καὶ ἀπὸ παντὸς μὲν μὴ ἀπιέναι, διὰ δὲ τοιούτου, εἰς ὃν πάντες συμβαίνουσιν οἱ πόροι τῶν φλεβῶν. οὔσης οὖν τῆς ἡδονῆς ὁμοίας τῆς ἐν τῷ κνησμῷ, τοῦτο συμβαίνει γίνεσθαι, ὡς περὶ ὅλου τοῦ σώματος. ὁ δὲ κνησμός, ἡδύ ἐστιν. ὑγροῦ ἔξοδος πνευματώδους ἐγκατακεκλεισμένου παρὰ φύσιν. ἡ δὲ γονή, τοιοῦτον εἰς τὸ κατὰ φύσιν ἔξοδος. ἔστι δὲ καὶ ἐξ ἀνάγκης ἡδύ. καὶ ἕνεκά τινος. ἐξ ἀνάγκης μέν, ὅτι ἡ εἰς τὸ κατὰ φύσιν ὁδός, ἡδύ ἐστιν, ἐὰν ᾖ αἰσθητή. ἕνεκα δέ τινος, ἵνα γένεσις ᾖ ζῴων. διὰ γὰρ τὴν ἡδονήν, μᾶλλον ὁρμᾷ πρὸς τὴν μίξιν τὰ ζῷα.

Cur in coitu tanta uoluptas percipiatur

κνησμός . prurigo . & cur delectabilis est

ιζ΄. Διὰ τί ἡ λαγνεία πρὸς νοσήματα ἔνια τὰ ἀπὸ φλέγματος συμφέρει. ἢ ὅτι περιττώματός ἐστιν ἔξοδος. ὥστε συνεκκρίνεται πολλὴ περίττωσις. τὸ δὲ φλέγμα περίττωμα.

Coitum conferre ad quosdam morbos q procedūt a pituita

ιη΄. Διὰ τί τὰ ἀφροδίσια τὴν κοιλίαν ψύχει καὶ ξηραίνει. ἢ ψύχει μέν, ὅτι ἐκκρίνεται τὸ θερμὸν ἐν τῇ μίξει· ξηραίνει δὲ ἡ μίξις. ἐξατμίζεται γάρ, τοῦ θερμοῦ ἐξιόντος. ἐξέρχεται δὲ ψυχομένου. ἔτι καὶ ἡ θερμότης ἐν τῇ ὁμιλίᾳ ξηραίνει.

ιθ΄. Διὰ τί ὅσοις αἱ βλεφαρίδες ῥέουσι, λάγνοι. ἢ διὰ τὸ αὐτὸ καὶ διότι οἱ φαλακροί. ἔστι γὰρ μόρια ἄμφω ταῦτα τοῦ αὐτοῦ. ἔστι δὲ τὸ αἴτιον. ὁπόσαι πρεσβυτέρου γινομένου μὴ αὐξάνονται τῶν συγγενικῶν τριχῶν ἅπασαι, τοῦτο πάσχουσιν ἐν ταῖς λαγνείαις. κεφαλὴ γὰρ καὶ ὀφρὺς καὶ βλεφαρίς, συγγενικαὶ τρίχες. τούτων δὲ μόνον ἐνίοις αἱ ὀφρύες δασύνονται πρεσβυτέροις γινομένοις. δι᾽ ἣν δὲ αἰτίαν, εἴρηται ἐν ἄλλοις. αἱ ἕτεραι δέ, διὰ τὸ αὐτὸ ἄμφω λείπουσιν. αἴτιον δ᾽ ὅτι καταψύχει τὰ ἄνω ἡ λαγνεία ὀλίγαιμα ὄντα. ὥστε οὐ πέπτει τροφὴν ὁ τόπος· οὐ λαμβάνουσαι δὲ τροφήν, ἐκρέουσιν αἱ τρίχες.

Cur salacibus pili palpebrarū defluunt

Supercilia tantū senescētibus nōnullis densantur

Venus refrigerat superiores partes ut pote sanguinē parum habentes

Διὰ τί

κ΄ Διὰ τί οὐρητιῶντες, οὐ δύνανται ἀφροδισιάζειν. ἢ ὅτι πλήρεις γίνονται οἱ πόροι. τὸ δὲ πλῆρες ὑγροῦ, οὐ δέχεται ἄλλο ὑγρόν.

οὐρητιῶντες .i. micturientes nō possunt coire

κα΄ Διὰ τί αἱ ἰξίαι τοὺς ἔχοντας κωλύουσι γεννᾶν καὶ αὐτοὺς καὶ τῶν ἄλλων ζῴων ὅ τι ἂν ἔχῃ. ἢ ὅτι ἡ ἰξία γίνεται, μεταστάντος πνεύματος. διὸ καὶ ὠφελεῖ πρὸς τὰ μελαγχολικά. ἔστι δὲ καὶ ὁ ἀφροδισιασμὸς μετὰ πνεύματος ἐξόδου. εἰ οὖν ὁδὸς ποιεῖται ἡ ὁρμὴ γινομένη αὐτοῦ, οὐ ποιεῖ ὁρμᾶν τὸ σπέρμα. ἀλλὰ καταψύχεται· μαραίνει

ἰξίαι varices unde fiant

Coitus fit cum uenti emissione

κβ΄. τὴν συνουσίαν παιδίων. Διὰ τί οἱ ἀφροδισιάζοντες ἐκλύονται καὶ ἀσθενέστεροι γίνονται ὡς ἐπὶ τὸ πολύ. ἢ ὅτι διὰ τὸ ἀπὸ παντὸς ἐκκεκρίσθαι τὸ σπέρμα, ὥστε οἷον οἰκοδομήματος αἱ ἁρμονίαι ἐκ τοῦ σώματος, οὕτω σειομένη σύνθεσίς ἐστι τῷ ἀπεληλυθέναι. οἷον εἰ τὸ αἷμα ἐξέλθῃ, ἢ πᾶν ὅ τι ἄλλο μέρος οὕτω σφόδρα ἐπὶ καιροῦ τὸ ἐξιὸν ἐστιν ὃ ἐκ πολλῆς γίνεται τροφῆς ὀλίγον. οἷον τὸ ἀμύλιον ἐκ τοῦ

Seminis excremētū ex omni corporis parte fierit hic astruit & paulo ante etiam in hac sectiōe. at in libro de generatiōe animaliū negat illud .

κγ΄. στέατος. Διὰ τί οἱ ἀφροδισιάζοντες καὶ οὐρητιῶντες ἐντείνουσιν. ἢ πληρουμένων τῶν πόρων ὑγρότητος, τὸ σπέρμα ὑπεξιὸν ἐν ἐλάττονι τόπῳ πλείονά τινα ὄγκον τινὰ ποιεῖ, καὶ αἴρει ἐπὶ καὶ ἐπαίρει

κδ΄. τὸ αἰδοῖον ἐπὶ τοῖς πόροις. Διὰ τί ἡ ἔντασις γίνεται τοῦ αἰδοίου ἐν ἢ αὔξησις ἢ διὰ δύο. διὰ τὸ τὸ βάρος ἐπιγίνεσθαι ἐν τῷ ὄπισθεν τῶν ὀρχέων αἴρεσθαι. ὑπομόχλιον γὰρ οἱ ὄρχεις γίνονται. διὰ τὸ πνεύματος πληροῦσθαι τοὺς πόρους. ἢ τοῦ ὑγροῦ αὐξανομένου ἢ μεθισταμένου. ἢ ἐξ ὑγροῦ γινομένου, ὁ ὄγκος μείζων γίνεται. τὰ [δυν. αἰδοῖα] λίαν δὲ μεγάλα, ἧττον αἴρεται. διὰ τὸ πορρωτέρω τὸ βάρος τοῦ

ἀμύλιον . Amylū . th.

στέατος . farina

ὑπομόχλιον suspensorium erectiuū . vet. in. fulmētū uectoriū . the

κε΄. ὑπομοχλίου γίνεσθαι.~ Διὰ τί οἱ ἀφροδισιάζοντες καὶ οἱ γέροντες δυσώδεις· οἱ δὲ παῖδες οὔ. καὶ τοῦ καλουμένου γράσου ὄζουσιν. ἢ τῶν πνευμάτων ὡς περιέρχεται, τὰ μὲν τῶν παίδων, πέττεται τὸ ὑγρόν, καὶ τοὺς ἱδρῶτας. οἱ δὲ τῶν ἀνδρῶν ἄπεπτοι.

γράσου .i. hircini(tas) theodo .

κϛ΄. Διὰ τί ἐν τῷ θέρει οἱ μὲν ἄνδρες ἧττον δύνανται ἀφροδισιάζειν· αἱ δὲ γυναῖκες
,, μᾶλλον. καθάπερ ὁ ποιητὴς λέγει ἐπὶ τῷ σκολύμῳ. μαχλόταται δὲ
,, γυναῖκες ἀφαυρότατοι δέ τε ἄνδρες. καὶ τίς ὁ ποιὸς ἔρχεται καθ᾽ ἑνὶ μᾶλλον
ἢ ἐν τῷ χειμῶνι. ἀνάγκη δ᾽ εἰ μέλλει ἀφροδισιάζειν ἀναπαῦσαι. ἢ ὅτι αἱ

Viri hyeme foeminę aestate in uenerē procores .

Poeta theodo . hesiodū esse ait

Poeta in colymo

Qui coitur) ∴ necesse habet testiculos sursum ducere

∴ deest ex theodoro χαὶ
^ sec(undum) uetus interpres

∴ abundat hec negatio in utraq: tralatione

ΤΜΗΜΑ

θερμαὶ φύσει καὶ ἐν τῷ θέρει συμπίπτουσιν, ὑπερβάλλοντος δὲ τοῦ θερμοῦ·
ἡ δὲ γυνὴ ψυχρὰ καὶ ὑγρά. τῶν μὲν ἀνδρῶν οὖν ἡ μαραίνεται ἡ δύναμις·
κζ'. τῶν δὲ θάλλει ἐπανισουμένη τῷ ἐναντίῳ. Διὰ τί ἔνιοι ἀφρο-
δισιαζόμενοι χαίρουσι, καὶ οἱ μὲν ἅμα δρῶντες, οἱ δ' οὔ; ἢ ὅτι ἔστιν ἑ-
κάστῳ περιττώματος τόπος, εἰς ὃν πέφυκεν ἀποκρίνεσθαι κατὰ φύσιν,
καὶ πόνου γινομένου τὸ πνεῦμα ἐξιόν, ἀνοιδεῖν ποιεῖ καὶ συνεκ-
κρίνει αὐτήν, οἷον τὸ μὲν οὖρον εἰς κύστιν, ἡ δὲ ξηρασμένη τροφὴ
εἰς κοιλίαν, τὸ δὲ δάκρυον, εἰς ὄμματα, μύξα δὲ εἰς μυκτῆ-
ρας, αἷμα δὲ εἰς φλέβας. ὁμοίως δὲ τούτοις καὶ ἡ γονή, εἰς ὄρχεις
καὶ αἰδοῖα. οἷς δὲ οἱ πόροι μὴ κατὰ φύσιν ἔχουσιν, ἀλλ' ἢ διὰ τὸ
μὴ ἐκτυφλωθῆναι τοὺς εἰς τὸ αἰδοῖον, οἷον συμβαίνει τοῖς εὐνού-
χοις καὶ εὐνουχίαις, ἢ καὶ ἄλλως, εἰς τὴν ἕδραν συρρεῖ ἡ τοιαύ-
τη ἰκμάς· καὶ γὰρ διεξέρχεται ταύτῃ. σημεῖον δ' ἐν τῇ συνουσίᾳ,
ἡ συναγωγὴ τοῦ τοιούτου τόπου, καὶ ἡ σύντηξις τῶν περὶ τὴν ἕδραν. ἐὰν
οὖν ὑπερβάλλῃ τις τῇ λαγνείᾳ, τούτοις ἐνταῦθα συνέρχε-
ται. ὥστε ὅταν ἡ ἐπιθυμία γένηται, τὸ ἐπιθυμοῦν τρίψε-
ως εἰς ὃ συλλέγεται. ἡ δὲ ἐπιθυμία, ἡ ἀπὸ τῶν σιτίων καὶ διανοίας γί-
νεται. ὅταν γὰρ κινηθῇ ὑφ' ὁτουοῦν, ἐνταῦθα τὸ πνεῦμα συντρέ-
χει καὶ τὸ τοιοῦτο περίττωμα, συρρεῖ οὗ πέφυκε. καὶ μὴ λεπτὸν ᾖ ἢ
πνευματῶδες, τούτου ἐξελθόντος ὥσπερ αἱ συντάσεις τοῖς παι-
σὶ καὶ τοῖς ἐν ἡλικίᾳ, ἐνίοτε οὐθενὸς ὑγροῦ ἐκκριθέντος, παύονται. ὅ-
ταν δὲ κατασβεσθῇ τὸ ὑγρόν, ἐὰν μηδέτερον τούτων πάθῃ, ἐπιθυ-
μεῖ ἕως ἄν τι τούτων συμβῇ. οἱ δὲ φύσει θηλυδρίαι, οὕτω συνε-
στᾶσιν, ὥστε ἐκεῖ μὲν μὴ ἐκκρίνεσθαι, ἢ ὀλίγην, οὗπερ τοῖς ἔχουσι
κατὰ φύσιν ἐκκρίνεται, εἰς δὲ τὸν τόπον τοῦτον. αἴτιον δ' ὅτι παρὰ
φύσιν συνεστᾶσιν· ἄρρενες γὰρ ὄντες, οὕτω διάκεινται, ὥστε ἀνάγκη τὸν
τόπον τοῦτον πεπηρῶσθαι αὐτοῖς. πήρωσις δὲ ἡ μὲν ὅλως ποιεῖ φθο-
ράν, ἡ δὲ διαστροφήν. ἐκείνη μὲν οὖν οὐκ ἔστι· γυνὴ γὰρ ἂν ἐγένετο. ἀνάγκη ἄ-
ρα παρεστράφθαι, καὶ ἄλλοθί που ὁρμᾶν τὴν γονικὴν ἔκκρισιν. διὸ
καὶ ἄπληστοι ὥσπερ αἱ γυναῖκες· ὀλίγη γὰρ ἡ ἰκμὰς καὶ οὐ βιάζεται ἐξι-
έναι καὶ

□ τ. λεπτῶν μὲν

Cur patici nō minus patiendo uoluptatē suscipiat q̄m agentes agendo

Vnicuiq: excremento locū esse accomodatū & p̄priū

Cupiditas ueneris excitari tum ab intellectu seu imaginatione potest tum etiam a cibo

Cum libido mouetur spiritus eodē concurrit

συντάσεις · Tentigines

θηλυδρίαι · effoeminati & muliebres

φθορὰ · corruptio

∴ desunt hic multa uerba ut in utraq: tralatione apparet

δ'

ἐναι· καὶ καταψύχεται ταχύ. καὶ ὅσοις μὲν ἐπὶ τὴν ἕδραν τοιαύ-
τη ἐπιθυμοῦσιν ἐνίοις γίνεται καὶ ἐξ ἔθους τὸ πάθος τοῦτο. ὅσα γὰρ ἂν ποιῶ-
σι, συμβαίνει αὐτοῖς χαίρειν, καὶ προΐεσθαι τὴν γονὴν οὕτως. ἐπιθυ-
μοῦσιν οὖν ποιεῖν οἷς ἂν ταῦτα γίνηται. καὶ μᾶλλον τὸ ἔθος, ὥσπερ φύ-
σις γίνεται. διὰ τοῦτο ὅσοι ἂν μὴ πρὸ ἥβης ἀλλὰ περὶ ἥβην ἐθι-
σθῶσιν ἀφροδισιάζεσθαι, διὰ τὸ γίνεσθαι αὐτοῖς ἐν τῇ χρείᾳ τὴν μνή-
μην, ἅμα δὲ τῇ μνήμῃ τὴν ἡδονήν. διὰ δὲ τὸ ἔθος ὥσπερ πεφυκό-
τες, ἐπιθυμοῦσι πάσχειν. τὰ μέντοι πολλά, καὶ τὸ ἔθος ὥσπερ πεφυ-
κόσι γίνεται. ἐὰν δὲ τύχῃ λάγνος ὢν καὶ μαλακός, καὶ θᾶττον ἕκαστα
κη'. τούτων συμβαίνει. Διὰ τί μάλιστα αἰσχύνονται ὁμολογεῖν, οἱ
ἐπιθυμοῦντες ἀφροδισιάζεσθαι, ἀλλ' οὐ πιεῖν, οὐ φαγεῖν, οὐδ' ἄλλο τῶν τοιού-
των οὐδέν; ἢ ὅτι τῶν μὲν πλείστων ἀναγκαῖαι αἱ ἐπιθυμίαι, ἔνια δὲ
ἀναιρεῖ τοὺς μὴ τυγχάνοντας. ἡ δὲ τῶν ἀφροδισίων, ἐκ περιουσί-
κθ'. ας ἐστί. Διὰ τί οἱ μὲν ἄνδρες τοῦ χειμῶνος, αἱ δὲ γυναῖκες τοῦ θέ-
ρους ὁρμητικώτεραι πρὸς τὰ ἀφροδίσια; ἢ ὅτι οἱ μὲν ἄνδρες, θερ-
μοὶ μᾶλλον καὶ ξηροὶ τὰς φύσεις. αἱ δὲ γυναῖκες, ὑγραὶ καὶ κατε-
ψυγμέναι. τοῖς μὲν οὖν, τὸ ὑγρὸν καὶ τὸ θερμὸν αὔταρκες πρὸς τὴν
ὁρμὴν τοῦ χειμῶνος. ἡ δὲ τοῦ σπέρματος γένεσις, ἐκ τούτων. ταῖς
δὲ, τὸ θερμὸν ἔλαττον, τὸ ὑγρὸν πολὺ πεπηγός, διὰ τὴν ἔνδειαν τοῦ πυ-
ρός. τοῦ δὲ θέρους, ταῖς μὲν οὖν σύμμετρον τὸ θερμόν. τοῖς δὲ
πλέον τοῦ ἱκανοῦ. τὸ γὰρ ἄγαν πολύ, ἐκλύει τὴν δύναμιν. διὸ καὶ
τὰ σώματα τοῦ θέρους λεπτότερα. συμβαίνει γὰρ πῦρ ἐπὶ πῦρ
λ'. φέρειν. Διὰ τί ὅσοι θερμοὶ τὴν φύσιν, ἐὰν ἰσχυροὶ ὦσι καὶ εὔτρα-
φεῖς, ἐὰν μὴ ἀφροδισιάσωσι, χολὴ προΐσταται αὐτοῖς πολ-
λάκις καὶ ἐκ πικρὸν ὑποχωρεῖ, καὶ φλέγμα ἁλμυρὸν γίνε-
ται, καὶ ἀλλοχροοῦσιν; ἢ ὅτι μετὰ τοῦ πνεύματος ἀεὶ περίτ-
τωμα συναπέρχεται. διὸ καὶ ἐνίοις τῶν πνευματικῶν ἐχόντων πολὺ
ζεῖ ἡ γονή. ἀφροδισιάζουσι μὲν οὖν τοῦτο συναπέρχεται· ὥστε οὐ
λυπεῖ. μὴ ἀποτεμνομένου δὲ τοῦ ὁμιλεῖν, τὸ περίττωμα ἐκ πικροῦ ἢ ἁλμυροῦ
λα'. γίνεται. Διὰ τί ἀφροδισιαστικοὶ οἱ μελαγχολικοί; ἢ ὅτι πνευ-

Cur qdā pati tantū nolunt qdā utraq: agere & pati

Pulcherrimū documentū

Homines magis calidi & sicci foeminę humidę & frigidę

Spermatis generatio ex humido & calido

Paroi. πῦρ ἐπὶ πῦρ

Cur pueri uere graciliores

προΐσταται profluit

Semp cū spermate una excremēti aliqd secedit · al. cū spiritu

Melancholicos libidinosos esse

∴ ueterj inter · amarū egerunt
theodor) aluus amara secedit

□ emendo ex utraq: traductioē
αὐθήμερος

□ περιττωματικῶν · secundū theodorū legendū
legenda utraq: traductio

ἀξὶ καὶ ἐν τῷ

theod. claudi vertit, vetus interp. χολικοί legit .i. cholerici

Sperma spiritus exitum esse — ματώδης· τὸ δὲ σπέρμα, πνεύματος ἔξοδός ἐστιν. οἷς οὖν πολὺ τοι-
οῦτον, ἀνάγκη πολλάκις ἐπιθυμεῖν τούτους ἀποκαθαίρεσθαι· κου-
λβ'. φίζονται γάρ. Διὰ τί καὶ οἱ ὀρνιθώδεις καὶ οἱ δασεῖς ἄνθρωποι λά-
γνοι; πότερον ὅτι ὑγρότητα ἔχουσι πολλήν; ἢ οὐ· τὸ γὰρ θῆλυ ὑγρὸν μέν, ἀλλ' οὐ
δασύ· ἀλλ' ὅτι ἀμφότεραι αἱ φύσεις, πεπτικαὶ ὑγρότητος πολλῆς διὰ
Cur aves salaces & item homines hirsuti sint — θερμότητα. σημεῖον δὲ αἱ τρίχες καὶ τὰ πτερά. ἢ ὅτι πολὺ τὸ ὑγρὸν
καὶ κρατεῖται ὑπὸ τοῦ θερμοῦ· οὔτε γὰρ ἂν μὴ πολλῆς οὔσης τῆς ὑγρό-
τητος, οὔτε μὴ κρατουμένου ἐξεφύετο, αἱ μὲν αἱ τρίχες, τοῖς δὲ
τὰ πτερά. τὸ δὲ σπέρμα γίνεται ἐν τοῖς τοιούτοις πλεῖστον, καὶ τό-
ποις καὶ ὥραις· οἷον ἐν τῷ ἔαρι· ἡ γὰρ φύσις αὐτοῦ, ὑγρὰ καὶ θερ-
Hinc proverbium natum esse videtur. optime omnium claudus coit — μή. διὰ ταῦτο δὲ καὶ οἱ ὀρνιθώδεις λάγνοι, καὶ οἱ χωλοί· ἡ γὰρ τροφὴ ἀμφοτέ-
ροις, κάτω μὲν ὀλίγη, διὰ τὴν ἀναπηρίαν τῶν σκελῶν· εἰς δὲ τὸ
ἄνω τόπον ἔρχεται, καὶ εἰς σπέρμα συγκρίνεται.
λγ'. Διὰ τί ἐὰν ἀφροδισιάζῃ ἄνθρωπος, οἱ ὀφθαλμοὶ καθιζάνουσι μά-
Nimius coitus oculis nocet. — λιστα; ἢ δῆλον ὅτι ἀπολείποντος τοῦ ὑγροῦ τοῦτο γίνεται. τεκμή-
ριον δὲ ὅτι ἡ γονὴ ψυχρά ἐστιν· ὑγρὰ γὰρ γίνεται ὑγρά, ἐὰν μὴ διαθερμαίνῃ
τὰ θερμά. οὐ δίδεται τήξεως· κέχυται γὰρ ἐν τῷ ἀνθρώπῳ πρὸ τὸ αἷμα.

ἈΡΙΣΤΟΤΈΛΟΥΣ, ὍΣΑ ἈΠῸ ΚΌΠΟΥ.

Διὰ τί μακροὶ μὲν ὄντες οἱ περίπατοι, ἐν τοῖς ὁμαλέσι κο-
πωδέστεροί εἰσι τῶν ἀνωμάλων, βραχεῖς δὲ, ἀκοπώτεροι;
ἢ ὅτι ἥ τε πολλὴ κίνησις ποιεῖ κόπον, ἂν ἰσχυρά· τοιαύτη δὲ ἡ ἀσπερμα-
[illegible]ώδης. vetus interpres aequalis. theodorus econtrario inaequalia vertit — τώδης· πολλὴ δὲ ἡ συνεχὴς καὶ μία· ἐν μὲν οὖν τοῖς ἀνάντεσιν ἐὰν ᾖ
μακρά, ἀνάπαυσις γίνεται ἡ μεταβολή· καὶ οὐ μικρὰ ἡ κίνησις·
οὐδὲ ἄπονος ἡ τῆς διὰ τὴν μεταβολήν· ἐν δὲ τοῖς ὁμαλέσιν, ἡ ὁμοιό-
της τοῦ σχήματος, οὐ διαλαμβάνει, οὐδὲ διαναπαύει τὰ μέρη· ἀλλὰ συμβάλ-
λεται πρὸς τὸ συνεχῆ εἶναι τὴν κίνησιν. ὅταν δὲ ᾖ βραχεῖα, διὰ μὲν τὸ
Pulchra doctrina — πλῆθος τῆς κινήσεως, ἐν τῷ περιπάτῳ οὐ γίνεται κόπος· ἐν δὲ τοῖς ἀνάντεσιν,
διὰ τὸ τὴν μεταβολὴν ἰσχυρὰν γίνεσθαι καὶ ἐναντίαν, ὅτε μὲν ἄνω ὅτε
δὲ κάτω

ποιεῖ μιμούμενοι τοὺς πόρρωθεν ex utraque traductione

Ε

aut supfluit negatio aut legendum μὲν. ex utraque traductione

δὲ κάτω, ποιεῖ κόπον· τοιαύτη δὲ ὥσφαλται μὲν ἐν τοῖς ἀνάντεσιν·
β' ἐν δὲ τοῖς πεδινοῖς τοὐναντίον. Διὰ τί τοῖς λιποψυχοῦσι καὶ τοῖς
ἐκ τῶν γυμνασιῶν, ἐλάττους τοιοῦται καὶ ὀξύτεροι δοκοῦσιν εἶναι φωναί;
ἢ ὅτι αἵ τε φωναὶ ἐλάττους φαινόμεναι, ὀξύτεραι φαίνονται. ση-
μεῖον δέ, ὅτι μιμούμεναι τοὺς πόρρωθεν, ὀξὺ φθέγγονται. καὶ οἷον
γ' καὶ ἐλάττους. Διὰ τί ἡ γαστὴρ μόνον λεπτύνεται τῶν γυμναζο-
δ' μένων; ἢ ὅτι πλείστη ἡ πιμελὴ περὶ τὴν γαστέρα. Διὰ τί τὸ πῖ-
ον τεξιμμένον γίνεται τοῖς πονοῦσιν; ἢ διότι τὸ πῖον τήκεται μὴ
θερμαινόμενον· ἡ δὲ κίνησις θερμαίνει· ἡ δὲ σὰρξ, τήκεται.
ε. Διὰ τί δὲ τὰ περὶ τὴν κοιλίαν πιότατα; πότερον ὅτι ἐγγὺς τῆς — Partes circa ventrem cur pinguissime
τροφῆς· ἐν ὅσῳ οὖν τὰ ἄλλα παρ' ἐκείνης λαμβάνει, αὐτὴ πολλάκις
ς. λαμβάνει; ἢ ὅτι ἥκιστα πονεῖ· καμπὰς γὰρ οὐκ ἔχει. Διὰ τί οἱ κό-
ποι μᾶλλον παύονται, ὅταν τις τῷ ἐλαίῳ ὕδωρ συμμίξας ἀναξί- — Oleum laborem tollit & lassitudinem. unde & eo se athletae pungebant
ηται; ἢ ὅτι μᾶλλον εἰσδύεται τὸ ἔλαιον μετὰ τοῦ ὕδατος· ἐὰν δὲ ᾖ αὐτὸ κα-
θ' αὑτό, οὐχ ὁμοίως παρεισδύεται διὰ τὸ ἐπιπολάζειν· μᾶλλον
οὖν μαλάττεται τὸ σῶμα εἰσδυομένου. ἐπεὶ τὸ ἔλαιόν ἐστι φύσει θερ-
μόν· τὰ δὲ θερμά, ξηραίνει καὶ σκληρύνει· πρὸς δὲ τοὺς κόπους, ἀξύμ-
φορόν ἐστιν ἡ ξηρασία καὶ ἡ σκληρότης· μετὰ δὲ τοῦ ὕδατος ἀνατρι-
ζ. φθὲν, ἧττον ξηραίνει. Διὰ τί τοῖς κοπιῶσι πρὸς τὰ λου-
σιμέμεν· εἴπερ ὁ ἔμετος κοπῶδές ἐστιν; ἢ κόπος γίνεται, ὅσῳ μὲν θλω- — Cur vomitus laborantibus & lassis prosit
μένων καὶ πιεζομένων καὶ κοπιωμένων· ταῦτα δ' ὑπό τε ἐκ-
τός τινος πάσχοι ἄν, ἢ τῶν ἐν τῷ σώματι. καὶ τοῦτο διπλῶς· ἢ γὰρ σαρ- — [illegible]. collisis. theod. confractis vetus inter.
κὶ ἐνθεῖ ὑπερτεινούσῃ τὴν δύναμιν αὐτῆς, ἢ σώματος μιχθέντος συ-
χνοῦ τῷ ἄλλῳ σώματι, χώραν οἰκείαν οὐκ ἔχοντος, οἷα τὰ περιτ- — lassitudo unde proveniat.
τώματά ἐστι. πάντα γὰρ τὰ ἐκτὸς ἡ μὴ ἐμπειρία ἀπό μὲν βάρη, κοπω-
δέστατα τῶν τοῦ σώματος μερῶν· καὶ τυχὸν σταθμῷ οὖν αὐτῷ ἐλαφρότερα.
σημεῖον δὲ τὸ τῶν εἰρημένων· οἱ γὰρ πλεῖον βεβρωκότες καὶ πεπωκότες, ἔ- — Cur magis post cibum laborantes defatigantur
λαττον πονήσαντες, ἢ νήστεις ὄντες, μᾶλλον κοπιῶσι, διὰ τὸ μὴ τὴν
οἰκείαν χώραν ἔχειν τὰ σιτία, ὄντα ἄπεπτα. ἐπεὶ δὲ ὁ κόπος σύν-
τηξίς τις, ἡ δὲ σύντηξις περίπλωμά ἐστι, τοῦτο ἐστὶν ὃ τὸν κόπον συμμίγν — σύντηξις περίπλωμα ἐστί.

.·. theodor. n. legit om motu &c. Vetus interpres contextu impressu sequitur

ποιεῖ, πλανώμενον ἀτάκτως. ἢ πρὸς τὸ ἄτοπον ὅσον ἐστὶ καὶ μὴ ὑπάρχει. ἔτι χεῖς ἐν τῷ σφόδρα σαρκώδεις ἀραιοῖς οὖσι καὶ ἀνειμένοις. ὅθεν ἔμετος ἐξαγωγὰ αὐτὸ αἴτιον οὖν τοῦ κόπου, ἀκόπους εἰκότως ποιεῖ. λείπει γὰρ οἷον ἦν ἐν ἀρχῇ τοῦ πόνου τὸ σῶμα. κοπῶδες δέ ἐστιν ὁ ἔμετος. οὔτε γὰρ τῆς γινομένης ἐν αὐτῷ κινήσεως ὑπερβολῆς. ἀλλ' ὅταν συμβῇ μὴ καλῶς ἐξεμέσαι. ληφθέντων γὰρ πολλῶν σωμάτων καὶ περιττωμάτων τούτοις ἐνόντων, τὸν τοῦ ἐμέτου κόπον γίνεσθαι συμβαίνει καθάπερ ἐπὶ τῶν πεπληρωμένων εἴρηται. εἰ οὖν μηδ' ἐκείνοις ὁ πόνος ἐστὶν οὐ κόπου αἴτιος, ἀλλὰ τὸ οὕτως ἔχοντας πονῆσαι, οὐδ' ἂν τοῖς μὴ ἐξαιροῦσι τὰ σιτία ὁ ἔμετος εἴη, τοῦ κόπου αἴτιος. χωρὶς γὰρ πᾶσι τοῖς ἐμοῦσι γίνεσθαι κόπον. γίνονται δὲ ἀκοπώτεροι πολλοὶ ἐμέσαντες.

Cur laboriosius brachium in uentum iactari quam lapidem iacientis

Διὰ τί κοπιαρώτερόν ἐστι τῷ βραχίονι τὸ διακενῆς ἐκπέμπειν, ἢ λιθάζοντα. ἢ ὅτι σπασματωδέστερον τὸ διακενῆς ἐστιν. οὐ γὰρ ἀπερείδεται πρὸς οὐδὲν ὥσπερ ὁ βάλλων πρὸς τὸ ἐν χειρὶ βέλος. ὁμοίως δὲ τοῦτο καὶ ὁ πένταθλος πρὸς τοὺς ἁλτῆρας. καὶ ὁ θέων παρασείων πρὸς τὰς χεῖρας. διὸ ὁ μὲν μεῖζον ἅλλεται, ἔχων ἢ μὴ ἔχων ἁλτῆρας. ὁ δὲ θᾶττον θεῖ παρασείων ἢ μὴ παρασείων.

σπασματῶδες ἐστιν. magis oportunum ut conuellatur

Cur qui saliunt quinquertiones lapidibus inmittentes magis saliant & currentes quatiente manu perniciore cursu edant quam non quatientes. hoc item & alibi docet Aristot.

θ' Διὰ τί ἡ ταχυδρομία καὶ ἐπ' ἀνθρώπου καὶ ἐπὶ τῶν ἄλλων ζώων νοσηματικοὺς ποιεῖ τὰ περὶ τὴν κεφαλήν. καίτοι ὅλως ὁ δρόμος κατασπᾶν δοκεῖ κάτω τὰ περιττώματα, ὥσπερ ὁ περίπατος. διὸ καὶ παχύνονται τὰ σκέλη οἱ πολλὰ περιπατοῦντες. ὅτι εἰς τὰ κάτω ὑπονοστεῖ ἄνωθεν καὶ ἡ τροφὴ καὶ τὰ περιττώματα. ἡ μὲν κίνησις ταυτὸ ποιεῖ. ἀλλ' ἡ ταχεῖα διὰ τὴν συντονίαν. ἔτι δ' ὁ πνευστιῶν, ἐκθερμαίνει τὴν κεφαλὴν καὶ τὰς φλέβας ἐκφυσᾷ. τὰς ἐν αὐτῇ ἔτι σπᾶσθαι τὰ τῶν θύραθεν ποιεῖ δυναμένων. οἷον ψύχους καὶ ἀλέας. ἔτι τῶν ἐκ τοῦ θώρακος ὡς εἰσιόντων, νοσεῖν ἀναγκαῖον τὸν τόπον.

ἁλτῆρες. theo. pondiscula & lateres uertit. Vetus interpres instrumenta saliendi

ι' Διὰ τί κοπιῶσι μᾶλλον μὲν ἐν τοῖς ὁμαλοῖς, ἢ ἐν τοῖς ἀνωμάλοις τόποις. θᾶττον δὲ βαδίζουσι τὴν ὁμαλὴν ὁδόν, ἢ τὴν ἀνώμαλον. ἢ ὅτι ἀκοπώτερον μέν ἐστι, τὸ μὴ ἀεὶ ἐν τῷ αὐτῷ σχήματι ποιεῖσθαι τὴν κίνησιν. ὃ συμβαίνει ἐν τῇ ἀνωμάλῳ πορείᾳ μᾶλλον.

θᾶττον

Notandum Aristotelem & hic & in libro de incessu animalium pentathlos semper accipere pro cursoribus

τὴν ὁμαλῶ theo. legit. sed uetus interpres

.·. f. τόπον. ex utraq: traductione

θᾶττον γὰρ πορεύονται, ὅτι ἧττον παρὰ φύσιν κινοῦνται. ἐν μὲν οὖν τῷ ὁμαλῷ, μικρὰ ἡ ἄρσις καὶ θέσις καὶ πυκνή ἐστιν. ἐν δὲ τῷ ἀνωμάλῳ, τοὐναντίον. ἔστι δὲ τὸ αἴρειν παρὰ φύσιν. βίαιον γάρ ἐστι πᾶσα ἄρσις. τὸ δὲ παρ' ἑκάστην βάσιν γινόμενον μικρόν, πολὺ γίνεται παρὰ πολλάς.

Arsis Thesis

τὸ αἴρειν παρὰ φύσιν βία γάρ ἐστι πᾶσα ἄρσις

ια' Διὰ τί τὰ ἐπίπεδα κοπιαρώτερα ἐγκατακεῖσθαι τῶν κοίλων ἐστίν. ἢ διὰ τὸ αὐτό, δι' ὃ τὰ κυρτὰ τῶν ἐπιπέδων. ἐφ' ἕδρας γὰρ τόπον συναθροιζόμενον τὸ βάρος ἐν τῇ καθέδρᾳ ἢ κατακλίσει, τῇ θλίψει ποιεῖ πόνον. τὸ μὲν οὖν κυρτὸν τοῦ εὐθέος, τοῦ δὲ τὸ κοῖλον μᾶλλον τοιοῦτόν ἐστι. τὸ γὰρ σῶμα καὶ μᾶλλον περιφερέστερον ἢ εὐθύτερον. τῶν δὲ τοιούτων κατὰ πλεῖον ἅπτεται τὰ κοῖλα, ἢ τὰ ἐπίπεδα. διὰ ταῦτα δὲ καὶ τὰ ἐνδιδόντα τῶν μὴ ἐνδιδόντων, ἀκοπώτερά ἐστι καὶ ἐγκατακλιθῆναι καὶ ἀνέζεσθαι.

κυρτὸν incuruum κοῖλον concauum pulchra doctrina

ιβ' Διὰ τί οἱ βραχεῖς περίπατοι κοπώδεις εἰσίν. ἢ ὅτι ἀνώμαλοί εἰσι. πολλάκις γὰρ ἵστασθαι ποιοῦσι. τὸ δὲ ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον πυκνὰ μεταβάλλειν, κοπῶδές ἐστι. συνήθειαν γὰρ οὐδετέρῳ ποιεῖ. ὅ ἐστιν ἄκοπον. ἀμφοῖν δὲ ἅμα, οὐκ ἐνδέχεται συνήθειαν γίνεσθαι.

Breues deambulationes lassitudinem parere

ιγ' Διὰ τί οἱ ἐπὶ τῶν ἵππων ὀχούμενοι, ὅσῳ ἂν μᾶλλον θέῃ ὁ ἵππος, τοσούτῳ μᾶλλον δακρύουσι τὰ ὄμματα. πότερον διὰ τὸ ψυχρότερον εἶναι τὸν ἀεὶ προσπίπτοντα ἀέρα. ὅσῳ ἂν ἐλάττω χρόνον ἅπτηται τοῦ σώματος, ὅπερ ἐπὶ τῶν γυμνῶν θεόντων συμβαίνει, τὸ δὲ ψῦχος δάκρυον ποιεῖ. ἢ διὰ τοὐναντίον. καὶ γὰρ τὸ θερμὸν ποιεῖ δακρύειν. οἷον ὁ ἥλιος. ἡ δὲ κίνησις, θερμότητα ποιεῖ. ἢ διὰ τὴν ὑπὸ τοῦ ἀέρος πληγήν. ὥσπερ γὰρ οἱ ἄνεμοι ταράττουσιν οἱ ἐξ ἐναντίας τὰ ὄμματα, οὕτως ὁ ἀὴρ προσπίπτων, ὅσῳ ἂν θᾶττον ἐλαύνῃ, τοσούτῳ μᾶλλον ποιεῖ πληγὴν μαλακήν.

ιδ' Διὰ τί τὰ μὲν ἄλλα τριβόμενα σαρκοῦνται μέρη, ἡ δὲ γαστὴρ λεπτοτέρα γίνεται. ἢ οὐδὲ αὕτη ἐκ προσαγωγῆς, ἀλλὰ στιφνοτέρα. οὐ μὴν ἀλλ' οὐχ ὁμοίως γε καὶ ἡ σάρξ. διὸ καὶ τὸ πρόβλημά ἐστιν. ὅλως γὰρ ἐν τοῖς γυμνασίοις καὶ πόνοις, καὶ μάλιστα λεπτύνεται ἡ γαστήρ. αἴτιον δ' ὅτι τὰ πίονα θερμαινόμενα τήκεται. καὶ τὰ φύσει τάσιν ἔχοντα μᾶλλον. τὸ δὲ δέρμα ἐστὶ φύσει

Venter dum teritur tenuior redditur secus atque in reliquis membris

προσαγωγῆς

Pingue res propria naturę nō est sed aduentitium. & cur pinguis fit uenter

ἔχουσιν. ἀλλὰ διὰ τὸ πιαίνεσθαι ταχέα, ἀεί τινα ἔχει ποιότητα, ἐὰν μὴ κάμνῃ τινὶ νόσῳ. αἴτιον δὲ τούτου, ὅτι ἐπίκτητός ἐστι τῆς τροφῆς. ἐπεὶ οὖν ὅλως ἡ πιμελὴ οὐκ ἔστι φύσει, ἀλλ' ἐπίκτητον, καὶ τῶν ἀναγκαίων μερῶν, ὥσπερ καὶ ἡ σάρξ, καὶ ἡ τῶν γυμνασίων κίνησις καὶ ἡ τῆς τρίψεως, θερμαίνουσαι, τήκουσιν αὐτήν, καὶ τὴν τροφὴν ἐκπλεονάζουσαν νέμουσι τοῖς ἀλλοτρίοις μορίοις. διὸ αἱ μὲν καθέδραι, τὴν κοιλίαν πιαίνουσι, τὸ δ' ἄλλο σῶμα λεπτύνουσιν· αἱ δὲ κινήσεις καὶ αἱ τρίψεις, τὴν μὲν κοιλίαν λεπτύνουσι, τὸ δὲ ἄλλο σῶμα παχύνουσι.

Sedile uentrē opimat reliq̃ membra extenuat motꝰ & fricationes ē contrario

ιε' Διὰ τί ἐκ τῶν σφοδρῶν καὶ μακρῶν ὁδῶν καὶ δρόμων, ὅταν στῇ τις ἐπ' ἄκρων τῶν δακτύλων, σείονται τῶν ποδῶν αἱ πτέρναι καὶ σπῶνται κάτω προπετῶς; ἢ διὰ τὴν συνέχειαν καὶ σφοδρότητα τῆς κινήσεως, οὐκ ἀναπαύεται ὁ σεισμὸς τῶν ἄνω τῶν μορίων. τοῦ μὲν γὰρ ὅλου σώματος, κρατεῖ ἡ ψυχὴ πολλάκις· μορίων δ' οὔ, ὅταν πως κινηθῇ· οἷον καὶ καρδίας καὶ αἰδοίου. αἴτιον δ' ὅτι πνεῦμα πολὺ περὶ τὰ μόρια ἐγκατείληπται, ὃ οὐχ ἅμα ἐκ ψυχῆς ἵσταται. τοῦτο οὖν σεῖον ὥσπερ ὑστερῶν τῇ κινήσει, καὶ σπᾶται, καὶ τὸ πορρωτάτου ἥκιστα ποιεῖ ἐγκρατεῖν. τοιοῦτον δὲ αἱ πτέρναι, οἷον τοῖς ὀργιζομένοις τὸ κάτω χεῖλος.

Animꝰ sepe totū corpꝰ euincit membra autē singula nō potest

ις' Διὰ τί οἱ μὴ σφόδρα συντόμως τρέχοντες, ἐν τῷ ῥυθμῷ ἀναπνέουσιν; πότερον ὅτι πᾶς ῥυθμὸς, ὡρισμένῃ μετρεῖται κινήσει· τοιαύτη δ' ἐστὶν ἡ διίσου οὖσα, ὥσπερ οἱ τροχάζοντες ποιοῦσιν. ἅμα οὖν ἀρχόμενοι τροχάζειν, ἀναπνέουσιν· ὥστε τὴν ἀναπνοὴν διίσου γενομένην, διὰ τὸ τῇ ἴσῃ κινήσει μετρεῖσθαι, ῥυθμὸν ποιεῖν. ἢ ὅτι πᾶσα μὲν ἁπλῶς ἀναπνοὴ, διίσου γίνεται τοῖς κατὰ φύσιν αὐτῇ χρωμένοις, καὶ μὴ κατέχουσι. καθημένοις μὲν οὖν καὶ βαδίζουσι μετρίας οὔσης τῆς τοῦ σώματος κινήσεως, οὐκ εὔδηλος ὁ ῥυθμὸς γίνεται. συντόνως δὲ τρέχουσιν, οὐ παρακολουθούσης τῇ κινήσει τῆς αἰσθήσεως, οὐ δυνάμεθα συνορᾶν τὸν τῆς ἀναπνοῆς ῥυθμόν. ἐν δὲ τῷ μετρίως τροχάζειν, μέτρον ἡ κίνησις αἰσθητὸν τῆς ἀναπνοῆς ποιοῦσα, τὸν ῥυθμὸν δηλοῖ.

ῥυθμός

τροχάζειν · currere

ιζ' Διὰ τί ἐν τῷ τροχάζειν ἐκ πνεύματος οὐ-

σθαι

Cur eis q currūt q est aer uentus esse uidetur. Pulchrū

θαι δοκεῖ ἡμῖν ὁ ἀήρ; πότερον ὅτι κινούμενοι διὰ τοῦ τροχάζειν τὸν συνεχῆ τοῖς σώμασιν ἡμῶν ἀέρα κινοῦμεν, ὅ ἐστι πνεῦμα. διόπερ οὐ δοκεῖ μόνον, ἀλλὰ καὶ κατὰ ἀλήθειαν ἐκ πνεύματος τοῦτο ἐστὶν ὁ ἀήρ. ἢ διότι τροχάζοντες προσκόπτομεν τῷ ἀέρι. τούτου δὲ συμβαίνοντος μᾶλλον αἴσθησιν λαμβάνομεν τοῦ ἀέρος διὰ τῆς κινήσεως. εἰκότως οὖν ἡμῖν ἐκ πνεύματος εἶναι δοκεῖ, τοῦ τοιούτου συμβαίνοντος διὰ τὴν φοράν.

ιη' Διὰ τί μᾶλλον θεόντων ἢ βαδιζόντων πίπτουσιν; ὅτι μᾶλλον πρὶν κινεῖσθαι αἴρουσιν. τὸ γὰρ θεῖν τοῦ βαδίζειν τούτῳ διαφέρει.

ιθ' Διὰ τί προσαναβαίνοντες μὲν τὰ γόνατα πονοῦμεν, καταβαίνοντες δὲ τοὺς μηρούς; ἢ ὅτι ὅταν μὲν ἀναβαίνωμεν, ἀναρριπτοῦμεν ἄνω τὸ σῶμα· καὶ ἡ σπάσις πολλὴ τοῦ σώματος, καὶ ἀπὸ τῶν γονάτων γίνεται. διὸ πονοῦμεν τὰ γόνατα. ἐν δὲ τοῖς καταφερέσι, διὰ τὸ ὑποφέρεσθαι τοῖς σκέλεσι τοὺς μηροὺς ἀντιστηριζόμενοι πονοῦμεν αὐτούς. εἶθ' ὅπου τὸ παρὰ φύσιν· τοῖς μὲν γόνασιν, ἡ εἰς τὸ πρόσθεν κλάσις· τοῖς δὲ μηροῖς, ἡ εἰς τοὔμπροσθεν. ἐν μὲν τοῖς ἀνάντεσι, τὰ γόνατα κλᾶται εἰς τοὔπισθεν, διὰ τὸ στηρίζεσθαι βούλεσθαι. ἐν τοῖς καταντέσι δὲ οἱ μηροὶ εἰς τοὔμπροσθεν κλῶνται, διὰ τὸ προπετὲς ἡμῶν εἶναι τὸ σῶμα.

Ascendentibus genua descendentibꝰ femora laborant & cur.

κ' Διὰ τί πονεῖ ἐν ταῖς ὁδοῖς τῶν μηρῶν τὸ μέσον μάλιστα πονοῦμεν; ἢ ὅτι παντὸς μακροῦ καὶ ἑνὸς ὄντος, ἐστηριγμένου δὲ, τὸ μέσον μέρος μάλιστα κάμπτεται. διὸ καὶ κατάγνυται μάλιστα ἐντεῦθεν. ὁ δὲ μηρός ἐστι τοιοῦτον. διὸ καὶ τὸ μέσον αὐτοῦ μάλιστα πονοῦμεν.

Praestans documētū

κα' Διὰ τί οἱ ὑγροὶ ταχὺ πνίγονται πονήσαντες καὶ ὑπὸ τοῦ καύματος; ἢ ὅτι ἐκθερμαινόμενον ὑγρὸν, ἀὴρ γίνεται· καὶ καθ' μᾶλλον τὸ πλέον. ὅταν οὖν μὴ δύνηται ὑπεξάγειν διὰ τὸ πλῆθος, οὐ γίνεται κατάψυξις· ὥστε ταχὺ ἐκπυροῦται, ὑπὸ τοῦ συμφύτου καὶ ἐπικτήτου θερμοῦ. διὸ καὶ οἱ γινόμενοι ἱδρῶτες τοῖς γυμναζομένοις καὶ ὅλως τοῖς πονοῦσι, καὶ ἡ τοῦ πνεύματος ἔξοδος, ὠφέλιμον. διακενουμένου γὰρ καὶ λεπτυνομένου τοῦ ὑγροῦ, πνεῦμα γίνεται.

Cur humidę naturę homines strangulant uel labore uel ęstu

κβ' Διὰ τί τὰ σύμμετρα τῶν σωμάτων κάμνει τε πολλάκις καὶ ἀ-

ὁ ὁμαλῷ uidetur legere theo.

παλαίστρας ῥᾷον· ἢ διὰ ταὐτὸ ἄμφω, ὁμαλὸν γάρ ἐστι τὸ σύμμετρον. τὸ δὲ ὁμαλὸν, ὁμοιοπαθέστερον· ἐὰν οὖν τι πονήσῃ μέρος, εὐθὺς συμπονεῖ τὸ ὅλον. τὸ δὲ ἀσύμμετρον, ἅτε μᾶλλον ἀπηρτημένον, οὐ συναπολαύει τῶν μορίων. κάμνει μὲν οὖν πολλάκις διὰ τοῦτο ῥᾷον ἢ ἀπαλαίστρου· ὅτι πᾶν κοινωνεῖ τὸ σῶμα· εἰς πλείω γὰρ διανεμόμενον τὸ πάθος, γίνεται ἀσθενέστερον· ὥστε τὸν ἀπαλαιστρικώτερον· τὸ γὰρ ἀσύμμετρον, ἅτε οὐ κοινωνοῦντος τοῖς μέρεσιν, ἐλαττονάκις μὲν κάμνει,

κγ′ χαλεπώτερον δὲ ἀπαλαίστρου· σφοδρὸν γὰρ τὸ πάθος. Διὰ τί κοπιῶσι μᾶλλον ἐν τοῖς ὁμαλοῖς, ἢ ἐν τοῖς ἀνωμάλοις· θᾶττον ἢ βαδίζουσι μὲν ὁμαλὴν, ἢ τὴν ἀνώμαλον· ἢ ὅτι ἀκοπώτατον μὲν τὸ μὴ ἀεὶ ἐν τῇ ἀνωμάλῳ πορείᾳ μᾶλλον· θᾶττον δὲ πορεύονται, ὅπου ἐν ἐλάττονι χρόνῳ ἡ ἀναφορὰ ἐλάττων· ἐν μὲν οὖν τῷ ὁμαλῷ, μικρὰ ἡ ἄρσις καὶ πυκνή· ἐν δὲ τῷ ἀνωμάλῳ τοὐναντίον. τὸ δὲ παρέκ-

κδ′ στωβάσιν γινόμενον πολὺ γίνεται παρὰ πολλάς. Διὰ τί καταβαίνοντες μὲν τὰ κατάντη, τοὺς μηροὺς μάλιστα πονοῦμεν· ἀναβαίνοντες δὲ τὰς κνήμας· ἢ ὅτι ἀναβαίνοντες μὲν, τῷ αἴρειν τὸ σῶμα ἄνω γίνεται φορτίον τὸ σῶμα· ᾧ οὖν ἅπαν ἐπίκειται καὶ ᾧ αἴρομεν, τοῦτο μάλιστα πονεῖ· ἡ δὲ κνήμη τοῦτο· ἐσχάτου γὰρ μῆκος ἔχον· ὀχῶς τοῦ ὁ πούς πλάτος ἔχει· διὸ σαλεύεται· ὥστε οἷον τῷ ὤμῳ τὰ βάρη κινοῦμεν· καὶ ἐπὶ τούτῳ ἔχομεν· τοιγαροῦν καὶ πονοῦμεν τὸν ὦμον μάλιστα. καταβαίνοντες δὲ τῷ ἐκπίπτειν τὸ σῶμα κάτω ἐπὶ προωθεῖν παρὰ φύσιν, ὅπερ μόσ ἐστιν· ὥστε ᾧ μάλιστα ἐκπίπτει καὶ σαλεύει, τούτῳ παρέχει τὸν πόνον· ἡ μὲν οὖν κνήμη, μένει· τὸ δὲ βάρος ὁ θώραξ γίνεται· ὁ δὲ μηρὸς δέχεταί τι καὶ σαλεύεται· διὰ τὸ μῆ-

κε′ κός τι ἔχειν, καὶ στρέφεσθαι ἄνωθεν, ἢ ὁ θώραξ ἐκπίπτει. Διὰ τί πλείων δοκεῖ ἡ ὁδὸς εἶναι, ὅταν μὴ εἰδότες βαδίζωμεν πόση τίς, ἢ ὅταν εἰδότες· ἐὰν τἆλλα ὁμοίως ἔχοντα τύχωμεν, ἢ ὅτι τὸ εἰδέναι πόση, τὸ εἰδέναι ἐστὶ τὸν ἀριθμὸν αὐτοῦ· καὶ πλεῖον ἀεὶ τὸ ἀόριστον τοῦ ὡρισμένου· ὥσπερ οὖν εἰ ᾔδει ὅτι τοσήδε, πεπερασμένην ἀνάγκη εἶναι, οὕτως εἰ μὴ οἶδεν, ὡς ἀντιστρέφοντος παραλογίζεται ἡ ψυχὴ

καὶ

Magis plana uia laborari quam ardua & inaequali

Cur ascendentibus tibiae descendentibus femora laborent

σαλεύεται

Cur uia longior uidetur his qui nesciunt numerum illius

καὶ φαίνεται εἶναι ἄπειρος. ἔτι τὸ ποσὸν, ὡρισμένον· καὶ τὸ ὡρισμένον ποσόν· ὅταν τοίνυν μὴ φαίνηται ὡρισμένον, ὥσπερ ἄπειρον φαίνεται εἶναι διὰ τὸ πεφυκὸς ὡρίσθαι, ἐὰν μὴ ᾖ ὡρισμένον, ἄπειρον εἶναι, ὥστε καὶ τὸ φαινόμενον μὴ ὡρίσθαι, φαίνεσθαι ἀνάγκη πως ἀπέραντον.

κς′ Διὰ τί τοὺς μηροὺς μᾶλλον, ἢ τὰς κνήμας κοπιῶσι· πότερον ὅτι ἐγγὺς τοῦ τόπου τοῦ ἔχοντος τὸ περίττωμα, ὥστε ἂν ὑπερβάλλῃ διὰ τὴν κίνησιν τῇ θερμότητι συντῶσιν οἱ μηροὶ μᾶλλον πλεῖον ἢ αἱ κνῆμαι, ἢ διὰ τὸ συμφυὲς μᾶλλον εἶναι τοὺς μηρούς· μάλιστα γὰρ πονοῦσι τῇ τοῦ συνεχοῦς διαστάσει· καὶ γὰρ ἂν μηδὲν ἔχοντες περίττωμα κοπιάσωσιν, ὅμως τοὺς μηροὺς καὶ τὴν ὀσφὺν πονοῦσι μᾶλλον· ἢ ὅτι καθάπερ οἱ βουβῶνες γίνονται πληγέντος διὰ τὴν ἄρσιν τῶν φλεβῶν καὶ νεύρων, οὕτω καὶ οὗτος· ἐγγυτέρω δὲ τῆς ἀρχῆς ὁ μηρός· ἢ διότι μᾶλλον ἐν τῷ αὐτῷ σχήματι ὁ μηρὸς τῆς κνήμης· τοῦτο γὰρ κοπιαρώτερον· ἢ ὅτι σαρκώδης, ὥστε πολὺ τὸ κατὰ φύσιν ἔ-

κζ′ χον ἐν αὐτοῖς. Διὰ τί ἐνίοις ὅταν πονήσωσιν, ἕλκη ἐκφύεσιν, ἢ ὅταν τὸ σῶμα ἀκάθαρτον ᾖ, ἡ κίνησις θερμαίνουσα καὶ ἄλλα περιττώματα συνεξικμάζει μετὰ τοῦ ἱδρῶτος· παχέα ὄντα καὶ χυμοὺς ἔχοντα μοχθηροὺς, ὀξεῖς καὶ πικροὺς ἢ ἁλμυρούς, τὰ περιττώματα ἐκεῖνα ἐξέρχεσθαι μὲν οὐ δύναται διὰ πάχος, ἐξαίρεται δὲ διὰ

κη′ τῆς σαρκὸς, καὶ ἑξελκοῖ διὰ πικρότητα τοῦ χυμοῦ. Διὰ τί τοῖς ἐκ τῶν γυμνασίων καὶ φαρμακοποσιῶν, οὐκ εὐθὺς προσφέρουσι τροφὴν, ἢ διότι καθαίρεται τὸ σῶμα ἔτι καὶ οὐκ ἀναπέπαυται

κθ′ πονοῦν· καὶ ἀποκρίνεται τὰ περιττώματα. Διὰ τί χαλεπώτερον θεῖν ἢ βαδίζειν· ἢ ὅτι πλεῖον φορτίον φέρει ὁ θέων· ὅταν γὰρ ᾖ μετέωρος, ἅπαν ἐφ' αὑτῷ ἔχει· ὁ δὲ βαδίζων· οἷον ἐπὶ τοῖς τοί-

λ′ χοις ἀναπαυόμενος, ἐπιθεὶς ἔχει ἐπὶ τῷ ἠρεμοῦντι. Διὰ τί ἐκ τῶν γυμνασίων, οὐ πίνουσιν εὐθύς· πότερον διὰ τὴν ὑπόληψιν τῆς συντήξεως ἕως ἂν ἀποπεφθῇ, ἢ διὰ τὸ πνεῦμα ὃ ποιεῖ ὁ πόνος ἐκ τοῦ ὑγροῦ· ἢ διὰ τὴν δίψαν, ἢ γίνεται ἐκ τοῦ θερμαίνεσθαι πονοῦντα.

λα′ πάντα γὰρ συμβαίνει ταῦτα. Διὰ τί ἐξομφρωπικοί εἰσιν

□ bibunt noster interpres. at theodorus esuriunt siue esurire incipiunt. itaque legit theo. πεινῶσιν

Omne quantum esse determinatum

βουβῶνες inguina

Cur nonnullis quando laborant pustulae oriuntur

Post pharmaca aut exercitia non dandus protinus cibus

Cur magis currentes laborent quam ambulantes

τοίχοις parietibus
κε· in pariete th.

Cur non assumendus potus confestim post exercitatione

ἢ καὶ ὑγροί deest ex utraq: tralatione

φθισιῶντες q tabe cōsumuntur

οἱ κοπιῶντες ἢ οἱ φθισιῶντες, ἢ ὅτι ὅλως ἐξ ὧν ἐρωτικοὶ οἱ θερμοί· τὸ
γὰρ σπέρμα, τοιοῦτόν ἐστι τὴν φύσιν. τὸ τοιοῦτο δὲ ἐξ οὕτω διακει-
μένων μάλιστα γίνεται, ὅταν μὴ ἀπὸ τοῦ ὕπνου θερμότης προσγέ-
νηται, μικρᾶς γὰρ ῥοπῆς τὰ σώματα δεῖται· καὶ ταύτης ἔσωθεν ἀλ-
λ' οὐκ ἔξωθεν. οἱ δὲ φθισικοὶ καὶ κοπιῶντες, οὕτω διάκεινται. οἱ μὲν γὰρ
κοπιῶντες, διὰ τὸν κόπον καὶ τὴν κίνησιν, συντήγματος θερμοῦ
πλήρεις εἰσίν. οἱ δὲ φθισικοί, διὰ τὸν κατάρρουν καὶ τὴν γινομένην
λβ' θέρμην ὑπὸ τῆς φλεγμασίας. Διὰ τί τὸ ἀριστερὸν σκέλος
χαλεπώτερον γίνεσθαι ὑφ' ἑαυτοῦ πολὺν χρόνον, ἢ τὸ δεξιόν. ἢ ὅτι
τοῖς δεξιοῖς πονεῖν δυνάμεθα. ἐν τοῖς δὲ παρὰ φύσιν, ἢ τὰ ἀρι-
στεροῦ σκέλους τρίψις ἐξεστραμμένως γίνεται· τὰ δὲ παρὰ φύ-
σιν ποιούμενα, χαλεπά. τῇ δὲ ἀριστερᾷ, τὰ δεξιὰ οὐθὲν ἐπίδηλον
λγ' διὰ τὸ μηδετέρως ἰσχύειν. Διὰ τί ὑγιεινὸν τὸ τῆς τροφῆς ὑ-
ποστέλλεσθαι, πονεῖν δὲ πλέω, ἢ ὅτι τοῦ νοσεῖν αἴτιον περιττώματος
πλῆθος. τοῦτο δὲ γίνεται ἢ διὰ τροφῆς ὑπερβολήν, ἢ διὰ πόνων
λδ' ἔνδειαν. Διὰ τί οὐ δεῖ πυκνοῦν τὴν σάρκα πρὸς ὑγίειαν ἀλ-
λ' ἀραιοῦν. ὥσπερ γὰρ πόλις ὑγιεινὴ καὶ τόπος εὔπνους (διὸ καὶ ἡ θά-
λαττα ὑγιεινή) οὕτω καὶ σῶμα τὸ εὔπνουν μᾶλλον ὑγιεινόν. δεῖ γὰρ ἢ
μὴ ὑπάρχειν μηδὲν περίττωμα, ἢ τούτου ὡς τάχιστα ἀπαλλάτ-
τεσθαι. καὶ δεῖ οὕτως ἔχειν τὰ σώματα, ὥστε λαμβάνοντα εὐθὺς ἐκ-
κρίνειν τὴν περίττωσιν· καὶ εἶναι ἐν κινήσει καὶ μὴ ἠρεμεῖν. τὸ μὲν γὰρ
μένον, σήπεται ὥσπερ ὕδωρ. τὸ δὲ σηπόμενον καὶ μὴ κινούμενον
νοσοποιεῖ. τὸ δὲ ἐκκρινόμενον πρὸ τοῦ διαφθαρῆναι, χωρίζεται. τοῦ-
το οὖν πυκνουμένης μὲν τῆς σαρκὸς, οὐ γίνεται. ὥσπερεὶ γὰρ ἐμ-
φράττονται οἱ πόροι. ἀραιουμένης δέ, συμβαίνει. διὸ καὶ οὐ δεῖ ἐν
τῷ ἡλίῳ γυμνὸν βαδίζειν. συνίσταται γὰρ ἡ σὰρξ· καὶ κομιδῇ ἀ-
ποσαρκοῦται, καὶ ὑγρότερον τὸ σῶμα γίνεται. τὸ μὲν γὰρ ἐντὸς δια-
μένει· τὸ δὲ ἐπιπολῆς ἀπαμάττεται. ὥσπερ τὰ κρέα τὰ ἑφθὰ
τῶν ὀπτῶν μᾶλλον. οὐδὲ τὰ στήθη γυμνὰ ἔχοντα βαδίζειν. ἀπὸ
γὰρ τῶν ἄριστα ᾠκοδομημένων ὁ ἥλιος φέρει· ὃ ἥκιστα δεῖται ἀ-

φαιρέσεως

Tale ex taliter dispositis maxime fit

τὰ παρὰ φύσιν ποιούμενα χαλεπά.

ὑποστέλλεσθαι subtrahere

Loca maritima salubria

τὸ μὲν σήπεται ὥσπερ ὕδωρ τὸ δὲ σηπόμενον καὶ μὴ κινούμενον νοσοποιεῖ.

Non expedit sole ardente nudū incedere

Carnes assæ elixis humidiores

φαιρέσεως, ἀλλὰ μᾶλλον τῶν ἐντός. ἐκεῖθεν μὲν οὖν διὰ τὸ πόρρω
εἶναι ἂν μὴ μετὰ πόνου, οὐκ ἔστιν ἱδρῶτας ἀγαγεῖν· ἀπὸ τούτου δὲ διὰ
λε' τὸ πρόχειρον εἶναι ῥᾴδιον. Διὰ τί κοπώδεις οἱ βραχεῖς τῶν
περιπάτων. ἢ ὅτι πολλάκις συνίστανται καὶ οὐχ ὁμαλῶς κινοῦνται
λϛ' περὶ τὰς καμπάς. τὸ δὲ τοιοῦτο, κοπῶδες. Διὰ τί ἑστηκότες
ἐν τῷ ἡλίῳ μᾶλλον θερμαίνονται, ἢ κινούμενοι. ἢ ταύτης τῆς κινήσε-
ως θερμαντικῆς οὔσης. ἢ οὐ πᾶσα κίνησις θερμαίνει. ἀλλ' ἐνία ψύ-
χει. οἷον καὶ ἐπὶ τῶν τὰς χύτρας τὰς ἑψομένας φυσώντων καὶ κι-
νούντων συμβαίνει. εἰ οὖν ἑστηκότι μὲν προσμένει τὸ θερμόν, προσμέ-
νον δὲ, μᾶλλον θερμαίνει ἢ κινούμενον, ἀεὶ γὰρ τὸ σῶμα ἴδιον ἡμῶν ἀτμί-
δα τινὰ χλιαρὰν ἀφίησιν ἀφ' ἑαυτοῦ, ἢ θερμαίνει τὸν ἐγγὺς ἀέ-
ρα ὥσπερ δαλὸς παρών. ἠρεμούντων μὲν ἡμῶν, θερμὸς γίνεται ὁ πε-
ριέχων ἡμᾶς ἀὴρ διὰ τὰ εἰρημένα. κινουμένων δὲ, πνεῦμα γίνεται
λζ' ὃ καταψύχει ἡμᾶς. πᾶν γὰρ πνεῦμα, ψυχρόν ἐστιν. Διὰ τί οἱ
ἐπὶ τῶν ἵππων ὀχούμενοι, ὅσῳ ἂν θᾶττον θέῃ ὁ ἵππος, τοσούτῳ μᾶλ-
λον δακρύουσι τὰ ὄμματα. καὶ οἱ πεζοὶ ὅσῳ ἂν μᾶλλον τρέχωσι. πότε-
ρον διὰ τὸ ψυχρὸν εἶναι τὸν προσπίπτοντα ἀέρα· τὸ γὰρ ψῦχος δακρύ-
ειν ποιεῖ. συστέλλον γὰρ καὶ πυκνοῦν τὴν σάρκα, ἐκκαθαίρει τὸ ὑγρόν. ἢ
διὰ τοὐναντίον. τὸ γὰρ θερμὸν ποιεῖ ἱδροῦντας· τὸ δὲ δάκρυον, ἱδρώς τις
ἐστι. διὸ καὶ γίνονται ὑπὸ θερμασίας ἀμφότερα ταῦτα. καὶ ἁλυκά ἐστιν
ὁμοίως. ἡ δὲ κίνησις θερμότητα ποιεῖ. ἢ διὰ τὴν ὑπὸ τοῦ ἀέρος πλη-
γήν. ὥσπερ γὰρ οἱ ἄνεμοι ταράττουσιν οἱ ἐξ ἐναντίας τὰ ὄμματα, οὕτω
καὶ ὁ ἀὴρ ὁ προσπίπτων, ὅσῳ ἂν θᾶττον ἐλαύνῃ ἢ αὐτὸς τρέχῃ, το-
σούτῳ μᾶλλον ποιεῖ πληγὴν μαλακήν. δι' ἣν γίνεται δακρύειν. ἀραι-
νομένων τῶν τοῦ ὀφθαλμοῦ πόρων ὑπὸ τῆς πληγῆς. πᾶσα γὰρ πληγὴ διαι-
λη' ρετικόν ἐστιν, ἢ θλαστικόν. Διὰ τί δεῖ τοὺς μὲν θερινοὺς κό-
πους, λουτροῖς ἰᾶσθαι. τοὺς δὲ χειμερινούς, ἀλείμματι. ἢ τούτους
μὲν διὰ τὰς φρίκας καὶ τὰς γινομένας μεταβολάς, θερμῷ οὐ δεῖ
λούειν, ὃ ποιήσει χαλεπάζειν. τὸ δὲ ἔλαιον θερμόν. ἐν δὲ τῷ θέρει καθυγραίνειν
ἡ γὰρ ὥρα, ξηρά. καὶ οὐ γίνονται φρίκαι διὰ τὴν ἀλέαν. ὀλιγοσιτία,

Singularis & eximia doctrina

Semper corpus nrm emittere ex se tepidū quendā vaporē

Cur oculi currentibus illachrymant

Hoc pblema supra etiam praecessit

πᾶσα πληγὴ διαιρετικὸν ἢ θλαστικόν.

Oleū calidū

□ contra ~~ueteré~~ ueteré interpré legendú cum theodoro οἱ δὲ ἐν ἀλέαις. & precipue qa paulo post sequitur οἱ δὲ ἐν τοῖς ψύχεσι

δὲ, κωθωνισμὸς θέρους· τὸ μὲν, ὅλως· τὸ δὲ, μᾶλλον· ὁ μὲν πότος
θέρους ὅλως διὰ τὴν ξηρότητα· ἡ δὲ ὀλιγοσιτία, κοινὸν μέν· μᾶλλον δὲ
θέρους· ἐκθερμαίνεται γὰρ μᾶλλον διὰ τὴν ὥραν ἄνευ τῶν σιτίων.
λθ'. Διὰ τί οἱ θέοντες οὕτω μάλιστα λαμβάνουσι σπάσματα, ὅτ'-
αν τις θέουσιν αὐτοῖς ὑποστῇ; ἢ ὅτι ταῦτα μάλιστα διασπᾶται, ἃ εἰς
τοὐναντίον τινὰ ἰσχυρῶς ἕλκεται ἢ κινεῖται· ὅταν οὖν θέοντος
καὶ σφοδρῶς ὠθουμένου τῶν μορίων εἰς τὸ πρόσθεν ὑποστῇ τις, συμ-
βαίνει ἅμα ἀντισπᾶν εἰς τοὐναντίον, ἔτι φερομένων εἰς τοὔμ-
προσθεν· ὥστε ἡ σπάσις τοσούτῳ ἰσχυροτέρα γίνεται, ὅσῳ ἂν θέωσι
μ'. σφοδρότερον. Διὰ τί τῶν περιπάτων οἱ κατὰ τὰς ὁδοὺς ἀκο-
πώτεροί εἰσιν, οἱ ἀνώμαλοι τῶν εὐθέων; ἢ διὰ τὸ τὴν φορὰν ὀρθὴν εἶ-
ναι καὶ κατὰ φύσιν παντὶ τῷ σώματι· οἱ δὲ ἐν τοῖς ὁμαλοῖς τῶν ἀνω-
μάλων κοπιωδέστεροι· τοῖς γὰρ αὐτοῖς μέρεσι τοὺς πόνους πα-
ρέχουσιν· οἱ δὲ ἐν τοῖς ἀνωμάλοις, διαμερίζουσι μᾶλλον εἰς ἅπαν
τὸ σῶμα. καὶ δι' ἀλέας μᾶλλον ἰσχναίνουσι τῶν ἐν τοῖς ψύχεσι· τοῖς γὰρ ἔξω
μέρεσι, πλείονα τὸν πόνον παρέχονται· διὸ καὶ τοὺς ἱδρῶτας ἐμποι-
οῦντες, ἰσχναίνουσιν· οἱ δὲ ἐν τοῖς ψύχεσι, στιλφοτέραν τὴν σάρκα
ποιοῦσι, καὶ τῶν σιτίων ἐπιθυμητικωτέρους· τοῖς γὰρ ἔξω μέρεσι τὴν
αὔξησιν τοῦ θερμοῦ ποιοῦντες καὶ δυσκινήτων γινομένων ὑπὸ τοῦ
ψύχους, τὸν μὲν ἔσω τόπον καθαίρουσι, τὴν θερμασίαν αὔξοντες
ἐν αὐτῷ· τὴν δὲ σάρκα, στερεὰν ποιοῦσιν, ὃ δυνάμενοι κρατεῖν διὰ
πάσης αὐτοῦ. ὁμοίως οἱ ἀνάντεις τῶν κατάντων ἐπιπονώτεροι καὶ
ἰσχναντικώτεροι· οἱ μὲν γὰρ ἀνάντεις, τὴν ὀσφὺν μάλιστα ποιοῦσι πο-
νεῖν· οἱ δὲ κατάντεις, τοὺς μηρούς· τοῖς γὰρ μηροῖς τὸ βάρος
πᾶν ἐμπῖπτον, εἴωθε παρέχειν· ἄνω γὰρ παρὰ φύσιν ὑπὸ τοῦ θερ-
μοῦ βίᾳ φερόμενος, ἐκθερμαίνει· διὸ καὶ τοὺς ἱδρῶτας ἐμποιεῖ.
καὶ τὸ πνεῦμα μετεωρίζοντες, ἰσχναίνουσι καὶ τὴν ὀσφὺν ὀδυνῶσι·
τὰ γὰρ σκέλη χαλεπῶς ἀναγόμενα, τὴν ὀσφὺν κάμπτουσί τε
καὶ ἀνασπῶσιν, ὑφ' ὧν ἀναγκάζονται πονεῖν μάλιστα· οἱ δὲ μᾶλλον τύ-
ποις πιέζονται, τοῖς τε μυσὶ καὶ τοῖς τεταμένοις τῶν σκελῶν

ὡς ζύμπεσαι

Magis extenuatur corp(us) deambulationib(us) que fiut tempore calido q(uam) in frigido.

στιλφοτέραν· densioré uet(us) interpres· constatiore theod.

Deambulationes p(er) acclinia dolorose lumbis

παρέχειν· nota laboré exhibere· solú sine additamento πόνου

μυσί. Lacertis. uet(us) in· theodor(us) musculis

τεταμένοις· neruis· theo· extensis. uet(us) inter·

παρέχουσι κόπους· συντάσεις γὰρ ἐμποιοῦσι τοῖς νεύροις καὶ τοῖς
μυσὶ, βιαίου γινομένης τῆς ἀπερείσεως αὐτοῖς· οἱ δὲ ἐν τοῖς μαλακοῖς,
τοῖς ἄρθροις κοπιωδέστεροί εἰσι· τῶν γὰρ ἄρθρων πυκνὰς τὰς κάμψεις ποιοῦ-
μα'. σιν, ἅτε ὑποδυούσης τῆς βάσεως. τὸ δ' αὐτό ἐστι πρόβλημα. Διὰ τί
πρὸς τὰ σιμὰ χαλεπῶς βαδίζομεν; ἢ διότι πᾶσα πορεία ἐξ ἄρ-
σεως ἢ θέσεως συντελεῖται· τὸ μὲν οὖν ἆραι
παρὰ φύσιν· τὸ δὲ θεῖναι, κατὰ φύσιν· τὸ
δὲ προσθεῖναι, μεσότης· ἐν δὲ τῷ πρὸς
τὰ σιμὰ βαδίζειν, πολὺ τὸ πα-
μβ'. ρὰ φύσιν. Διὰ τί οἱ ἀφ' ἵπ-
πων ἧττον πίπτουσιν; ἢ
διὰ τὸ φοβεῖσθαι φυ-
λάττονται μᾶλ-
λον:~

Deambulationes p(er) mollia & cedentia loca articulis laboriose.

σιμά ardua theodo.

Qui eq(ui)s uehuntur cur ~~magis~~ minus cadut

ἈΡΙΣΤΟΤΈΛΟΥΣ ὍΣΑ ἘΚ ΤΟΥ͂ ΠΩ͂Σ ΚΕΙ͂ΣΘΑΙ ΚΑῚ ἘΣΧΗΜΑΤΊΣΘΑΙ ΣΥΜΒΑΊΝΕΙ.

α'. Διὰ τί ἡ καθέδρα τοὺς μὲν, παχύνει τῶν ἀνθρώπων· τοὺς δὲ, ἰ-
σχναίνει; πότερον αἱ ἕξεις διαφέρουσιν· οἱ μὲν γὰρ θερμοί εἰ-
σιν· οἱ δὲ ψυχροί· οἱ μὲν οὖν θερμοὶ, παχύνονται· κρατεῖ γὰρ τὸ σῶ-
μα τῆς τροφῆς, διὰ τὴν θερμασίαν· οἱ δ' ἐψυγμένοι, διὰ τὸ
δεῖσθαι ἐπεισάκτου θερμότητος· καὶ τοῦτο πάσχειν μάλιστα τὸ
σῶμα ὑπὸ τῶν κινήσεων, οὐ δύνανται πέττειν ἠρεμοῦντες· ἢ
ὅτι οἱ μὲν περιττωματικοί εἰσι καὶ δέονται κινήσεως, ἢ ἀναλώσει ταῦ-
β'. τα· οἱ δὲ, οὔ. Διὰ τί δεῖ ποιεῖν διάτασιν τῶν μερῶν,
ὃ ποιεῖ ὁ γυμναζόμενος; ἢ ὅτι δεῖ τῷ οἰκείῳ πνεύματι κα-
θαίρεσθαι τοὺς πόρους. Διὰ τί συγκεκαλυμμένον βέλ-
τιον κατακεῖσθαι, καὶ πολλοὶ παραγγέλλουσι τοῦτο καὶ
τῶν ἰατρῶν; ἢ ὅτι ἀλεαίνουσα ἡ κοιλία, θᾶττον πέττει· οὐ-

Sellularia uita calidos opimat· frigidos extenuat

Pulcherrimú

Inflexo corpore meli(us) cubare q(uam) extenso

□ Inflexo corpore utraq(ue) traductio· q(uonia)m obré legendú ~~...~~ συγκεκαμμένον ut in fine problematis συγκαμφθέντος

τῷ δὲ καὶ ἀλεαίνειν μᾶλλον. ἔτι δεῖ τοῖς πνεύμασι τόπον διδόναι, εἰς ὃν ἀποτρέψονται· οὕτω γὰρ ἥκιστα λυπήσουσιν αἱ φῦσαι. διὰ τοῦτο δὲ καὶ ἰξίαι καὶ τὰ ἄλλα ἀποστήματα συμφέρει· ὅτι ἐκ χωρῶν κοιλίας εἰς ταῦτα ἀποδέχονται τὰ πνεύματα. ἐκτεταμένης μὲν οὖν, οὐ γίνεται κοιλία· ἅπαντα γὰρ τὸν τόπον, τὰ σπλάγχνα κατέχει· συγκαμφθέντος δὲ γίνεται.

δ' Διὰ τί ἀνισταμένοις ἴλιγγος μᾶλλον γίνεται ἢ καθιζάνουσιν; ἢ διότι ἠρεμοῦσι, τὸ ὑγρὸν εἰς ἓν μένει ἀθρόον ἀποκλινόμενον· διὸ καὶ τὰ ὄμματα ὥσπερ οὐ δύνανται διανεῖσθαι, ἀλλὰ καταπίπτει. κινουμένων γὰρ τὸ ὑγρὸν ὁμοῦ ἔχει· ἀνίστανται μὲν οὖν ἠρεμήσαντές τινος, ὅτι οὐ δεῖ διακεῖσθαι. καθιζάνουσι δὲ κινήσει χρώμενοι· ὅτι ὁμαλῶς ἔχει τὸ ὑγρὸν καὶ ἐσκέδασται.

ε' Διὰ τί ἐπὶ τὰ δεξιὰ κατακειμένοις, μᾶλλον ἐπέρχεται ὕπνος; πότερον ὅτι ἐναντίως ἔχοντες ἐγρηγόρασι καὶ καθεύδουσιν; ἐπεὶ οὖν ἐγρηγορότες ἐπὶ τὰ ἀριστερὰ κατάκεινται, τοὐναντίον ἔσται ἐπ' ἄλλης ἀρχῆς καὶ διὰ τῆς ἐναντίας. ἢ ὅτι ἀκινησία οὖν ὕπνος· τὰ μὲν οὖν κινητικὰ μέρη, δεῖ ἠρεμεῖν· τὰ δὲ δεξιὰ, κινητικά· οὕτω δὲ κατακειμένων οἷον δέδεται ἀρχή τις ἐπιχειρητική.

ς' Διὰ τί ναρκῶσι καὶ μάλιστα τὰς χεῖρας καὶ πόδας μᾶλλον; ἢ ὅτι ἡ κατάψυξις ἐστὶν ἡ νάρκη διὰ στέρησιν δὲ αἵματος γίνεται καὶ μετάστασιν· ἀσαρκώτατα δὲ αὐτὰ καὶ νευρωδέστατα· μάλιστα δὲ οἱ πόδες· ὥστε προοδοποιεῖται ὑπὸ τῆς φύσεως πρὸς τὸ καταψύχεσθαι ταχύ.

ζ' Διὰ τί κατακείμεθα μὲν ἐπὶ τὰ ἀριστερὰ ἥδιον, καθεύδομεν δὲ ἐπὶ τὰ δεξιὰ μᾶλλον; πότερον ὅτι ἀποστραφέντες πρὸς τὸ φῶς οὐ βλέπομεν· ἐν δὲ τῷ σκότει θᾶττον ὕπνου λαμβάνομεν; ἢ διότι ἐγρηγόραμεν κατακείμενοι ἐπὶ τῶν ἀριστερῶν, καὶ αἱ χρήσεις ἡμῖν οὕτω πρόχειροι, ὥστε πρὸς τὸ ἐναντίον σχῆμα πρὸς ὕπνον· παρακαλεῖ δὲ ἕκαστον πρὸς τὸ ἔργον τὸ σχῆμα μᾶλλον.

ἈΡΙΣΤΟΤΈΛΟΥΣ ὍΣΑ ἘΚ ΣΥΜΠΑΘΕΊΑΣ.

α' Διὰ τί τοῖς χασμωμένοις ἀντιχασμῶνται ὡς ἐπὶ τὸ πολύ; ἢ διότι ἐὰν ἀναμνησθῶσιν, ὀργῶντες ἐνεργοῦσι· μάλιστα δὲ τὰ

εὐκίνητα

Varices & alij abscessus salubres

ἴλιγγος uertigo theo. singultus uetus inter.

Cur oua cruda nō circū uertuntur sed protinꝰ decidunt

Parte dextra cubantes citiꝰ inuadit somnus

Torporis causa

a si ueteri interpreti credimus negatio deest & uidetur legere οὐχ οὐρητιῶμεν. sed ei in hac parte nō accedo

εὐκίνητα, οἷον οὐροῦσιν. ἡ δὲ χάσμη, πνεύματος ὑγροῦ κίνησίς ἐστι. πρόχειρον οὖν ἐὰν μόνον νοήσῃ· ἐστὶ γὰρ πλησίον.

β' Διὰ τί ἐὰν μέν τινα ἴδωμεν τὴν χεῖρα ἐκτείνοντα ἢ τὸν πόδα ἢ ἄλλο τι τῶν τοιούτων, οὐκ ἀντιποιοῦμεν τὸ αὐτό· ἐὰν δὲ χασμώμενον, ἀντιχασμώμεθα; ἢ οὐδὲ τοῦτο ἀεί. ἀλλ' ἐὰν ὀργῶν τύχῃ τὸ σῶμα καὶ οὕτω διακείμενον, ὥστε τὸ ὑγρὸν ἀναθερμαίνεσθαι. τότε γὰρ ἡ μνήμη τὴν κίνησιν ποιεῖ· ὥσπερ καὶ πρὸς ἀφροδίσια καὶ ἐδωδήν. τὸ γὰρ ποιῆσαν μνήμην εἶναι, τὸ ἔχον ὁρμὴν πρὸς τὸ φαντασθέν.

γ' Διὰ τί ἐπειδὰν πρὸς τὸ πῦρ στῶμεν, οὐρητιῶμεν, καὶ ἐὰν πρὸς τὸ ὕδωρ, οἷον ἐὰν πρὸς τὸν ποταμὸν, οὐροῦσιν; ἢ ὅτι τὸ πᾶν ὕδωρ ὑπόμνησιν δίδωσι τῆς ἐν τῷ σώματι ὑγρότητος· καὶ ἐκκαλεῖται τὸ προσιόν. αὐτὸ δὲ τὸ πῦρ διαχαλᾷ τὸ πεπηγὸς ἐν τῷ σώματι· ὥσπερ ὁ ἥλιος τὴν χιόνα.

δ' Διὰ τί ἀπὸ μὲν νόσων ἐνίων νοσοῦσιν οἱ πλησιάζοντες· ἀπὸ δὲ ὑγιείας, οὐδεὶς ὑγιάζεται; ἢ ὅτι ἡ μὲν νόσος κίνησις· ἡ δὲ ὑγίεια, ἠρεμία. ἡ μὲν οὖν κινεῖ· ἡ δὲ οὐδέν. ἢ διότι τὸ μὲν, ἄκοντι· τὸ δὲ, ἑκόντι γίνεται. καὶ ἄρα τὰ ἀκούσια τῶν ἑκουσίων καὶ τῶν ἐκ προνοίας διαφέρει.

ε' Διὰ τί τῶν μὲν διὰ τῆς ἀκοῆς λυπηρῶν ἐνίων φρίττειν ἡμᾶς ποιεῖ, οἷον πρίονος ἀκονωμένου, καὶ κίσηρις τεμνομένη, καὶ λίθος ἀλουμένου· τὰ δὲ διὰ τῆς ὄψεως σημεῖα τῶν παθῶν, αὐτὰ ἡμῖν τὰ πάθη ἐμποιεῖ· αἱμωδιῶμέν τε γὰρ τοὺς ὀξὺ ὁρῶντες ἐσθίοντας· καὶ τοὺς ἀπαγχομένους ἔνιοι ὁρῶντες, ἐκψύχουσιν. ἢ διότι φωνὴ μὲν πᾶσα καὶ ψόφος, ἐν πνεύματί ἐστι· τοῦτο δὲ εἰσδυόμενον ἡμῖν πέφυκε κινεῖν· κινήσει δὲ μᾶλλον, ἢ διὰ μέγεθος, ἢ διὰ πληγὴν σφοδροτέραν, ποιοῦν, ἢ ἀλλοιοῦν τι τῶν ἐν ἡμῖν. τὰ μὲν οὖν μεγάλα, καὶ λεῖα πνεύματα, τὸν περὶ αἰσθήσεως τόπον αὐτὸν κινεῖ. διὸ καὶ ἡδέως τὰ τοιαῦτα· τὰ δὲ τραχέα, τὰ ἴσα τὰ πλήγη σφοδρότερα σείει τι τὸν τόπον καὶ πόρρω διαδίδωσι τῇ τῆς πληγῆς δυνάμει· διαδίδωσι δὲ καὶ τὰ ψυχρὰ πόρρω· δύναμις γάρ ἐστιν ἡ ψυχρότης.

Oscitatio spiritus & humidi motio

Memoria motū facit

Et ad ignē accedentes & ad aq̄m micturim?

Scitu documētu

ἀλούμενος mola fractus

κίσηρις pumex

αἱμωδιῶμεν dētē torpescimus

διαδίδωσι πόρρω longe se porrigunt theodor). Ve. int. de longe repercutiunt

αὕτη μὲν οὖν ὅτι φρίττειν ποιεῖ, εἴρηται. τὰ δὲ τραχέα, τῷ πλήττειν ποιεῖν συγκινεῖ προσκόπτοντα τὴν ἀρχὴν τῶν τριχῶν, ἀπωθεῖ αὐτὴν εἰς τοὐναντίον. ἀπωθουμένης δέ, ἀνάγκη τὴν κορυφὴν τῶν τριχῶν ἀνάπαλιν γίνεσθαι. διὸ συμβαίνει ἵστασθαι αὐτάς, πάσας γὰρ νενευκέναι κάτω. ἡ δὲ φορὰ τοῦ διὰ τῆς ἀκοῆς πνεύματος εἰς τὸ σῶμα ἄνωθεν κάτω δέδεικται. οὕτω οὖν τραχέων τῶν εἰρημένων ψόφων, ἡ φρίκη γένοιτ' ἂν διὰ τὰ εἰρημένα. γίνονται δ' αὗται μᾶλλον τῷ ἄλλῳ σώματι, ἢ ἐν τῇ κεφαλῇ, διὰ τὸ τὰς ἐνταῦθα τρίχας, ἀσθενεστέρας εἶναι. ἔστι τὸ πάθος ἀσθενές. τῆς μὲν γὰρ ἀκοῆς οὔσης ἀμβλυτέρας αἰσθήσεως ἢ τῆς ὄψεως, ὧν πολλάκις τὰ πάθη γίνεται ἀπ' αὐτῶν. ἡ δὲ φρίκη, τοιοῦτον. διὸ καὶ ἀπὸ πολλῶν καὶ ἀνομοίων γίνεται. τῆς δὲ ὄψεως ἐναργεστέρας οὔσης αἰσθήσεως, ἀνάλογον καὶ τὰ συμβαίνοντα γίνεται ἀπ' αὐτῶν. ἐλαφρότεροι δὲ τῆς ἀληθείας. ἀπὸ δὲ τῶν ἀκο. αὐτὰ μὲν οὔ. τὴν δὲ ἀπ' αὐτῶν προσδοκίαν φρίττομεν, ἀλγεινοῦ γὰρ κακοῦ προσδοκία ἐστί.

Auditus sensus obtusior quam uisus

ϛ' Διὰ τί οἱ ῥιγῶντες πελιδνοὶ γίνονται; ἢ διότι τὸ αἷμα πήγνυται διὰ τὸ ψῦχος. πηγνύμενον δέ, μελαίνεται διὰ τὴν ἀπουσίαν τοῦ θερμοῦ. τὸ δὲ λευκόν, τοῦ πυρός. διὸ καὶ τοῖς πρεσβυτέροις μάλιστα πελιδνοῦται ἡ σάρξ. ὅτι ἐλαχίστην ἔχει θερμότητα.

Cur rigentes liuidi reddantur. pulchru

ζ' Διὰ τί οἱ ῥιγῶντες καθεύδειν οὐ δύνανται; διότι παρέντες οἱ ῥιγῶντες μᾶλλον, τὸ πνεῦμα κατέχουσιν. ὁ δὲ καθεύδων, ἐκπνεῖ μᾶλλον, ἢ εἰσπνεῖ. ὥστε χαλεπὸν ῥιγῶντα καθεύδειν. ἅμα γὰρ ποιεῖν τἀναντία, ἀδύνατον.

Rigentes dormire nō possunt

Qui dormit magis reddit ~~magis~~ spiritū quam attrahit

η' Διὰ τί ἐν τῷ ψύχει ὀξύτεροι καὶ οἱ ἀσθενήσαντες, καὶ οἱ λυπούμενοι, καὶ οἱ ὀργιζόμενοι; ἢ στιλφότερον ποιεῖ τὸ καταψύχεσθαι.

θ' Διὰ τί οἱ ἀθληταὶ δυσρίγοι εὖ ἔχοντες; ἢ ὅτι καθαρὰ καὶ ἄπνους ἡ ἕξις ἀπιμελής. ἡ τοιαύτη δέ, ἀπαθεστάτη ὑπὸ τοῦ ἀέρος, ὅταν ὑδιοδόστῇ, καὶ μὴ ἔχῃ θερμότητα ἐν αὑτῇ. ἡ δὲ πιμελή, θερμὴ ἂν μὴ διψυχῇ.

Pinguedo calida si nō humectata fuerit

ι' Διὰ τί μάλιστα τὰ ἀκρωτήρια ῥιγῶσιν; ἢ διὰ στενότητα. οἱ πόροι αὐτῶν στενοὶ ὄντες, ὀλιγαιμότεροί εἰσιν· ὥστε καὶ ὀλιγοθερμότεροί εἰσι. τὸ γὰρ αἷμα, θερμόν.

Extrema corporis maxime rigere

ια' Διὰ τί ἐὰν μετέωροι ὦσιν οἱ πόδες μᾶλλον ῥιγοῦσι;

πότερον

.: uacat si theo. / stabur. secus / si ueteri. inter.

deest ῥιγοῦσιν

πότερον ὑπὸ πνεῦμα μᾶλλον; ἢ ὅτι ἐν ἐλάττονι γίνεται τὸ αἷμα κάτω. ὥστε τὸ ἄλλο καταψυκτότερον, ἐκλείποντος τοῦ θερμοῦ.

ιβ' Διὰ τί οἱ παχεῖς σφόδρα, τῆς πιότητος θερμῆς οὔσης; ἢ διὰ τὸ μέγεθος τοῦ πάχους, τοῦ μὲν ἔσωθεν θερμοῦ πόρρω γίνονται τὰ ἔσχατα. τοῦ δὲ ἔξω ψυχροῦ [τὰ] ἐγγύς.

Pinguedo calida

ιγ' Διὰ τί ἀφροδισιάσαντες καὶ οὐρήσαντες φρίττουσιν; ἢ ὅτι κενοῦνται αἱ φλέβες ἐν ἀμφοτέροις. κενωθέντων δέ, ὁ ἀὴρ εἰσέρχεται ψυχρὸς ὤν, ποιῶν φρίττειν.

Sternuentes & meientes cur horrescūt

ιδ' Διὰ τί τὴν αἱμωδίαν παύει ἡ ἀνδράχνη καὶ ἅλς; ὅτι ἡ μὲν ὑγρότητά τινα ἔχει. φανερὰ δ' αὐτή μασωμένη τε, κἂν συντεθῇ χρόνον τινά, ἕλκεται γὰρ ἡ ὑγρότης· τὸ δὲ γλίσχρον εἰσδυόμενον, ἐξαίρει τὸ ὀξύ. καὶ γὰρ ὅτι συγγενὲς ἡ ὀξύτης, σημαίνει· ἔχει γάρ τινα ὀξύτητα ὁ χυλός. ὁ δὲ ἅλς συντήκων, ἐξαίρει τὴν ὀξύτητα.

Andrachne .i. portulaca & sal ~~lassitudi~~ dentium stuporē tollunt

ιε' Διὰ τί ἡ κονία τὸ νίτρον οὔ. ἢ ὅτι στύφειν οὐ τήκει.

ιϛ' Διὰ τί χασμησαμένοις αὐτοὶ χασμῶνται καὶ ὅταν οὐροῦντας ἴδωσιν, οὐροῦσι· καὶ μάλιστα τὰ ὑποζύγια; ἢ διὰ τὴν μνήμην, ὅταν γὰρ μνησθῇ, κινεῖται τοῦτο τὸ μέρος. τοῖς μὲν οὖν ἀνθρώποις, διὰ τὸ εὐαισθητοτέροις εἶναι, ἰδοῦσιν εὐθὺς συμβαίνει καὶ κινεῖσθαι καὶ ἀναμιμνήσκεσθαι. τοῖς δὲ ὑποζυγίοις, οὐκ αὐταρκὲς τὸ ἰδεῖν, ἀλλὰ προσδέονται καὶ ἄλλης αἰσθήσεως. διὸ καὶ ὀσφρανθέντα· ὅτι εὐκινητοτέρα αὕτη ἡ αἴσθησις τοῖς ἀλόγοις· καὶ διὰ τοῦτο εἰς τὸν αὐτὸν τόπον ἅπαντα οὐρεῖ. ὅ τε ἂν τὸ πρῶτον οὐρήσῃ. τότε δὲ μάλιστα κινοῦνται, ὅταν ὀσφρανθῶσιν. ὀσφραίνονται δὲ ὅταν πλησιάσωσι.

Iumēta ut moueantur ad meiendū duplici egent sensu. uisu & olfactu. homines uisu tantū.

Olfactus sensus maxime ratioē carētib(us) animalibus mouetur

ιζ' Διὰ τί ἐπειδὰν τεμνόμενόν τινα ἴδωμεν ἢ καιόμενον ἢ στρεβλούμενον, ἢ ἄλλο τι τῶν δεινῶν πάσχοντα, συναλγοῦμεν τῇ διανοίᾳ; ἢ ὅτι ἡ φύσις ἡμῖν κοινὴ ἅπασι. συναλγοῦμεν οὖν ἐπειδὰν τὸ τοιοῦτον ἴδῃ τις πάσχοντα, διὰ τὴν οἰκειότητα. ἢ ὅτι ὥσπερ αἱ ῥῖνες καὶ αἱ ἀκοαὶ λαμβάνουσί τιν' ἀπορροίαν, κατὰ τὰς οἰκείας δυνάμεις, οὕτω καὶ ἡ ὄψις αὐτὸ πάσχει. καὶ ἀπὸ τῶν ἡδέων καὶ λυπηρῶν.

ιη' Διὰ τί ἀπὸ φθίσεως καὶ ὀφθαλμίας καὶ ψώρας οἱ πλησιάζοντες ἁλίσκονται, ἀπὸ δὲ ὕδρωπος καὶ πυρετοῦ καὶ ἀποπληξίας, οὐχ ἁλίσκονται, οὐδὲ τῶν ἄλλων; ἢ ἡ μὲν ὀφθαλμία,

Phthisis. lippitudo & scabies. appropinquantes cōtagioē lędunt

[illegible]τατον ὁ ὀφθαλμός.

ὅτι εὐκινητότατον ὁ ὀφθαλμός· καὶ μάλιστα ὁμοιοῦται τῶν ὁρωμένων τῷ ἄλλῳ· οἷον κινεῖται ἀπὸ κινουμένου, ὥστε τῷ ἀντιβλέποντι τεταραγμένῳ, ταράττεται μάλιστα. ἡ δὲ φθίσις, ὅτι πνεῦμα φαῦλον ποιεῖ καὶ βαρύ. τάχιστα δὲ τὰ νοσήματα ταῦτα ἅπτεται πάντων, ὅσα τοῦ χοῦ φθειρομένου γίνεται· οἷον τὰ λοιμώδη. ὁ δὲ πλησιάζων τοιοῦτον, ἀναπνεῖ. νοσεῖ μὲν οὖν ὅτι νοσώδης, αὐτὸ μόνον δὲ ὅτι ἐκ τοῦ πνεῖν. νοσοῦσι δὲ ἄλλοι ἑτέραν· τὴν αὐτὴν δὲ νόσον, ὅτι ᾧ ἂν ἀσθενήσῃ, τούτῳ ἀναπνεῖ τοιοῦτον, οἷον εἰ περὶ τὸν θώρακα. ἡ δὲ ψώρα μόνη τῶν ἄλλων, οἷον λέπραις καὶ τῶν τοιούτων· ὅτι ἐπιπολῆς καὶ γλίσχρον τὸ ἀπορρέον. τὰ γὰρ κνησμώδη τοιαῦτα, διὸ αὐτὰ τῷ ἐπιπολῆς γίνεσθαι καὶ γλίσχρα εἶναι ἅπτεται. τὰ δ᾽ ἄλλα ταῦτα μὲν οὐχ ἅπτεται, διὰ τὸ ἐπιπολῆς γίνεσθαι· τὰ δ᾽ ὄντα ἐπιπολῆς, ὅτι προσμένει διὰ ξηρότητα.

Celeriter corripiunt morbi q aere uitiato fiunt ut pestis

ἈΡΙΣΤΟΤΈΛΟΥΣ ὍΣΑ ἘΚ ῬΊΓΟΥΣ ΚΑῚ ΦΡΊΚΗΣ.

Cur frigido tempore bulimia potius fiat .i. caninus appetitus

α΄ Διὰ τί μάλιστα βουλιμιῶσιν ἐν τῷ ψύχει καὶ τοῦ χειμῶνος μᾶλλον ἢ τοῦ θέρους; ἢ διότι ἡ βουλιμία γίνεται δι᾽ ἔνδειαν τῆς ξηρᾶς τροφῆς· ἐν δὲ τῷ χειμῶνι συστελλομένου τοῦ ὄντος θερμοῦ εἰς ἐλάττω, τοῦτον θᾶττον ὑπολείπει ἡ ἐντὸς τροφή. τούτου δὲ γινομένου, μᾶλλον βουλιμιᾶν εἰκός. εἰ δ᾽ ἐν τῇ βουλιμίᾳ ἔκλυσις καὶ ἀδυναμία γίνεται, συντήξεως γινομένης ἐν τῷ σώματι διὰ τὴν τοῦ θερμοῦ ἄθροισιν, ἧς ἐνεχθείσης εἰς τὸν τῶν σιτίων τόπον, αὕτη τροφὴ γίνεται τῷ σώματι. ἐὰν δὲ ἐπὶ τὰς ἀρχὰς τῆς ἀναπνοῆς ἔλθῃ, ἀφωνία καὶ ἀδυναμία συμβαίνει. ἀφωνία μὲν, διὰ τὸ ἐμφράττεσθαι τὸν τοῦ πνεύματος πόρον· ἀδυναμία δὲ, διὰ τὴν τοῦ σώματος ἀτροφίαν καὶ σύντηξιν. ταχεῖαι δὲ καὶ ἀπ᾽ ὀλίγων αἱ βοήθειαι γίνονται τοῖς τοιούτοις, διὰ τὸ τὴν ἀρχὴν τοῦ πάθους ἔξωθεν γίνεσθαι. συστέλλον γὰρ τὸ ἐκτὸς ψυχρὸν τὸ θερμὸν ἡμῶν, ποιεῖ τὴν βουλιμίαν. καθάπερ οὖν ἐν τῷ φόβῳ τρέμοντες καὶ ὠχριῶντες, ἀφεθέντες τοῦ κινδύνου, παραχρῆμα

οἱ αὐτοὶ

∴ uterq: interpres uertit aperiuntur

οἱ αὐτοὶ γίνονται, οὕτω καὶ οἱ βουλιμιῶντες μικρὰ προσενεγκάμενοι ἐξ ἄρτου, βιακινηθέντος ἐκ τῆς φύσεως· μὴ φθαρέντος δὲ, ταχεῖα ἡ ἀποκάθαρσις γίνεται. τοῦτο γὰρ ἀντιτείνει, τήν τε κατὰ φύσιν ἀγωγὴν, καὶ καθίστησιν εἰς τὴν φύσιν. ἀφεῖναι οὖν μόνον αὐτὴν δεῖ, καὶ καθάπερ τῶν παιδίων τὰ ἀντιτείνοντα εἰς τοὐπίσω τὰ σπαρτία. καὶ γὰρ ταῦτα ἀφεθέντων τῶν σπαρτίων εὐθὺς πεπτώκασιν ὕπτια.

προσενεγκάμενοι

β΄ Διὰ τί οἱ γεγυμνασμένοι, δυσριγότεροι τῶν ἀγυμνάστων; πότερον ὅτι τὸ πῖον ὑπὸ τῶν πόνων ἐξῄρηται· τοῦτο δὲ ἀλέαν παρέχει· θερμὸν γὰρ τὸ λιπαρόν. ἢ ὅτι εὐπνούστερα τὰ σώματα καὶ ἀραιότερα, διὰ τὸ πῖον καὶ τὸ περίττωμα ἐξῃρῆσθαι· ὥστε οὐδὲν ἀποστέγει τὸ ψῦχος. ἢ διὰ τὴν τῶν πόρων ἀποστόμωσιν, τοῖς ἱδροῦσιν οἷον πολλαὶ θύραι ἐξηρέωνται. φανερὸν δὲ ὅτι οὐχ ἡ αὐτὴ ἕξις πρός τε ὑγίειαν καὶ ἰσχὺν συμφέρει· ἡ μὲν, πίων· ἡ δὲ ἀραιὰ φαίνεται οὖσα.

Qui se exercent frigori obnoxios magis esse

Pingue calidū esse

ἀποστέγειν arcere

Non eundē habitū ee idoneū ualitudini & robori

γ΄ Διὰ τί φρίττουσι καὶ τῷ θερμῷ καὶ τῷ ψυχρῷ προσχρώμενοι; τὸ ἐντὸς θερμὸν σβεννύμενον, τὴν φρίκην ποιεῖ. ὑπὸ δὲ τοῦ θερμοῦ τὸ ἐκτὸς ψυχρὸν ἀντιπεριϊστάμενον εἴσω καὶ ἀθροιζόμενον τῇ φύσει ἔσω· ὥστε ὑπὸ τοῦ αὐτοῦ ἄμφω γίνεται, ἀλλ᾽ ὅτε μὲν ὑπὸ τοῦ ἔσω· ὅτε δὲ ὑπὸ τοῦ ἔξωθεν.

Antiperistasis

δ΄ Διὰ τί φρίττουσιν αἱ τρίχες ἐν τῷ δέρματι; ἢ ὅταν συσπάσωσι τὸ δέρμα, εἰκότως ἐξανέστησαν. συσπῶσι δὲ καὶ ὑπὸ ῥίγους καὶ ὑπ᾽ ἄλλων παθῶν.

Cur pili inhorrescāt

ε΄ Διὰ τί ἐν τῇ τελευταίᾳ προέσει τοῦ οὔρου, φρίττομεν; ἢ ὅτι ἐνόντος μὲν τοῦ ὑγροῦ θερμοῦ, πλήρεις ἥ τε κύστις καὶ οἱ περὶ αὐτὴν πόροι· ἐξελθόντος δὲ ἀὴρ ψυχροῦ ἐνέπλησεν. οὐδὲν γὰρ κενὸν δεῖ εἶναι· ἀλλ᾽ ἢ ἀέρος ἢ σώματος πλήρη. ἀντεισεληλυθότος ψυχροῦ ἀέρος, εἰκότως φρίττειν συμβαίνει.

Cur in ultima emissione urinę inhorrescim9

Nihil uacuū esse sed plenū aut corpore aut aere

ς΄ Διὰ τί τῶν ῥιγώντων ἡ γλῶττα καθάπερ τῶν μεθυόντων παίει; πότερον ὑπὸ τοῦ ψύχους πηγνυμένη καὶ σκληρυνομένη, δυσκίνητος γίνεται. τούτου δὲ συμβαίνοντος, οὐ δύναται σαφηνίζειν. ἢ τῶν ἐκτὸς ψυχομένων, διὰ τὸ ψῦχος ἔσω συρρυὲν τὸ ὑγρὸν ἐξυγραίνει τὴν γλῶτ-

deest ex utraq: traductioē. inconueniens .n. contrarias eiusdē esse causas. an qa in his q pfunduntur frigida

:. uel superfluit. τ vel legendum. ἡ

ται. διόπερ οὐ δύναται ἡ γλῶττα τὸ αὐτὸ ποιεῖν, καθάπερ εἴρηται ἐστὶ ἐπὶ τῶν μεθυόντων, ἢ διὰ τὸ μὴ ἀπὸ τοῦ ἐξ ἴσου τρόμου, ἀτάκτου τῆς κινήσεως οὔσης, οὐ δύναται ταὐτὰ λεγόμενα διαρθροῦν ἡ γλῶττα. διόπερ ἐστὶ παίζει (?).

Cur pili rigentium eriguntur

Διὰ τί τῶν ῥιγούντων ὀρθαὶ αἱ ἐν τῷ σώματι τρίχες γίνονται; ἢ διότι ἀπὸ τῆς καταψύξεως τὸ θερμὸν εἰς τὸν ἐντὸς τόπον ἀθροίζεται, ἐκλείποντος δὲ ἐκ τῆς σαρκὸς τοῦ θερμοῦ, συνίσταται (ἡ σάρξ) μᾶλλον· συναγομένης δέ, ὀρθότεραι αἱ τρίχες γίνονται. ἢ διότι

Hyeme currentes magis rigere quam stantes

Aerem cum mouetur frigidiorem reddi

Διὰ τί τοῦ χειμῶνος τρέχοντες μᾶλλον ῥιγῶσιν ἢ ἑστῶτες; ἢ ὅτι ὁ ἀὴρ ὁ περὶ τὸ σῶμα ἑστώτων μέν, ἐπειδὰν ἅπαξ συνθερμανθῇ, οὐκ ἔτι ἐνοχλεῖ, τρεχόντων δέ, ἀεὶ ἄλλος καὶ ἄλλος προσπίπτει ψυχρὸς ὤν. διόπερ μᾶλλον ῥιγῶσιν. ἔτι δὲ κινούμενος ψυχρότερος γίνεται ὁ ἀήρ· τοῦτο δ' ἐν τῷ τρέχειν μάλιστα συμπίπτει.

ὑποφαύσκοντος diluscescente

Ros & pruina die instante cadere solent

Cur sub auroram magis frigeamus cum sol propius adsit

Διὰ τί ὑποφαύσκοντος μᾶλλον ψῦχος ἢ ἐπιγυτέρω τοῦ ἡλίου ὄντος; ἢ ὅτι πλείων χρόνος τῆς τοῦ ἡλίου ἀπουσίας, ὥστε μᾶλλον ἀπέψυκται ἡ γῆ; ἢ ὅτι πρὸς ἡμέραν ἡ δρόσος πίπτει, ὥσπερ πάχνη, ταῦτα δὲ ψυχρά. ἢ ἔτι ταῦτα πίπτει, διὰ τὸ κρατεῖσθαι τὸ ἀναφερόμενον θερμόν. κρατεῖται δὲ διὰ τὴν τοῦ ἡλίου ἀπουσίαν. διὸ καὶ πλεῖον μὲν ἀπέχοντος οὐ πίπτει, ἐγγυτέρω δὲ ὄντος, πίπτει καὶ γίνεται. διότι μᾶλλον ἀπέψυκται ὁ τόπος, πλείω χρόνον τοῦ ἡλίου ἀπόντος. ἢ ὅτι πρὸς ἡμέραν μᾶλλον τὰ ἐκ νυκτῶν πνεύματα τῆς ψύξεως. ἢ ἡμῖν δοκεῖ μᾶλλον εἶναι ψῦχος; ἢ διὰ τὸ πεπέφθαι τὰ σιτία, κενώτεροι δὲ ὄντες, δυσριγότεροι. σημεῖον δέ, τὸ μετὰ τοὺς ἐμέτους μάλιστα ῥιγοῦν.

Simile a simili non pati

Cur nimium frigentes si ad ignem repente accedant uehementer doleant

Διὰ τί πονοῦσιν ὅταν ῥιγῶντες πρὸς τὸ πῦρ φέρωσιν· ὅταν δὲ κατὰ μικρὸν χλιαίνωσιν, οὔ; ἢ ὅτι ὅλως ἐκ τῶν ἐναντίων τοὐναντίον γινόμενον μεγάλην ποιεῖ τὴν μεταβολήν, ὥσπερ ἐπὶ τῶν δένδρων. εἰ μὲν κατὰ μικρὸν κάμπτοι τις, οὐκ ἂν πονεῖ· εἰ δὲ σφοδρότερον καὶ μὴ κατὰ μικρόν, κλῶνται. εἰ οὖν τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου ἀπαθές, τὸ δὲ θερμὸν τοῦ ῥιγῶντος ἐ

a uacat in utraque traductione

σω

a densitate uterque: transfert interpres quare corrigendum a πηγότητα

συνίσταται καὶ συνέρχεται. τὸ δὲ ὑγρὸν καταλείπεται ὑπὸ τοῦ ψυχροῦ· τὸ δ' ἐναντίον τοῦ ἐναντίου φθαρτικόν. ὥστε ἐὰν μὲν χλιαίνῃ, καὶ κατὰ μικρὸν εἰσέρχεται τὸ θερμόν, καὶ ἧττον πονεῖ· ἐὰν δὲ μὴ ἰά· ἀναχλιαίνῃ, προσάλλει μᾶλλον.

Plumbum lana calidius

Διὰ τί ψυχεινότερος μᾶλλον ὁ ἀπὸ τῆς θερμασίας καόμενος καὶ ἀλγοῦμεν· πότερον διὰ ψυχρότητα στερεῖται ἡ σὰρξ τὸ προσπίπτον θερμόν, διὸ μόλιβδος ἐρίου θερμότερος; ἢ βίαιος γίνεται τοῦ θερμοῦ ἡ εἴσοδος, διὰ τὸ πεπηγέναι ὑπὸ τοῦ ψύχους τοὺς πόρους.

Ira ab igne proficiscitur

Calor internus cum nimius est & humificat facit ut erubescant

ιβ'. Διὰ τί ὀργιζόμενοι ἐρυθριῶσιν; ἢ ὅτι ἡ ὀργὴ τῇ δειλίᾳ ἐναντίον, ὁ θυμὸς ἐστι δὲ ἡ μὲν ὀργή, ἀπὸ τοῦ πυρός. πολὺ γὰρ πῦρ κατέχοντες εἴσω χλιαίνονται. μάλιστα δέ ἐστι μὲν ἐπὶ τῶν παιδίων καταμαθεῖν· οἱ μὲν γὰρ ἄνδρες βλάπτονται· τὰ δὲ παιδία, πρῶτον μὲν τὸ πνεῦμα πολὺ ἀναλαμβάνουσιν, εἶτα ἐρυθριῶσι· πολὺ γὰρ εἴσω ὂν τὸ θερμὸν καὶ ὀξυγαῖμον, ἐρυθραίνουσιν· ἐπεὶ ἐάν τις αὐτοῖς πολὺ τοῦ ψυχροῦ προχέοι, παύσονται ὀργιζόμενοι· κατασβεσθείη γὰρ ἂν αὐτῶν τὸ θερμόν. οἱ δὲ δειλοὶ φοβούμενοι, τοὐναντίον· ῥιγοῦσί τε γὰρ καὶ ψυχροὶ καὶ ὠχροὶ γίνονται· ἐκλείπει γὰρ τὸ θερμὸν αὐτοῖς ἐκ τῶν ἄνω τόπων.

ιγ'. Διὰ τί ὅταν φρίξωμεν, αἱ τρίχες ὀρθαὶ ἵστανται; ἢ διὰ τὸ ἐν ὑγρῷ πεφυκέναι κατακεκλεῖσθαι. κρατεῖ γὰρ τοῦ ὑγροῦ τὸ βάθος τῆς τριχός. ἡ δὲ φρίκη γίνεται ὑπὸ τοῦ ψυχροῦ· τὸ γὰρ ψῦχος τῇ φύσει ἀπογίνεσθαι τὸ θερμόν. ὅταν οὖν μεταβάλλῃ τοῦ ὑγροῦ ἐξ οὗ πεφύκασιν αἱ τρίχες καὶ παγῇ, μεταβάλλειν εἰκὸς τὰς τρίχας. εἰς μὲν οὖν τοὐναντίον εἰ μεταβάλλουσιν, ἢ ἐν ταὐτῷ μένουσιν, ὅπου κρατήσει πάλιν ἡ θρὶξ τοῦ ὑγροῦ· οὐκ εἰκὸς δὲ περιεστηκότος καὶ πεπυκνωμένου τοῦ ὑγροῦ, τὴν τρίχα τῷ βάρει κρατεῖν· εἰ γὰρ μηδεμιᾷ ὅσει ἐκκλεῖσθαι δύναιτο τὴν τρίχα, τοῦ ὑγροῦ πεπηγότος, λείπεται ἱστάναι ὀρθήν. ἢ διότι ὑπὸ τῆς καταψύξεως τὸ θερμὸν εἰς τὸν ἐντὸς τόπον ἀθροίζεται· ἐκλείποντος δὲ ἐκ τῆς σαρκὸς τοῦ θερμοῦ, συνίσταται μᾶλλον ἡ σάρξ· συναγομένης δέ, ὀρθότεραι αἱ τρίχες γίνονται, καθάπερ ἐάν τις εἰς τὴν γῆν ἐμπήξας κάρφος ἢ ἄλλο τι συμπατῇ ἔπειτα ὅθεν συνάγῃ τὴν γῆν, μᾶλλον ὀρθοῦται. ἢ

:. ς. δ. theodo. s.

ἢ δι' ἐὰν ἐκ μὴ διῶσιν ἐστηκήκασιν. Διὰ τί οἱ ῥιγοῦντες μάλιστα οὐ καθεύδουσιν; ἢ ὅτι ὁ ῥιγῶν μᾶλλον κατέχει τὸ πνεῦμα ἢ ἐκπνεῖ. ὁ δὲ καθεύδων, ἐκπνεῖ ἢ εἰσπνεῖ. ἐναντίως οὖν ποιεῖ ἔχειν τὸ ῥῖγος τῷ καθεύδειν.

ͫ μελαίνεται. deest ex utraq: tralatiõe

ἈΡΙΣΤΟΤΈΛΟΥΣ ὍΣΑ ΠΕΡῚ ὙΠΩΠΙΑ ΚΑῚ ΟΥΛᾺΣ ΚΑῚ ΜΩΛΩΠΑΣ.

μώλωπας. Vibices

α'. Διὰ τί τοὺς μώλωπας κωλύει ταχὺ ἐκδέρεσθαι (?) τὰ δέρματα τὰ προστιθέμενα, ἢ μάλιστα κρεῶν ᾠὰ τὰ καταπνύγμενα (?); ἢ ὅτι ἄμφω κωλύει τὴν ἄθροισιν τοῦ ὑγροῦ καὶ τὴν ἔπαρσιν· τὸ δ' ἀφηλκωμένον ἕλκει, ἔπειτα διὰ τὴν θερμασίαν. τά τε ᾠὰ διὰ τὴν γλισχρότητα κατακολλώμενα κωλύει ἐπαίρεσθαι, καθάπερ καὶ τὰ καύματα. ὥσπερ ἔοικε μὲν καὶ τὰ δέρματα, τῇ τε γλισχρότητι προσκολλᾶται καὶ ἅμα τῇ θερμότητι συμπέττει καὶ παύει τὴν φλεγμασίαν. οὐδὲ γὰρ ἀφαιροῦσιν ἢ μωλώπιον (?) οὐδὲ γίνεσθαι βούλονται τὴν φλεγμασίαν. θ' οἱ τῷ ἄλλῃ καὶ τῶν ἔξω γίνονται (?).

γλισχρότητι. Lentitia

β'. Διὰ τί ἐν μὲν τῷ ἄλλῳ σώματι αἱ οὐλαὶ μέλαιναι, ἐν δὲ τῷ ὀφθαλμῷ λευκαί; ἢ ὅτι τἀναντία χρόαν ἡ οὐλὴ λαμβάνει τῇ προϋπαρχούσῃ, ὥσπερ τὸ παρὰ τὸ νενοσηκός. ἐν τῷ μέλανι δὲ τοῖς ὀφθαλμοῖς τὰ ἔλκη (?)· ἐν σώματι μέλαιναι ἀλλ' ἀποκαθίστανται τῷ χρόνῳ· ἢ ὅλως ἢ μᾶλλον.

γ'. Διὰ τί ὁ νάρθηξ τὰ κύκλῳ τῆς πληγῆς ποιεῖ ἐρυθρά, τὸ δὲ μέσον λευκόν; ἢ ὅτι ἀποπιέζει τὸ αἷμα ἐκ τοῦ μέσου, καθ' ὃ μάλιστα προσπίπτει περιφερὴς ὤν· ἢ ἐσθίει ἐπαρίεναι (?), διάγει τοῦ πάλιν ἀλλ' αἷμα τὸ συνδρομὴ τὸ ἐρύθημά ἐστι.

Pulchrũ ~~epigrama~~ problema hoc & sequens de plagis in flictis ferula

δ'. συνδρομὴ δ' ἐστὶ τὸν πληγότα τόπον. Διὰ τί τῷ μὲν νάρθηκι σφόδρα πυτόμενον (?) τὸ μέσον τῆς σαρκὸς λευκὸν γίνεται, τὸ κύκλῳ ἐρυθρόν· ξύλῳ δ' ἐρυθρότερον τὸ μέσον; ἢ ὅτι ὁ μὲν νάρθηξ διὰ κουφότητα ἀποσφό-

δρα πατάξῃ

δρα πατάξῃ, τὸ μὲν πολλῆς διεσκέδασεν αἷμα. ὥστ' οὐθὲν μὲν ὀξὺ λίπε (?), λευκὸν φαίνεται. οὐδὲ πλέον ἦλθεν, ἐρυθρότερον. οἰδησάσης δὲ τῆς πληγῆς, οὔτε χωσάποκαθίσατ αὐτὸ σκεδασθὲν αἷμα, διὰ τὸ ὀλίγον τεθῆναι, καὶ τὴν φορὰν εἰς τὸ πρόσω πτῶς εἶναι. πλῆθος γὰρ βιασθὲν, δεῖ τὴν παρὰ φύσιν φορὰν ἐνεχθῆναι. διὰ δὲ τὴν σκληρότητα πληγαί, διὰ βάρος. καὶ τὴν ἰσχύν, θλίψιν καὶ θλάσιν ποιοῦσι. θλιβόμενον μὲν οὖν, κοῖλον γίνεται. θλώμενον δὲ, ἀραιόν. τομὴ γὰρ καὶ διαίρεσίς ἐστι μαλακὴ ἡ θλάσις. κοίλου δὲ καὶ ἀραιοῦ γενομένου τοῦ μέσου, φέρεται εἰς αὐτὸ ἐκ τοῦ περιέξ ἐπιπλέον (?) αἷμα κάτω τε γὰρ πέφυκε φέρεσθαι. καὶ εἰς τὰ ἀραιὰ τοῦ ἐκ τῶν αὐτὰ ἀθροιζομένου δ' ἐνταῦθα εἰκότως τὸ αἷμα τε, τοῦτο μὲν ἐρυθραίνει, τὰ δὲ ἀπολείπει λευκαίνει.

ε'. Διὰ τί αἱ οὐλαὶ τῶν ἀλληνιῶν (?) τῶν (?) ἢ ὅτι αἷμα διεφθαρμένον ἔχουσι, διὰ τὴν ἐκ τοῦ πλήθους σύμμιξιν νοσώδους αἵματος καὶ ὑδαροῦς. ἡ μὲν οὖν οὐλή, τὸ δέρμα λεπτὸν καὶ τὸ πλεῖον ἰχὼρ διὰ τὸ ὑδαρὲς καὶ θερμὸν εἶναι μέλαν ὄν, τοιαύτην ποιεῖ τὴν οὐλὴν φαινόμενον. καὶ δὴ πολλάκις ἡ οὐλὴ ἐν τούτῳ γίνεται μελαντέρα. γίνεται δὲ διὰ ταῦτα, διὰ τὴν ἀνώθεν γὰρ τοῦ δέρματος, καταψύχεται τὸ αἷμα. καὶ ὀξὺ μεῖζον τοσ τοῦ θερμοῦ, γίνεται μελάντερον. ὁμοίως δὲ καὶ τοῖς πρεσβύταις, οἵ τε χρῶτες μελάντεροι γίνονται, καὶ αἱ οὐλαὶ συγχροῦσι μελάντεραι, ἢ νέοις. οἷον ὑπώπιον γὰρ αὐτοῖς ἅπαν τὸ σῶμα. οὐδὲ διὰ λεπτότητα τοῦ δέρματος. ἀλλ' ὅτι τὸ θερμὸν ἐκλέλοιπεν.

ϛ'. Πότερον ὅσα τοῦ αὐτοῦ αἴτια, τὴν αὐτὴν ἔχει δύναμιν εἰς τὸ ποιεῖν, οὗ λέγω δ' οἷον, ἐπεὶ τὰ ὑπώπια καὶ ὁ χαλκὸς ἐξαίρει καὶ ἡ ῥαφανίς, καὶ ὁ κύαμος διαμασώμενος, καὶ ὁ πνεύμων. καὶ ἡ ἄργιλλος, καὶ ἕτερα πλείω ταὐτὴν δύναμιν. ὁ μὲν χαλκὸς, τῷ εἶναι ^ τὸν ἰὸν φαρμακώδη. ὁ δὲ κύαμος ὁ πνεύμων καὶ ἄργιλλος, τῷ ἐπισπᾶν ἐφ' ἑαυτὰ διὰ μανότητα. ἀλλὰ δεῖ ἑτέρας αἰτίας. ἢ τὸ μὲν ἔσχατον τῶν πάντων τῶν τοιούτων, ταὐτό. πολλὰ γὰρ καὶ ἐναντία τούτοις. καθάπερ καὶ τὸ θερ-

Vibices tolluntur ab aere & ab radicula & a faba comanducata & a pulmone & ab argilla.

ῥαφανὶς radicula theodor.

ἄργιλος argilla

Rubiginẽ optinere uim pharmaci

ͫ ἰῶδη. deest ex utraq: traductioẽ

ͫ deest δὲ

μὲν καὶ τὸ ψυχρόν. τὰ δὲ πρὸ τούτων, οὐδὲν κωλύει ἕτερα.

ζʹ. Διὰ τί αἱ μὲν ἄλλαι οὐλαὶ μέλαιναι γίνονται. αἱ δὲ ἐν τῷ ὀφθαλμῷ, λευκαί. ἢ διότι μεταβάλλουσιν ἐν ᾧ ἂν ὦσι πρὸς τὰς χροιάς. ἐν δὲ τῷ ὀφθαλμῷ μέλανι ὄντι γίνονται. ὥστε ἀνάγκη λευκὰς γίνεσθαι.

ηʹ. Διὰ τί ἀλγεινοτέρα ἡ πληγὴ τοῦ νάρθηκος, ἢ ἑτέρων σκληροτέρων. ἐάν τις κατὰ λόγον σκοπῇ τῶν τύπων. εὔλογον γὰρ τὴν τοῦ σκληροτέρου εἶναι ἀλγεινοτέραν. μᾶλλον γὰρ τύπτει. ἢ ὅτι ἡ σὰρξ ἀλγεῖ, οὐ μόνον τυπτομένη, ἀλλὰ καὶ τύπτουσα. ὑπὸ μὲν οὖν τῶν σκληρῶν τύπτεται μόνον. ὑπείκει δὲ διὰ τὴν σκληρότητα αὐτῶν. ὑπὸ δὲ τοῦ νάρθηκος, ἄμφω αὐτῇ συμβαίνει, τύπτεσθαί τε, διὰ κουφότητα τοῦ βάρους, τύπτειν μὴ εἴκουσαν. ὥστε διπλασία γίνεται ἡ πληγή.

θʹ. Διὰ τί ἡ θαψία καὶ ὁ κύαθος, τὰ ὑπώπια παύει. ἡ μὲν, ἀρχόμενα. ὁ δὲ, ὕστερον ἐναντία ὄντα. ὁ μὲν κύαθος, ψυχρός. ὥστε καὶ ὁ ποιητής φησι, ψυχρὸν δ᾽ ἕλε χαλκὸν ὀδοῦσιν. ἡ δὲ θαψία, θερμὸν καὶ καυστικόν. ὁ μὲν κύαθος, ὥσπερ τοῖς μικροψυχοῦσι τὸ ὕδωρ. ἀπαρτῶσα γὰρ ἡ ψῦξις, κωλύει ἐξιέναι τὸ θερμὸν ἐκ τοῦ αἵματος ὃ ἐπιπολῆς διὰ τὴν πληγὴν συνδραμόν τε. καὶ ὅταν ἐξέλθῃ, τὸ θερμὸν πήγνυται. ὥσπερ γὰρ ἂν εἰ ἔξω ὂν πήγνυται καὶ ἐγγὺς τοῦ ἔξω τὸ αἷμα, ὅταν ᾖ ὑπὸ τὸ δέρμα κωλυθέντος ἐξιέναι τοῦ θερμοῦ διὰ τὴν ψυχρότητα τοῦ χαλκοῦ πήγνυται. ἀλλὰ πάλιν διαχεῖται. καὶ ἐπανέρχεται ὅθεν συνέδραμεν. ἡ δὲ θαψία, θερμαίνουσα, ταὐτὸ ποιεῖ. κωλύει γὰρ πήγνυσθαι θερμαίνουσα.

ιʹ. Διὰ τί τὰ ὑπώπια διαλύεται προσέχουσι τὰ χαλκᾶ. οἷον κυάθους καὶ τὰ τοιαῦτα. ἢ διότι ψυχρὸν ὁ χαλκός ἐστι. κωλύει οὖν τὸ θερμὸν ἐξιέναι. ἐκ τοσούτου αἵματος ὑπὸ τῆς πληγῆς. οὐκ ἐξελθόντος, ἐκ τῶν ἐπιπολῆς, γίνεται ὑπώπιον. διὸ καὶ ταχὺ δεῖ προστιθέναι πρὶν παγῆναι. ἡ ἡ θαψία δὲ μετὰ μέλιτος βοηθεῖ διὰ τὸ αὐτό. θερμὴ γὰρ οὖσα, κωλύει ψύχεσθαι τὸ αἷμα.

ιαʹ. Διὰ τί ποτε ὅταν μὲν τῷ αὐτῷ τόπῳ πλεονάκις ἕλκος γένηται, ἡ οὐλὴ μέλαινα γίνεται. ἢ ὁπόταν γένηται ἕλκος

⁖ δέ. deest

Ictus ferulæ dolorosior est. Notandu(m) p(ro) poetis

Thapsia

Cyathus æris addit uetus interpres

Homer(us)

Quæ sit causa ut ganimo linquuntur asperfi aqua frigida reuiuiscant.

Cyathus æris

ἐκ τῶν ἐπιπολῆς

Thapsia cum melle

⁖ ἀσθενές. s. f. ex utraq(ue) traductioe

ἕλκος πᾶν ἀσθενές ἐστι τοῦτο. καὶ ὅσῳ ἂν πλεονάκις, τοσούτῳ μᾶλλον. τὸ δὲ ἀσθενὲς, κατεψυγμένον ἐστὶ ὑγρότητος πλῆρες. διὸ καὶ μέλαν φαίνεται. εἰ τὰ μεγάλα ἕλκη καὶ πολυχρόνια μελαίνας τὰς οὐλὰς ἴσχει. τὸ δὲ πολλάκις λαβεῖν ἕλκος, οὐδὲν, ἀλλ᾽ ἢ πολὺν χρόνον ἔχειν ἐστὶν ἕλκος.

ιβʹ. Διὰ τί ποτε πρὸς τὰ ὑπώπια τοὺς κυάθους προστιθέμεθα. ἢ διότι ὅταν πληγῶμεν, ὁ τόπος καταψύχεται. τὸ δὲ θερμὸν ὑποχωρεῖ. προστιθέμενος οὖν ὁ κύαθος ψυχροῦ ὄντος τοῦ χαλκοῦ, διακωλύει τὸ θερμὸν ἐκπορεύεσθαι.

ιγʹ. Διὰ τί ἐν ταῖς οὐλαῖς οὐ γίνονται τρίχες. ἢ ὅτι οἱ πόροι ἐκτυφλοῦνται ἐξ ὧν αἱ τρίχες καὶ παραλλάττουσι.

ιδʹ. Διὰ τί οἰδήματα καὶ πελιώματα λαμβάνουσιν αἱ πληγαί. ἢ διότι κατὰ τοῦτον τὸν τρόπον διασταλέντα τὰ ὑγρὰ, εἰς τοὺς πλησίον τόπους προσκόψαντα, ἀπαλλάττεται πάλιν. ἢ τῇ κολλήσει ὑγρὸν συνήγαγεν. ἐὰν δὲ καὶ φλεβία τινὰ ῥαγῇ ὑφαιμοῦ ἡ συνδρομὴ γίνεται.

τὸ πολλάκις λαβεῖν ἕλκος οὐδὲν ἄλλο ἢ πολὺν χρόνον λαβεῖν ἐστὶν ἕλκος

Cur in cicatricibus no(n) fiant pili

πελιώματα liuore

διασταλέντα disiecta

ἈΡΙΣΤΟΤΕΛΟΥΣ ΠΡΟΒΛΗΜΑΤΩΝ ἘΠΙΤΟΜΗ ΦΥΣΙΚΩΝ.

αʹ. [Δ]ιὰ τί τὰ μὲν, βήττει. τὰ δ᾽ οὔ. οἷον ἄνθρωποι μὲν βήττει. βοῦς δὲ οὔ. ἢ τὸ πρότερον τὸ εἰς ἄλλο τι ξέπεσθαι τοῖς πλείστοις ζῴοις τὸ περίττωμα, ἀνθρώπῳ δεῦρο, ἢ ὅτι ἐγκέφαλον πλεῖστον καὶ ὑγρότατον ἔχει ὁ ἄνθρωπος. ἡ δὲ βὴξ καταρρέοντος γίνεται φλέγματος.

βʹ. Διὰ τί ἀνθρώπῳ μόνῳ τῶν ζῴων αἷμα ῥεῖ ἐκ τῶν μυκτήρων. ἢ ὅτι ἐγκέφαλον ἔχει πλεῖστον καὶ ὑγρότατον. ἀφ᾽ οὗ αἱ φλέβες πληρούμεναι τοῦ περιττώματος, διὰ τῶν πόρων προΐενται τὴν ῥεῦσιν.

βήττει tussiunt

~~homi~~

Boues no(n) tussiunt

βήξ. tussis

Plurimu(m) cerebri p(ro) portione corporis habet cerebro homo

Tussim fieri distillate pituita

soli homini ex reliquis animantib(us) sanguis ex naribus defluit

Il fu legit uetus interpres uertit q: duriore. At theodor) uidet[ur] legisse ἁρμοττέσθαι interpretatus rariore

ἀλλὰ ἢ ἐν σαρκί · ex utra q: traductio de est

λεπτότερον γὰρ γίνεται τὸ αἷμα τοῦ καθαροῦ, τὸ μὲν ὀρρόν, τὸ δέ ἐστι τὸ μιχθὲν ἐκ τοῦ ἐγκεφάλου περιττώμασι· ἢ ἔστι καθάπερ ἰχώρ.

ἰχώρ sanies. Theodor) & uetus interpres

γ'. Διὰ τί τῶν ζώων τὰ μὲν ὑπόσαρκα, πίονά ἐστι, τὰ δὲ κατ᾽ ἀμφότερα; ἢ ὅσων μὲν πυκνή ἐστιν ἡ σάρξ, ὑπόσαρκα, μεταξὺ τοῦ δέρματος καὶ τῆς σαρκὸς συστέλλεται ἡ ἰκμάς· διὰ τὸ ταύτην εἶναι ἀφεστῶσαν φύσει ἢ πεπομμένην, γίνεται πιμελή· ὅσα δὲ ἀραιοτέραν ἔχει τὴν σάρκα, τὸ δέρμα προσεστώς, κατὰ τὴν σάρκα πίονα γίνεται· τὰ δὲ ἀμφοτέρως ἔχοντα, ἐπ᾽ ἀμφότερα πιαίνεται.

προεστώς obuiam

δ'. Διὰ τί οἱ παῖδες καὶ γυναῖκες, ἧττον ἔχουσι λεύκην τῶν ἀνδρῶν· καὶ τῶν μὲν γυναικῶν, αἱ πρεσβύτιδες μᾶλλον; ἢ ὅτι ἡ λεύκη ἐστὶ πνεύματος ἔξοδος· ἔστι δὲ τὰ μὲν τῶν παίδων οὐκ εὔπνοα σώματα, ἀλλὰ πυκνά· καὶ τὰ τῶν γυναικῶν ἧττον, ἢ τὰ τῶν ἀνδρῶν, εἰς τὰ καταμήνια γὰρ ἐκτρέπεται· δηλοῖ δὲ ἡ λειότης, τὴν πυκνότητα τῆς σαρκός. τὰ δὲ τῶν πρεσβυτέρων καὶ τὰ τῶν γραῶν, εὔπνοα· μόνα γὰρ ὥσπερ τὰ παλαιὰ οἰκοδομήματα, διεστῶσαν ἔχει τὴν σύνθεσιν τῶν μορίων, τὸ σῶμα.

λεύκη. Vitiligo

Corpora puerorum contextu denso non facili expiratu constat. & item foeminarum magis quam uirorum

ε'. Διὰ τί ὁ ἄνθρωπος μόνος ἴσχει λεύκην; πότερον ὅτι λεπτοδερματώτερον τῶν ζώων ἐστίν, ἅμα δὲ καὶ πνευματωδέστερον· σημεῖον δὲ ὅτι ἡ λεύκη ἐν τοῖς λεπτοδερματωτέροις μάλιστα καὶ πρῶτον γίνεται μέρεσιν· ἢ διὰ ταῦτά τε, καὶ ὅτι μόνον πολιοῦται τῶν ζώων· ἐν γὰρ ταῖς λεύκαις πολιαὶ γίνονται αἱ τρίχες· ὥστε ἀδύνατα τὰ ὅσα μὴ πολιοῦται λεύκην ἴσχειν.

solus ex animalib) ho[mo] uitiligine infestatur

Solum hominem ex alijs animalibus canescere

ϛ'. Διὰ τί αἶγες μὲν καὶ πρόβατα ἀμέλγονται πλεῖστον γάλα· οὐ μέγιστον σῶμα ἔχοντα· ἄνθρωπος δὲ καὶ βοῦς ἔλαττον ὡς κατὰ λόγον; πότερον ὅτι εἰς τὸ σῶμα ἀναλίσκεται τοῖς δὲ ἄλλοις εἰς τὸ περίττωμα· τοῖς προβάτοις δὲ καὶ ταῖς αἰξί, τὸ περιγινόμενον τοῦ περιττώματος γάλα γίνεται πᾶν· ἢ ὅτι πολυτοκώτερά ἐστι τῶν μεγάλων· ὥστε πλεῖον ἀεὶ περίττωμα, διὰ τὸ πλείω τρέφειν· ἢ δι᾽ ἀσθένειαν τῶν σωμάτων πλεῖον περίττωμα γίνεται κυούσιν αὐτοῖς· τὸ δὲ γάλα, γίνεται ἐκ τοῦ περιττώματος.

Lac ex superfluitate gigni

ζ'. Διὰ τί τῶν ζώων τὰ μὲν, μεταβάλλοντα τὰ ὕδατα μεταβάλλει τὰς χρόας, καὶ ὁμοιοῦται τοῖς ἐκεῖ· οἷον αἶγες· τὰ δὲ οὔ· οἷον ἄνθρω-

Quedam animalia aquas mutantia mutant et colorem. lege exemplum marginis charta sequenti

ποι

ποι. Καὶ ὅλως δὲ διὰ τί τὰ μὲν, μεταβάλλει, τὰ δὲ, οὔ· οἷον κόραξ οὐ μεταβάλλει; ἢ ὧν μὲν οὐ κρατεῖ ἡ φύσις τοῦ ὑγροῦ ὥσπερ ἡ τῶν ὀρνέων· διὸ καὶ κύστιν οὐκ ἔχει, οὔτε μεταβάλλει.

θ' Καὶ διὰ τί οὐκ αὐτὰ ἀλλὰ τὰ ἔκγονα μεταβάλλει; ἢ ὅτι ἀσθενέστερα τῶν γεννησάντων.

Vesica carent auium genus & cur

Ipsa animalia que aquas mutant non mutare colorem sed que gignuntur ab illis.

ΕΤΙ ΠΕΡΙ ΤΩΝ ΑΥΤΩΝ.

α' Διὰ τί τὰ ἄρρενα μείζονα τῶν θηλέων ὡς ἐπὶ πᾶν ἐστι; πότερον ὅτι θερμότερα· τοῦτο δὲ αὐξητικόν· ἢ ὅτι ὁλόκληρα· τὰ δὲ πεπήρωται· ἢ ὅτι τὰ μὲν, ἐν πλείονι χρόνῳ τελειοῦται· τὰ δέ, ἐν ὀλίγῳ.

Mares maiores esse quam foeminas ut plurimum

β'. Διὰ τί τὰ μὲν, ταχυτόκα τῶν ζώων ἐστί, τῶν δὲ πολυχρόνιος ἡ κύησις; ἢ ὅτι τὰ μακροβιώτερα, βραδύτερον πέφυκε τελειοῦσθαι· ἔστι δὲ βραδυτόκα, τὰ μακρόβια· οὐ μέντοι τὰ μάλιστα· οἷον ἵππος ἀνθρώπου, βραδυτοκώτερον μὲν μάλιστα, ὀλιγοχρονιώτερον δέ· τούτου δὲ αἴτιον, ἡ σκληρότης τῶν ὑστερῶν· ὥσπερ γὰρ ξηρὰ γῆ οὐ ταχὺ ἐκτρέφει, οὕτω καὶ ἡ τοῦ ἵππου ὑστέρα.

Mares longo temporis spatio perfici foeminas breui

οὐ μέντοι τὰ μάλιστα .i. non uniuersale idest

γ'. Διὰ τί τοῖς ἄλλοις ζῴοις τὰ ἔκγονα μᾶλλον τὰς φύσεις ὁμοιοῦται, ἢ τοῖς ἀνθρώποις; ἢ ὅτι ὁ μὲν ἄνθρωπος, πολλαχῶς διατίθεται τὴν ψυχὴν κατὰ τὴν ὁμιλίαν· καθὼς δὲ ἂν ὅ, τι πατὴρ ἢ μήτηρ διατιθῶσιν, οὕτω ποικίλλεται καὶ τὰ τικτόμενα· τὰ δὲ ἄλλα ζῷα, τὰ μὲν πλεῖστα πρὸς αὐτὸ τοῦτό εἰσιν. ἔτι δὲ οὐ πληροῦται ὡς ἐπὶ τὸ πολύ, διὰ ταύτην τὴν ἐπιθυμίαν.

Cetera animalia magis similia parentibus quam homo & cur

Tale euadere foetum quale sunt gignentis phantasmata & cogitationes

δ'. Διὰ τί οἱ λευκοὶ ἄνθρωποι καὶ ἵπποι ὡς ἐπὶ τὸ πολὺ γλαυκοί; ἢ διότι χρώματα ὄντων τῶν ὄμ-

Albi homines & equi ut plurimum cesij

ὑστέρων non ὑστερῶν nota grammatice

∴ κυνίδια. sc. ex utraq: traductione
α sc. μικρόν. parum. ue. pr

μασι, μέλανος καὶ αἰγωποῦ καὶ γλαυκοῦ, τῷ τοῦ σώματος χρώματι. καὶ τὸ τοῦ ὀφθαλμοῦ χρῶμα ἀκολουθεῖ. τοῦ τοῦ δέ ἐστι γλαυκότης.

Animalium cur alia magna alia parua & cur pumiliones

Διὰ τίνα αἰτίαν οἱ μανοὶ γίνονται. ἔτι δὲ μᾶλλον καθόλου, διὰ τί τὰ μὲν, ὅλως μεγάλα, τὰ δὲ, μικρά. εἶτα οὕτω σκεπτέον, δύο δή τινα αἴτια. ἢ γὰρ ὁ τόπος ἢ ἡ τροφή. ὁ μὲν τόπος, ἐὰν ᾖ στενός. ἡ δὲ τροφή, ἐὰν ᾖ ὀλίγη. ὥσπερ καὶ ἤδη γεγενημένων, πειρῶνται μικρὰ ποιεῖν. οἷον οἱ τὰ κυνίδια τρέφοντες ἐν τοῖς ὀρτυγοτροφείοις. ὅσοις μὲν οὖν ὁ τόπος αἴτιος, οὗτοι πυγμαῖοι γίνονται. τὰ μὲν γὰρ πλάτη καὶ τὰ μήκη ἔχοντες, γίνονται κατὰ τὸ τῶν τικτόντων μέγεθος. μικροὶ δὲ ὅλως. τούτου δὲ αἴτιον, ὅτι διὰ τὴν στενότητα τοῦ τόπου συγκλώμεναι αἱ εὐθεῖαι, καμπύλαι γίνονται. ὥσπερ οὖν οἱ ἐν τῶν καπηλίων γραφόμενοι, μικροὶ μέν εἰσι, φαίνονται δὲ ἔχοντες πλάτη καὶ βάθη, ὁμοίως συμβαίνει καὶ τοὺς πυγμαίους. ὅσοι δὲ δι' ἀτροφίαν ἐνδεεῖς καὶ ἀτελεῖς γίνονται, οὗτοι καὶ παιδαριώδη τὰ μέλη ἔχοντες φαίνονται. ἐνίους ἰδεῖν ἐστι, μικροὺς μὲν σφόδρα, συμμέτρους δέ. ὥσπερ τὰ μελιταῖα κυνίδια. αἴτιον δέ, ὅ-

ὀρτυγοτροφείοις uenationibus coturnicum. uetus interpres. the. in caueis

Melitei catelli

ς'. τι οὐχ ὥσπερ ὁ τόπος ἡ φύσις ποιεῖ. Διὰ τί τῶν ζώων, τὰ μὲν, ἐξ ἀλλήλων γίνεται, τὰ δὲ ἔκ τινων συγκειμένων ὁμοίως τῆς ἐξ ἀρχῆς γενέσεως αὐτοῖς ὑπαρξάσης, καθάπερ οἱ περὶ φύσεως λέγοντες, λέγουσι καὶ τὴν ἐξ ἀρχῆς γένεσιν τῶν ζώων γενέσθαι, διὰ τὰς μεταβολὰς καὶ μετακινήσεις τοῦ κόσμου, ἃ τότε μὲν οὕτω μετέβαλεν. καὶ νῦν εἴπερ μέλλει πάλιν γενέσθαι, τοιαύτας τινὰς ὑπάρξαι δεῖ κινήσεις. ἡ μὲν γὰρ ἀρχὴ παντὸς ἔργου μέγιστον. ἥμισυ γάρ. τὸ δὲ σπέρμα, ἀρχὴ τῶν μὲν, οὐ μικρῶν, καὶ ὅσα γίνεται μὴ ἐξ ἀλλήλων, αἴτιον τοῦ αὐτὰ γενέσθαι ὥσπερ ἐξ ἀρχῆς ἐγεννήθησαν, ἡ τοῦ σπέρματος μικρότης. τοῦ γὰρ ἐλάττονος, καὶ ἡ ἀρχὴ ἐλάττων, ὥστε ἱκαναὶ καὶ αἱ τούτου μεταβολαὶ πρὸς τὸ γεννῆσαι αὐτῶν τὸ σπέρμα, ὅπερ συμβαίνει. γίνονται γὰρ ἐν ταῖς μεταβολαῖς μάλιστα. τοῖς δὲ μείζο-

ζ'. σι, μείζονος δεῖται μεταβολῆς. Διὰ τί, τὰ μὲν, πολύτοκα τῶν ζώων, οἷον ὗς. κύων. λαγώς. τὰ δὲ, οὔ. οἷον ἄνθρωπος. λέων. ἢ ὅτι τὰ μὲν

συγκρινομένοις comixtis. ~~est~~ Vetus interpres. theo. concretis

Principium in omni re maximum momentum esse dimidium .n. totius rei esse.

τοῦ ἐλάττονος ἡ ἀρχὴ ἐλάττων

πολλὰς μήτρας καὶ τόπους ἔχει ἴσας. καὶ πίμπλασθαι ἐπιθυμεῖ, ἃ

η'. εἰς ἃ σχίζεται ἡ γονή. τὰ δὲ, τοὐναντίον. Διὰ τί ἐλάχιστον διάστημα τῶν ὀμμάτων ὁ ἄνθρωπος ἔχει τῶν ζώων κατὰ τὸ μέγεθος. ἢ διότι μάλιστα κατὰ φύσιν ἔχει τῶν ἄλλων. ἡ δὲ αἴσθησις, φύσει τὸ ἔμπροσθεν. ἐφ' ὃ γάρ ἐστιν ἡ κίνησις, τοῦτο δεῖ προορᾶν. ὅσῳ δὴ ἂν ᾖ πλεῖον τὸ διάστημα τῶν ὀμμάτων, τοσούτῳ μᾶλλον αἱ ὄψεις ἔσονται ἐν τῷ πλαγίῳ. εἰ οὖν ἔχειν δεῖ κατὰ φύσιν, ὅτι ὀλίγιστον δεῖ τὸ διάστημα εἶναι. οὕτω γὰρ εἰς τὸ πρόσθεν μάλιστα πορεύσεται. ἔτι δὲ τοῖς ἄλλοις ζώοις, ἐπεὶ χεῖρας οὐκ ἔχουσιν, ἀναγκαῖον περιορᾶν εἰς τὰ πλάγια. διὸ πλεῖον διέστηκε τὰ ὄμματα αὐτῶν, καὶ μάλιστα τῶν προβάτων. διὰ τὸ μάλιστα ποιεῖσθαι τὴν πορείαν κύπτοντα.

Cur homo inter cetera animalia minimam inter oculos habeat intercapedinem

θ'. Διὰ τί τὰ ζῶα, τὰ μὲν, οὐκ ἐξονειρώττει, τὰ δὲ ὀλιγάκις. πότερον ὅτι οὐδὲν ὕπτιον κατάκειται, ἐξονειρώττει δὲ οὐδὲν μὴ ὕπτιον. ἢ ὅτι οὐκ ἐνυπνιάζει τὰ ἄλλα ὁμοίως. ὁ δὲ ἐξονειρωγμός, μετὰ φαν-

Animalia cetera non profundunt semen ~~nobis~~ per somnum aut raro

ι'. τασίας γίνεται. Διὰ τί τῶν ζώων τὰ μέν, κινεῖ τὴν κεφαλήν. τὰ δέ, οὐ κινεῖ. ἢ ὅτι ἔνια οὐκ ἔχει αὐχένα. διὸ ταῦτα οὐ κινεῖ

Animantia quae collo carent ~~cerui~~ caput mouere nequeunt

ια'. τὴν κεφαλήν. Διὰ τί ἄνθρωπος πτάρνυται τῶν ζώων μάλιστα. πότερον ὅτι τοὺς πόρους εὐρεῖς ἔχει, δι' ὧν τὸ πνεῦμα καὶ ὀσμὴ εἰσέρχεται. τούτοις δὲ πληρουμένοις πνεύματος, πτάρνυται. ὅτι γὰρ εὐρεῖς, σημεῖον ὅτι ἥκιστα ὀσφραντικὸν τῶν ἄλλων ζώων. ἀκριβέστεροι γὰρ οἱ λεπτότεροι. εἰ οὖν εἰς μὲν τοὺς εὐρεῖς πλέον καὶ πλεονάκις εἰσέρχεται ὑγρόν, (οὗ πνευματουμένου, ὁ πταρμὸς γίνεται) τοιούτους γὰρ μάλιστα τῶν ζώων οἱ ἄνθρωποι ἔχουσι, πλειστάκις ἂν πτάρνοιντο εἰκότως. ἢ ὅτι ἐλάχιστον κατὰ τὸ μῆκος οἱ μυκτῆρες. ὥστε τὸ θερμανθὲν ὑγρόν, ταχὺ δύναται πνεῦμα γίνεσθαι. ἐν δὲ τοῖς ἄλ-

Cur homo maxime sternutat omnium animalium

Sternutamenti causa

ιβ'. λοις, διὰ μῆκος καταψύχεται πρότερον. Διὰ τί ἡ γλῶττα οὐδε-νὸς πίων τῶν ζώων. ἢ ὅτι τὸ πῖον πυκνόν. ἡ δὲ γλῶττα, ἀραιὰ φύ-

Cur nullum animal habet linguam pinguem

ιγ'. σει ἐστίν, ὅπως τοὺς χυμοὺς γνωρίζῃ. Διὰ τί τὰ θήλεα ζῶα τάσει οὐρεῖ, τὰ δὲ ἄρρενα οὔ. ἢ ὅτι πορρώτερον ἐστὶ μῆκος ἢ τῶν θηλειῶν, καὶ εἰς βάθος ἐστὶ μῆκος. μεταξὺ γάρ ἐστιν αὐτῶν ἡ μήτρα τῆς ἕδρας καὶ τῆς κύστεως.

Linguam raram esse ut saporum genera percipere possit

Foeminas corpore intento meiere minime uiros

Vulua mulierum locata inter sedem & uesicam

∴ theodo. πνευματουμένου uidetur legere. sed uetus interpres

: veteres interpretes nihil mutat / at theodorus uidetur legere / ὗς δὲ διὰ &c. i. sus uero

ὥστε δεῖται βίας πλείονος τὸ ἐκπεμπόμενον. διάγει τὴν ἀπό-
στασιν τῆς μήτρας. βιάζεται δὲ συντεῖνον τῷ πνεύματι.
ιδʹ. Διὰ τί τῶν ζώων ὅσα μὴ πέτεται, πάντα ἀποβάλλει τὰς χει-
μερινὰς τρίχας, πλὴν ὑός. καὶ γὰρ κύων ἀποβάλλει καὶ βοῦς. ἢ ὅ-
τι θερμότατον ὑός ἐστι. καὶ ἐκ θερμοῦ πεφύκασιν αἱ τρίχες
αὐτῷ. τοιοῦτον γάρ ἐστι τὸ λιπαρόν. τῶν μὲν οὖν ἄλλων, ἢ διὰ τὸ
ἀποψύχεσθαι τὸ ὑγρὸν ἀποπίπτουσιν, ἢ περιττεύουσαν τροφὴν οὐ δυ-
ναμένης τῆς οἰκείας θερμότητος ἢ διὰ τὸ μηδὲν παρέχειν τὴν ὑ-
γρότητα τὴν ἐν αὐτῇ, διὰ τὸ πέττεσθαι καλῶς τὴν τροφήν, οὐκ
ἀποβάλλει τὰς τρίχας. ὁπότε γὰρ ἡ αἰτία τῆς ἀποβολῆς ἐστιν,
ἱκανὴ ἡ πιότης κωλῦσαι. πρόβατα δὲ καὶ ἄνθρωποι διὰ πλῆ-
θος καὶ πυκνότητα τῆς τριχὸς, ἀπαθῆ ἐστιν. οὐ γὰρ διικνεῖται
ἡ ψύξις εἰς βάθος, ὥστε πῆξαι τὴν ὑγρότητα, ἢ πέψαι κωλῦσαι
ιεʹ. τὴν θερμότητα. Διὰ τί τῶν μὲν προβάτων μαλακώτεραι
αἱ τρίχες ἀναφύονται τιλλόμεναι, τῶν δὲ ἀνθρώπων σκληρότε-
ραι. ἢ ὅτι τῶν μὲν προβάτων, ἐκ τοῦ ἐπιπολῆς πεφύκασι. διὸ καὶ
ἀλύπως ἐκσπῶνται, μενούσης τῆς ἀρχῆς τῆς τροφῆς (ἀδιαφό-
ρου ἢ ἐστὶν ἐν σαρκί. τὰ μὲν οὖν περιττώματα, ἀνοιχθέντων, ἐξα-
τμίζει μᾶλλον. τὸ δ᾽ ἕτερον, σαρκὸς οἰκείαν τροφὴν λαμβάνει.
σὰρξ δὲ μαλακοῖς καὶ γλυκέσι τρέφεται. αἱ δὲ τῶν ἀνθρώπων τρί-
χες ἐκ βάθους πεφυκυῖαι, βίᾳ μετὰ ἀλγηδόνος ἐκσπῶνται. δῆ-
λον δέ. ἐπισπῶνται γὰρ αἷμα. τραυματιζομένου οὖν τοῦ τόπου,
συμβαίνει αὐτὸν καὶ οὐλοῦσθαι. διό τέλος μὲν συμβαίνει γίνε-
σθαι τοῖς τιλλομένοις. ἕως δ᾽ ἂν ἀνίωσι τρίχες, σκληρὰς ἀνιέναι.
διὰ τὸ τὴν μὲν τροφώδη τῆς σαρκὸς ἐκλελοιπέναι πᾶσαν τροφήν.
ἐκ περιττωμάτων δ᾽ αὐτὰς γίνεσθαι. σημεῖον δέ. τῶν μὲν γὰρ πρὸς
μεσημβρίαν [illegible]των σκληραί εἰσιν αἱ τρίχες. διὰ τὸ τὸ ἐκτὸς θερ-
μὸν εἰς βάθος διικνούμενον, ἐξατμίζειν τὴν ἄπεπτον τροφήν.
τῶν δ᾽ ὑπὸ τὰς ἄρκτους, μαλακαί. τούτοις γὰρ ἐπιπολῆς μᾶλλόν
ιςʹ. ἐστι τὸ θερμὸν, καὶ οἱ γλυκεῖς χυμοί. διὸ καὶ εὔχροοί εἰσιν. Διὰ τί

αἱ μὲν τῶν

Animantia quę nō uolant omnia hybernū pilū amittunt preter suē. singulare documētū

Ouibus depilatis mollior pilus subnascitur homini durior

Pili ouiū ex superficie oriuntur. Hominū autem ex profundo

Ex superfluitatibus pilos nasci

ᵃ τῶν πόρων. deest ex utraq: traductione

δ ἀδιαφόρου rf. theodo. integro uertit

‖ rf. ἔρι. Lana. utroq: interprs

α μακρότεραι. ex utraq: traductione

✗ □ rf. σκληρότεραι ex utraq: interprete

αἱ μὲν τῶν προβάτων τρίχες, ὅσῳ ἂν μαλακώτεραι ὦσι, σκληρότε-
ραι γίνονται. αἱ δὲ τῶν ἀνθρώπων, μαλακώτεραι. ἢ ὅτι αἱ τῶν προβά-
των, οἷαν εἴρηται, τροφὴν ἔχουσαι τῆς ἀρχῆς ἀπαρτώμεναι, ἀτρο-
φώτεραί εἰσι. καὶ ῥᾳδίως ἐξ αὐτῶν ἐξατμίζεται ὑπὸ τοῦ θερμοῦ ἡ ἐνυ-
πάρχουσα τροφὴ διὰ πεψίαν. ξηραινόμεναι δὲ ξηρότεραι γίνον-
ται. τὸ γὰρ ὑγρὸν, μαλακόν. αἱ δὲ τῶν ἀνθρώπων, ἐλάττω μὲν, μᾶλ-
λον δὲ τῆς ἀρχῆς. πέττεται δὲ αὐταῖς μᾶλλον, διὰ τὸ ἐλάττω εἶναι.
πεττομένη δὲ, μαλακωτέραν ποιεῖ τὴν τρίχα. πάντα γὰρ τὰ πε-
πεμμένα, τῶν ἀπέπτων μαλακώτερά ἐστιν. ἐκ περιττώματος
γὰρ πλείονος ἡ τοῦ ἀνθρώπου θρὶξ, ἢ ἡ τοῦ προβάτου. σημεῖον δέ. τὰ
γὰρ νέα πρόβατα, τῶν παλαιῶν μαλακώτερα ἔχει τὰ ἔρια.
ιζʹ Διὰ τί οἱ ἄνθρωποι καὶ οἱ ὄρνιθες οἱ δασεῖς, λάγνοι εἰσίν. ἢ ὅτι θερ-
μοὶ καὶ ὑγροὶ τὴν φύσιν εἰσί. δεῖ δὲ ἀμφοῖν πρὸς τὴν ὀχείαν. τὸ μὲν
γὰρ θερμὸν, ἐκκρίνει. τὸ δὲ ὑγρὸν, ἐκκρίνεται. διὰ τὸ αὐτὸ δὲ καὶ οἱ χω-
λοὶ ἄνδρες. ἡ γὰρ τροφὴ αὐτοῖς, ὀλίγη, κάτω μὲν ἀφικνεῖται διὰ
τὴν ἀπειρίαν τῶν σκελῶν. εἰς δὲ τὸν ἐπάνω τόπον ἔρχεται πολλή, καὶ εἰς
ιηʹ. σπέρμα συγκρίνεται. Διὰ τί ὁ ἄνθρωπος χαίτην οὐκ ἔχει. ἢ δι-
ότι πώγωνα ἔχει. ὥστε ἐκεῖ ἀπὸ πλήθους ἡ τροφὴ τῆς τριχὸς αὐτῆς πε-
ιθʹ. ριττώσεως εἰς τὰς σιαγόνας ἔρχεται. Διὰ τί πάντα τὰ ζῶα ἀρ-
τίους τοὺς πόδας ἔχει. ἢ ὅτι οὐκ ἐνδέχεται κινεῖσθαι, μὴ ἑστηκό-
τος τινὸς, ἂν μὴ ἀλλάττηται. ἐπεὶ τοίνυν ἐκ δυοῖν τινοῖν ἡ κίνησις ἀνάγ-
κη τῇ φορείᾳ εἶναι, ἐκ τε κινήσεως καὶ στάσεως. ταῦτα δὲ δύο
καὶ ἄρτια ἤδη τετράποδα, διότι πλείους. τοὺς μὲν γὰρ δύο κι-
νεῖ. οἱ δὲ δύο ἑστήκασι, καὶ οἱ ἐξ. καὶ τὰ ἄλλα δὲ δύο ἔτι. τούτων γὰρ τὸ μὲν,
κʹ. κινεῖται. τὸ δὲ, ἕστηκε. Διὰ τί τοῖς μὲν ἵπποις καὶ τοῖς ὄνοις ἐκ τῶν
οὐλῶν φύονται τρίχες. τοῖς δὲ ἀνθρώποις, οὔ. ἢ διότι τοῖς μὲν ἄλλοις
ζώοις ἐστὶ τὸ δέρμα μέρος τῆς σαρκός. ἀνθρώπῳ δὲ καθάπερ τὸ πά-
θος σαρκός. δοκεῖ γὰρ αὐτοῖς τὸ ἐπιπολῆς καταψυχόμενον στερρώ-
τερον γίνεσθαι. καθάπερ τῶν ἑφθῶν ἀλεύρων αἱ γραῖαι καλούμεναι. ἐπεὶ
οὖν κἀκεῖ γραῖαι εἰς ἄλλο ἑφθὸν καὶ τὸ ἐπάνω καλούμενον δέρμα, σὰρξ

Ouium pilos quo prolixiores eo duriores. hominū e contrario molliores

τὸ ὑγρὸν μαλακόν

De salacitate hominū densorū & auium

claudi salaces & cur. unde prouerbiū optime claudus coit

χαίτη. iuba. ut theodorus uertit

Omnia animalia cur pedes pari numero habeant

Ex cicatricibus oriri pilos equis & asinis homini minime

γραῖαι. theodorus crustę. uulgo natas

ἂν εἴη· τραυματισθέντος δὲ ἢ ξιβέντος ἀνθρώπου μὲν τὴν σάρ-
κα συμβαίνει πυκνοῦσθαι· διὸ ἡ ἀλλοιουμένης τῆς ἐπιπολῆς σαρ-
κός, ὅτι τὴν αὐτὴν φύσιν λαμβάνει τὰ τραύματα, ἥπερ καὶ ἐκ γε-
νετῆς ἀλλοιωθείσης μὴ γίνεσθαι· διὰ τί ἔτι τὸ ἐξ αὐτοῦ οὐθὲν ἄτοπον·

Alopecie

καθάπερ καὶ ἐκ τῶν ἀλωπεκιῶν καλουμένων· καὶ γὰρ αὗται ἐπι-
πολῆς σαρκός, φθοραὶ καὶ ἀλλοιώσεις εἰσίν· τῶν δ' ὑποξυρι-
ζομένων καὶ ὑπαζομένων, πάλιν ἀναπληροῦται τὰ νε-
νοσηκότα μέρη τοῦ σώματος· τῶν αὐτῶν μὲν, ἀσθενέστερον δ' ἢ ἐξ
ἀρχῆς ἦν· ἐπειδὴ ἔστι καὶ τὸ δέρμα μέρος αὐτῶν, γίνοιτ' ὅτι ἂν
ἡ φύσιν τὸ τρίχας· λευκαὶ δὲ φύονται διὰ τὸ, τὸ δέρμα ἀσθενέστε-
ρον γεγονέναι τοῦ ἐξ ἀρχῆς· καὶ τὴν λευκὴν ἀσθενεστάτην εἶναι τρίχα·

κα΄. Διὰ τί ἐν μὲν τοῖς ἄλλοις ζῴοις διαμένει ὁμοίως τὰ δίδυμα,

De pilis ex quibus cicatricibus oriantur

θήλεα, καὶ ἄρσενα ὄντα· ἐν δὲ τοῖς ἀνθρώποις οὔ. ἢ διότι ἀ-
σθενῆ μάλιστα τὰ δίδυμα· μονοτόκον γάρ ἐστιν· ἐν δὲ τοῖς διδύμοις
παρὰ φύσιν, τὸ θῆλυ γίνεσθαι καὶ ἄρρεν· ὥστε ὃ μάλιστά ἐστι πα-
κβ΄. ρὰ φύσιν, τοῦτο καὶ ἀσθενέστατον. Διὰ τί τοῖς μὲν ἵπποις ἀπὸ

Gemellos in humano partu si mas & foemina sint non posse seruari

νοις ἐκ τῶν οὐλῶν φύονται τρίχες· τοῖς δὲ ἀνθρώποις οὔ. ἢ διότι
ἡ οὐλὴ κωλύει διὰ τὴν πύκνωσιν· ἢ διὰ τὸ φθείρειν τὴν τροφήν. τοῖς
μὲν οὖν ἀνθρώποις παντελῶς κωλύει, διὰ τὴν ἀσθένειαν τῶν τρι-
χῶν· τοῖς δὲ ἵπποις οὐκ ἐκώλυσε· διέφθειρε δέ.

κγ΄. Διὰ τί τοῖς ζῴοις ἄρτιοι πόδες. ἢ ὅτι παντὸς μὲν τοῦ κινουμέ-

Cur animalibus pedes pares

νου, ἀνάγκη τι ἠρεμεῖν· συνέβαινε δὲ περιττῶν ὄντων, μὴ γίνεσθαι τὸ
κδ΄. τὸ ὅπερ κατὰ τὴν ἀντίστοιχίαν τῶν ποδῶν μόνων ἡ κίνησις. Διὰ τί ἐ-
λάττω χρόνον τὰ ζῷα καθεύδει, ἢ ἐγρήγορεν· οὐ συνεχῶς δέ. ἢ διὰ τὸ
μηκέτι ἅπασαν πέττεσθαι τὴν περίττωσιν; τάχιστα γὰρ παύεται πάλ-

Cur no continue animalia dormiant sed per interualla

κιν. ἢ δὲ διάπαυσις, ἐγερσίς ἐστιν· ἢ δι' ὑδρὸς δὲ εἰκὸς, διὰ τὸ ἀνάπαυ-
σιν εἶναι φαίνεσθαι· ἀλλ' οὐδὲν ταύτῃ πλείω χρόνον ἡ ἀνάπαυσις γίνεται
τῆς κατὰ φύσιν ἐργων· οὐδὲ ἔτι τὸ ἐσθίειν μηδὲν, τὸ μή, ὅμως πλείω χρόνον ἐσθί-
κε΄. ουσιν, ἢ ἀσιτοῦσι. Διὰ τί τῶν ζῴων τὰ μὲν εὐθὺς ἀκολουθεῖ τοῖς γεν-
νήσασι, τὰ δ' οὔ· οἷον ἄνθρωποι, ἢ μόλις, ἢ οὐδέν ποτε. ἢ διότι τὰ μὲν
τα χὺ ἀπο-

⌑ Desiderantur hic uerba sequentia. Sed ubi pars aliqua est concocta leuatu iam animal expergiscitur. At uero sepius illi expergiscuntur quibus ea pars frigida est que excrementu domat & coquit. ex utroque traductore

---

∴ superfluit hec negatio in utraque traductione

D theodorus sic legit ut ubi est ἄλλοις legat ἀνθρώποις & ubi ἀνθρώποις legat ἄλλοις

τα χὺ ἀπολαμβάνει τὸ γνωρίζειν· τὰ δ' οὔ φησι. ἢ τὰ μὲν, ἀναισθητα
τοῦ ὠφελοῦντος· τὰ δέ, ἔχει αἴσθησιν· ὅσα μὲν οὖν ἔχει ἄμφω ταῦ-
τα λέγω δ' οἷον καὶ αἴσθησιν τοῦ ὠφελοῦντος, καὶ ὠντι τέλεσιν τοῦ σώ-
ματος, ἀκολουθεῖ· τὰ δὲ μὴ ἄμφω, οὔ ποιεῖ τοῦτο· δεῖ γὰρ δύνα-
κς΄. σθαι καὶ μὴ κινεῖσθαι ἐν εἶναι. Διὰ τί λεύκη οὐ γίνεται τοῖς ἄλλοις

Vitiliginis genus leuce .i. albam non fieri reliquis animalibus praeter hominem

ζῴοις· ἢ πρότερον ὅτι τοῖς μὲν ἄλλοις νόσημα, τοῖς δὲ ἀνθρώποις οὐ γίνε-
ται διὰ λευκὰ τὰ δέρματα καὶ αἱ τρίχες αὐτῶν· ἀλλ' ὅμως ἀπορή-
σειεν ἄν τις, διὰ τί ὕστερον οὐ γίνεται, ἀλλ' ἔχει γε μετῆς ἡ ποικιλία· ἢ
ὅτι τὰ δέρματα αὐτῶν τῶν ἄλλων ζῴων σκληρά· ἄνθρωπος δὲ, φύ-

Homo tenuissima cute

σει λεπτοδερμότατον· ἡ δὲ λεύκη, πνεύματός ἐστιν ἔκκρισις, ὃ κω-
λύει διὰ τὴν πυκνότητα ἐξιέναι τοῖς ἄλλοις ζῴοις τοῦ δέρματος·

Vitiligo spiritus est secretio

κζ΄. Διὰ τί ἐν μὲν τῇ λεύκῃ, πολιαὶ γίνονται, ὅπου δὲ πολιαί, οὐκ
ἀεὶ λεύκη. ἢ διότι αἱ τρίχες, ἐκ τοῦ δέρματός εἰσιν. ἡ δὲ σαπρότης,

Pili ex cute sunt

ὥσπερ πολιά τις τῶν τριχῶν ἐστιν· ὅταν μὲν οὖν τὸ δέρμα κάμνῃ,
ἀνάγκη καὶ τὴν τρίχα ἐξ ἐκείνου κάμνειν· ὅταν δὲ ἡ θρίξ, οὐκ ἀ-

Pulchrum

κη΄. νάγκη τὸ δέρμα. Διὰ τί τῶν ζῴων, τὰ μὲν χαλεπώτερά ἐστι μετὰ
τὸν τόκον, οἷον κύων καὶ ὗς· τὰ δὲ οὐδὲν μᾶλλον δῆλως· οἷον γυνὴ· πρόβα-
τον. ἢ ὅτι ὅσα μὲν περιττωματικά, πραέα ἀπέχεται γὰρ ἐν τῷ
τόκῳ πάλιν ποιῶ τα· ὅσοις δὲ ἀπὸ τῶν ἐχόντων γίνεται ἡ ἀφαίρε-
σις, ὥστε καὶ ἰσχνότης, τοι εἶδος αὐτὴν ἔξιν τὴν ὀργήν· ὥσπερ καὶ αἱ
ἀλεκτορίδες, οὐ τίκτουσαι, χαλεπαί· ἀλλ' ἔχω ἴσως διὰ τὸ ἀσιτεῖν.

κθ΄. Διὰ τί οἱ εὐνοῦχοι, τὰ μὲν ἄλλα εἰς τὸ θῆλυ διαφθειρόμενοι μεταβάλ-
λουσι· καὶ γὰρ φωνὴν θηλυκὴν ἴσχουσι, τὰ μορφὴν· ἢ ἀνανδρίαν· καὶ
οὕτω σφόδρα μεταπίπτουσιν, ἢ ἐν τοῖς ἄλλοις ζῴοις τὰ ἐκτεμνόμενα· ἐ-
ναντίως δ' οἱ ταῦροι καὶ οἰκεῖοι τὰ κέρατα ἴσχουσι. διότι καὶ τὰ θήλεα,
ἐναντίως αὐτῶν ἔχει· διὸ, οἱ μὲν, μείζω ἐκτεμνόμενοι ἴσχουσιν· οἱ
δὲ ἐλάττω, ἀνίσχυροι εἰσι· τὸ δὲ μέγεθος μόνον οἱ εὐνοῦχοι, εἰς τὸ ἄρρεν

Mares maiores esse foeminis

μεταβάλλουσι· μείζους γὰρ γίνονται· ἔστι δὲ τοῦτο τοῦ ἄρρενος·
τὰ γὰρ θήλεα, ἐλάττω ἐστὶ τῶν ἀρρένων· ἢ οὐδὲ ῥυῇ εἰς τὸ ἄρρεν, ἀλλ' εἰς
τὸ θῆλυ· οὐ γὰρ εἰς πᾶν τὸ μέγεθος· ἀλλ' εἰς τὸ μῆκος μόνον· τὸ δὲ ἄρρεν, καὶ

mss. ἐκπλάζουσαι.
ex utroque interprete

ᐱ deest · ἢ ex ~~utraq:~~ traductore uetere

/· uetus interpres in no(n) generatiuum · theod · in genus feminis in foecundum · forte legendū ἐς τὸ γόνα τὰ τοιαῦτα

ᐱ sic legit uetus interpres accentu in ~~prima~~ ult · At theodor(us) accentu in prima · οὔκουν ·i· non igitur ·

εἰς πλάτος καὶ εἰς βάθος· τότε γὰρ τετελείωται. ἔτι δὲ ὡς ἔχει τὸ θῆλυ πρὸς τὸ ἄρρεν, οὕτως αὐτοῦ τοῦ θήλεος ἡ παρθένος πρὸς τὴν γυναῖκα· ἡ μὲν γὰρ ἤδη γυναῖκα· ἡ δὲ οὔ· εἰς τὴν τούτων οὖν μεταβολήν· ὥσπερ μήκους γὰρ ταύταις ἡ αὔξησις· διὸ καὶ Ὅμηρος, ὥστε μῆκος δ' ἔπορ' Ἄρτεμις ἁγνή· ὡς διὰ τὴν παρθενίαν ὃ εἶχε δυναμένης δύνασθαι οὐκοῦν εἰς τὸ ἄρρεν κατὰ τὸ μέγεθος μεταβολή· ἔστι δὲ εἰς τὸ τέλειον μεταβολή· οἱ δὲ

λ′· εὐνοῦχοι εἰς μέγεθος τὸ μῆκος ἐπιδιδόασιν. Διὰ τί οἱ εὐνοῦχοι ὅλως οὐκ ἰσχύουσιν ἧττον ἰξίας· ἢ ὅτι μεταβάλλουσι τὴν φύσιν ἐν τῇ ἐκτμήσει εἰς (τὰ γόνατα) τοιαῦτα δὲ παῖς καὶ γυνή· ὧν οὐδέτερον

λα′· ἴσχει ἰξίας· εἰ μή τι σπάνιον ἡ γυνή. Διὰ τί μᾶλλον ἄνθρωπος πολλὰς φωνὰς ἀφίησι· τὰ δὲ ἄλλα μίαν, ἀδιάφορα ὄντα τῷ εἴ-

λβ′· δει καὶ τοῦ ἀνθρώπου, μία φωνή· ἀλλὰ διάλεκτοι πολλαί. Διὰ τί δὲ αὐτὴ ἄλλη, τοῖς δὲ ἄλλοις οὔ· ἢ ὅτι, οἱ μὲν ἄνθρωποι γράμματα πολλὰ φθέγγονται· τῶν δὲ ἄλλων τὰ μέν, οὐδέν· ἔνια δὲ δύο ἢ τρία τῶν ἀφώνων· ταῦτα δὲ ποιεῖ μετὰ τῶν φωνηέντων τὴν διάλεκτον· ἔστι δὲ ὁ λόγος, οὐ τὸ τῇ φωνῇ σημαίνειν· ἀλλὰ τοῖς πάθεσιν αὐτῆς· καὶ μὴ ὅτι ἀλγεῖν χαίρειν· τὰ γράμματα, πάθη ἐστὶ τῆς φωνῆς· ὁμοίως δὲ οἵ τε παῖδες καὶ τὰ θηρία δηλοῦσιν· οὐ γάρ πω οὐδὲ τὰ παιδία φθέγγονται τὰ γράμματα·

λγ′· Διὰ τί μόνον τῶν ἄλλων ζώων ἄνθρωπος γίνεται ἰσχνόφωνον· πότερον ὅτι καὶ ἐνεόν· ἡ δὲ ἰσχνοφωνία, ἐνεότης ἐστίν· ἀλλὰ δὴ καὶ οὐ διόλου ἀποπληροῦται τοῦτο τὸ μόριον· ἢ ὅτι κοινωνεῖ μᾶλλον λόγου· τὰ δὲ ἄλλα φωνῆς· ἔστι δὲ ἰσχνοφωνία, οὐ κατὰ τὸ ὄνομα ἐνεῖναι οὐ συνε-

λδ′· χῶς διεξιέναι. Διὰ τί ἄνθρωπος γίνεται ἐκ γονῆς μετὰ τῆς χωλὸς μάλιστα τῶν ἄλλων ζώων· ὅσῳ δὴ γὰρ καὶ ἰνώδη τὰ σκέλη καὶ ὄρνιθες ἔχουσιν· οἱ δὲ ἄνθρωποι σαρκώδη· διὰ τὴν ἁπαλότητα οὖν, θᾶττον πηροῦνται ἐν τῇ κινήσει· ἢ διότι μόνον τῶν ζώων, πολλοὺς ἔχει χρόνους τῆς γενέσεως· καὶ γὰρ ἑπτάμηνα καὶ ὀκτάμηνα, καὶ δεκάμηνα γίνεται· τοῖς δὲ ἄλλοις εἷς χρόνος τῆς τελειώσεως γέγονεν· οὐ διατρῖψαι· τοῖς δὲ ἀνθρώποις πολὺς ὁ χρόνος γίνεται τῆς ἐν πλήθει διατριβῆς· ὥστε κινουμένων διὰ τὸ ἁπαλὰ εἶναι, καὶ θραύεσθαι τὰ ἀκρωτήρια ἐν τῷ πλείονι χρόνῳ

πλείω

/· τὰ σκέλη deest ex utraq: traductione
ᐱ

παρθένος · Virgo

γυνή · Mulier

Homer(us)

Spadones uel uaricibus uacant uel minus quam alij habent

Mulieres uaricib(us) fere omnes carere

μὴ ὅτι /·

Cur homo exili uoce

Ἐνεόν mutū

Hominē maxime omniū animaliū gigni claudū a natiuitate

Septimo · octauo · & decimo mense nascuntur homines

φαλακροί · deest ex uetere traductione · theodor(us) aliter uertit · Unde fit etiam ut præ nimio humore neq: spadones neq: mulieres pilis ualeant redundare

λε′· πλείω. Διὰ τί οἱ εὐνοῦχοι ἑλκώδεις τὰς κνήμας ἴσχουσι καὶ σαπράς· πότερον ὅτι καὶ αἱ γυναῖκες· οἱ δὲ εὐνοῦχοι γυναικικοί· ἢ τοῦτο μὲν συμβέβηκεν· αἴτιον δὲ καὶ ταῖς γυναιξίν, ὅτι ἡ θερμότης, κάτω ὁρμᾷ· δηλοῖ δὲ καὶ τὰ γυναικεῖα· διὸ οὐδὲ οἱ εὐνοῦχοι· οὐδὲ γυναῖκες

λς′· γίνονται, διὰ πολλὴν ὑγρότητα. Διὰ τί τῶν ζώων οὐθὲν λιθιᾷ, ἀλλ' ἢ ἄνθρωπος· ἢ ὅτι τῶν μὲν ὑποζυγίων καὶ τῶν πολυωνύχων οἱ πόροι τῆς κύστεως εὐρεῖς εἰσιν· ὅσα δὲ μὴ τὸ πρῶτον, ὕστερον δὲ ζωοτοκεῖ ἐν αὐτοῖς, οἷον ἔνιοι τῶν ἰχθύων, τούτων δὲ οὐδέν, κύστιν ἔχει· ἀλλ' εἰς τὴν κοιλίαν αὐτοῖς ἡ τοιαύτη συνθλίβεται ὑπόστασις· οἷον καὶ τοῖς ὄρνισιν· ὥστε ταχὺ καὶ διεξέρχεται κατὰ τὴν ἕδραν· ὁ δὲ ἄνθρωπος, κύστιν τε ἔχει, καὶ στενὸν τὸν καυλόν, ὡς κατὰ μέγεθος· διὰ μὲν οὖν τὸ ἔχειν τοῦτο τὸ μόριον, συνθλίβεται τὸ γεῶδες εἰς τὴν κύστιν· διὸ καὶ χρώζονται αἱ ἀμίδες ὑπὸ τοῦ· διά τε τὴν θερμότητα τοῦ τόπου, συμπέττεται καὶ παχύνεται μᾶλλον· ἐμμένον δὲ καὶ αὐξάνεται, διὰ τὴν στενότητα τοῦ οὐρητῆρος· οὐ γὰρ δύναται τὰ γεώδη ὑποστήματα ἐλαφρῶς ὑπεξιέναι, πρὸς ἄλληλα ὑποστρεφόμενα γίνεται

λζ′· λίθος. Διὰ τί οὐκ ἐρυγγάνει τὰ ὑποζύγια, οὐδὲ οἱ βόες, καὶ τὰ κερατοφόρα· οὐδὲ οἱ ὄρνιθες· ἢ διὰ ξηρότητα τῆς κοιλίας· ταχὺ γὰρ ἀναλίσκεται τὸ ὑγρὸν καὶ διηθεῖται· ἐμμένοντος δὲ καὶ πνεύματος πυρουμένου, γίνεται ὁ ἐρυγμός· τοῖς δὲ λοφούροις διὰ μῆκος τοῦ αὐχένος, εἰς τὸ κάτω ὁρμᾷ τὸ πνεῦμα· διὸ καὶ ἀποψοφοῦσι μάλιστα· οἱ ὄρνιθες δὲ καὶ τὰ κερατοφόρα, οὔτε εἰ οὐδέτερον· οὐδὲ ἐρύγγονται δέ, ὅσα μηρυκίζει· διὰ τὸ πολλὰς ἔχειν κοιλίας, καὶ τὸν καλούμενον κεκρύφαλον· διὰ πολλῶν οὖν γίνεται καὶ ἄνω καὶ κάτω τῷ πνεύματι ἡ πορεία· καὶ φθάνει ἀναλισκόμενον τὸ ὑγρόν, πρὶν ἐκ πνευματω-

λη′· θῆναι καὶ ποιῆσαι ἢ ἐρυγήν, ἢ ψοφῆσαι. Διὰ τί ὅσα μὲν ἥμερα τῶν ζώων, ἔστι πάντα καὶ ἄγρια· ὅσα δὲ ἄγρια, οὐ πάντα ἥμερα· καὶ γὰρ ἄνθρωποί που φαίνονται ἄγριοι· οἷον τις καὶ κύων ἐν Ἰνδοῖς· καὶ ἵπποι ἄλλοθι· ἀλλ' οὐ λέοντες ἥμεροι· οὐδὲ πάρδαλις, οὐδὲ ἔχεις, οὐδὲ ἄλλα πολλά· ἢ ὅτι ῥᾷον τὸ φαῦλον καὶ γίνεσθαι ἐξ ἀρχῆς, καὶ μεταβαλεῖν εἰς αὐτό.

Eunuchos ulcerosa crura & putrida habere

γυναικεῖα · menstrua

Mulieres & eunuchos no(n) pati caluitiē · nota pro Seneca

λιθιᾷ · i · calculosū est nullū animal præter hominē

Quid est illud quo uasa urinaria ·i· matulæ tinguntur

Jumenta · Boues · Cornigera animalia · & aues non ructant

Ructationis causa

ἀποψοφοῦσι · i · crepitū uentris emittunt

λοφούροις

Aues cornigeraq: nec ructant neq: pedut

Ruminantia no(n) ructare

κεκρύφαλον

Quęcunq: domestica fera no(n) quęcunq: fera domestica inueniri

Leones domestici non inueniebantur aristotelis tempore

:: f. καλὸν i. bonum ex utraq: traductione

ΤΜΗΜΑ

ἡ γὰρ φύσις, οὐχ ἧττον τῇ, ἀλλ' ἢ ἐν τέλει ἐργώδης τυχεῖν εὐθύς. διὸ
πάντα τὰ ἥμερα, ἄγρια γίνονται τὸ πρῶτον μᾶλλον, ἢ ἥμερα, οἷ-
ον παιδίον, ἢ ἀνὴρ παμφάγον καὶ τῶν θυμῶν ζῷον. ἀλλὰ ἀσθενέστερον.
ὥσπερ οὖν καὶ ἐπὶ τῶν τῆς τέχνης τῶν ἔργων, οὕτως ἔχει καὶ ἐπὶ τῶν τῆς φύ-
σεως ἔργων. καὶ γὰρ ἐπὶ τούτων, πάντ' ἐστὶ φαύλως εἰργασμένα. καὶ
πλείω τὰ φαῦλα. κλίνη. ἢ ἱμάτιον. ἢ ἄλλο ὁτιοῦν. ἢ ὁ μὲν ἐστὶ
καλὸν λαβεῖν ἐστὶν ἅπαν καὶ φαῦλον. ὁ δὲ φαῦλον, οὐ πᾶν ἢ κα-
λόν. οἷον εἴ τις ἐπὶ τῶν ἀρχαίων γραφέων ἢ ἀνδριαντοποιῶν σκο-
πεῖ τὰ ἔργα. οὐ γὰρ ἦν πώποτε οὐδὲ μὴ γραφὴ σπουδαία. οὐδὲ ἀν-
δριάς. φαῦλα δὲ ἦν. ὁμοίως δὲ καὶ ἡ φύσις. φαῦλα μὲν πάντα ποι-
εῖ. καὶ πλείω ἢ βελτίω. σπουδαῖα δὲ ἐλάττω, καὶ οὐ πάντα. ἀδύνα-
ται γὰρ ἥμερον, βέλτιον. τὸ δὲ ἄγριον, φαῦλον. φύσει δὲ τὸ τῇ ἐξ ἀρ-
χῆς. ἀλλ' ἐφ' ἣν οἶμαι ζῷον ποιεῖ σπουδαῖα ἢ ἥμερα. τὰ δὲ ἐναντία.
ἢ οὐδέποτε, ἢ μόλις. ἢ ἐν τισὶ τόποις ἢ ἐν χρόνοις. ἢ ἀέρι τοῦ. ἢ πο-
τε ἐν τινὶ κράσει τοῦ ὅλου, γίνονται ἥμερα τὰ ζῷα πάντα. τὸ δ' αὐ-
τὸ ἢ ἐπὶ τῶν φυτῶν πάντων ἐστίν. ὅσα μὲν ἥμερα, καὶ ἄγρια. οὐ πάντα δὲ
δύναται ἥμερ' οὐδ' εἶναι. ἀλλ' ὅμως εἰσὶ μὲν ἴδια χώρα πρὸς πολλὰ ἰ-
δίως ἔχουσιν. ὥστε ἠμελημένα καὶ ἄγρια, κρείττω ἢ ἥμερα ὥστε-
λθ'. ρα φύεσθαι, τῶν ἐν ἄλλῃ γεωργουμένων. Διὰ τί τοῖς μὲν ἀνθρώποις
οἱ ὀμφαλοὶ μεγάλοι γίνονται, τοῖς δὲ ἄλλοις ζῴοις οὐ φανεροί. ἢ διότι
τοῖς μὲν, διὰ τὸ πολὺν χρόνον μείσω μὲν ἐν (ἀναφαίνον) ἢ εὐθὺ τεί-
νον. ὅλου δὲ τὰ ἐν μοιδοῦσι τὰ ἕλκη. διὸ ἐνίοις τῶν (ὀμφαλῶν) ἢ αἰσχύς εἰ-
σίν. ὁ δὲ ἄνθρωπος ἀτελὴς ἐξέρχεται. ὥστε ἔφυγροι ἢ αἱμοιοὶ ὀμφα-
λοὶ ἀκολουθοῦσιν. ὅτι δὲ τὰ μὲν, τετελεωμένα, τὰ δὲ ἀτελῆ ἐξέρχεται.
σημεῖον ὅτι τὰ μὲν εὐθὺς δύναται ζῆν. τὰ δὲ παιδία, ἐπιμελείας
μ'. δεῖται. Διὰ τί τὰ μὲν τῶν ζῴων ἅπαξ ὀχεύεται, τὰ δὲ πολλάκις. ἢ τὰ
μὲν, ὥρας ἔχουσι, τὰ δ' ὥσπερ ἔτυχεν. ἄνθρωπος, ἀεί. τὰ δὲ ἄγρια, οὐ πολλά-
κις. ἢ εὖ ἐς μὲν ἄγριος, ἅπαξ. ἥμερος δὲ πολλάκις. ἢ διὰ τὴν τροφήν.
καὶ ἀλέαν. καὶ πόνον. ἐν πλησμονῇ γὰρ κύησις. ἔπειτα τὰ αὐτὰ ἀλ-
λοθι μὲν ἅπαξ τίκτει. ἄλλοθι δὲ πλεονάκις. οἷον τὰ πρόβατα
ἐν Μαγνησίᾳ

Natura praue omnia facit

Cur homini umbilici ampliores ceterorum aute animalium incerti et exigui:

Homo solus imperfectus ex utero prodit. cetera animalia perfecta

De coitu animalium

ἐν πλησμονῇ ἡ κύησις

Δ agnoscit hanc lectionem uetus interpres at theodorus legere uidetur αὐαίνονται uertit q: arescit

⊥ f. ὀμφαλῶν

:: λιβύᾳ. i. africa ex utraq: traductione

+ ἐγκύοντα legit uetus interpres i. parientia. theo. grauida esse incipientia

ἐν Μαγνησίᾳ, καὶ λιβύῃ τίκτει δίς. τὸ δ' αἴτιον, ἡ πολυχρονία τοῦ τό-
κου. οὐ γὰρ ἐπιθυμεῖ ὅταν πληρωθῇ. ὥσπερ οὐδὲ τροφῆς τὰ πλήρη.
τὰ (ἐγκύοντα) ἧττον ὀχείας ἐπιθυμεῖ, διὰ τὸ μὴ γίνεσθαι τὴν κάθαρσιν.
μα' Διὰ τί οἱ ἄνθρωποι ἀραιοὺς ἔχοντες τοὺς ὀδόντας, βραχύβιοι
ὡς ἐπὶ τὸ πολύ. ἢ ὅτι σημεῖόν ἐστι τὸ ὀστοῦν πυκνὸν εἶναι, ὡς ὁ ἐγκέ-
φαλος ἀσθενὴς οὐκ ἀναπνοῶν. ὥστε ὑγρὸς ὢν τὴν φύσιν, ταχὺ σήπε-
ται. ὅσα τὰ ἄλλα μὴ κινούμενα ἀποτελμίζονται. διὸ καὶ ἄρρεν τὴν
κεφαλὴν δασύτερον, καὶ τὸ ἄρρεν τοῦ θήλεος μακροβιώτερον, διὰ
μβ' τὰς ῥαφάς. δεῖ δὲ ἰδεῖν καὶ ἐπὶ τῶν ἄλλων. Διὰ τί δὲ ὅσοι τὴν
διὰ τῆς χειρὸς τομὴν ἔχουσι δι' ὅλης, μακροβιώτεροι. ἢ διότι τὰ
ἄναρθρα, βραχυβιώτατα, ὡς τὰ ἔντομα. εἰ δὲ τὰ δυσάρθρα βρα-
χύβια, δῆλον ὅτι τὰ εὐάρθρωμένα τοὐναντίον. τοιαῦτα δέ, ἃ καὶ τὰ
φύσει ἀνώτερα μάλιστα εὐάρθρωται. τῆς δὲ χειρὸς τὸ εἴσω δυσαρθρό-
μγ' τερον. Διὰ τί τῶν ζῴων ἄνθρωπος, ἢ μόνον, ἢ μάλιστα διαστρέφεται. ἢ
ὅτι, ἢ μόνον, ἢ μάλιστα σταλητὸν ἐν τῇ νηπιότητι γίνεται. ὅτε καὶ
μδ' διαστρέφεσθαι συμβαίνει πᾶσι. Διὰ τί τῶν ζῴων ἄνθρωπος μά-
λιστα καπνίζεται. ἢ ὅτι μάλιστα δακρύει. ἡ δὲ κάπνισις, μετὰ δα-
με' κρύου. Διὰ τί ἵππος ἵππῳ χαίρει καὶ ἐπιθυμεῖ. ἄνθρωπος δὲ ἀνθρώπῳ.
καὶ ὅλως δὲ τὰ συγγενῆ τοῖς συγγενέσι καὶ ὁμοίοις. οὐ δὴ ὁμοίως ὅ-
τι σὺ ζῷον καλόν. ἡ δ' ἐπιθυμία, τοῦ καλοῦ. ἔδει οὖν τὸ καλὸν ἥ-
διον εἶναι. νῦν δὲ μᾶλλον λύπας καὶ κάλλος, ἡδύ, τὸ καλὸν ἢ τὸ ἡδύ.
οὐ δὲ πᾶσα ἡ ἡδονή, ἢ τὸ καλὸν ἡδύ. οἷον φαγεῖν, ἢ πιεῖν ἐστὶν ἡδίονε-
τέρῳ, ἢ ἀφροδισιάσαι ἄλλῳ (διότι) μὲν οὖν ἕκαστον τῷ συγγενεῖ
μιγνύμενον, μάλιστα καὶ ἥδεσθαι ἀφροδισιάζει, ἄλλο πρόβλημα. ὅ-
τι δὲ καὶ κάλλιστον, οὐκέτι ἀληθές. ἀλλὰ ἡμεῖς τὸ εἰς τὴν συνουσίαν
ἡδύ. ὅτι ὁ μὲν καλόν, ὅτι ἐπιθυμοῦντες χαίρομεν ὁρῶντες. καί-
τοι καὶ ἐπὶ τῶν ἄλλων ἐπιθυμιῶν ἔχει ὁμοίως. διψῶντες γάρ, ἥ-
διον ὁρῶσι τὸ πόμα. τὸ μὲν οὖν προσχέσαν τινὰ καλόν, οὗ καὶ μά-
λιστα ἐπιθυμοῦμεν, τοῦτο δοκεῖ ἥδιστον εἶναι. τὸ δὲ καθ' αὑτό, οὐκέτι
οὕτως. σημεῖον δὲ τούτου. δοκοῦσι γὰρ ἡμῖν καὶ ἄνδρες καλοὶ εἶναι

⊥ Initium diuersi problematis in utraq: traductione

In magnesia & libya oues bis anno pariunt

Homines raris dentibus breuioris uitae

ἀναπνοῶν. respirationibus satis opportunum

Mas foemina uiuacior

Suturae capitis i. raphe

Qui manus caesuram per totum manum habet diuturnioris esse uitae

διαστρέφεται depravantur oculi

ληπτι. morbo comitiali obnoxii

agnoscitur hec lectio a uetere interprete. theodor. [illegible] ~~uertit~~ legit. i. loco aliquo

πρὸς τὴν συνουσίαν βλέψασιν. ἆρ' οὖν οὕτως ὥστε καὶ καθημαιόρῶσι μᾶλλον τῶν εἰς συνουσίαν. οὐδὲν γὰρ κωλύει, εἰ μὴ ἐπιθυμοῦντες τύχοιμεν, οὕτω δὲ πόμα καλλίον. εἰ γὰρ διψῶντες τύχοιμεν, ἥδιον οἰόμεθα.

μς' Διατί ποτε τῶν μὲν ἀνθρώπων τὰ ἔμπροσθεν δασύτερα τῶν ὄπισθέν ἐστι. τῶν δὲ τετραπόδων τὰ ὄπισθεν, ἢ ὅτι πάντα τὰ δίποδα, τὰ ἔμπροσθεν ἔχει δασύτερα. οἱ γὰρ ὄρνιθες τὸν αὐτὸν τρόπον τοῖς ἀνθρώποις ἔχουσιν. ἢ τὰ ἀσθενέστερα μᾶλλον ἀεὶ σκεπάζειν ἡ φύσις εἴωθεν. ἀσθενὲς δὲ ἕκαστόν ἐστι [τινα τρόπον]. τῶν δὲ τετραπόδων ἁπάντων τὰ ὄπισθεν, ἀσθενέστερά ἐστι τῶν ἔμπροσθεν διὰ τὸν τόπον. ὑπὸ δὲ τῶν ψυχρῶν καὶ καυμάτων μᾶλλον δύναται πάσχειν. τῶν δὲ ἀνθρώπων τὰ ἔμπροσθεν, ἀσθενέστερά ἐστι, ᾗ τὸ αὐτὸ πέπονθεν.

Hominis anteriora densiora esse & pilosiora ~~ee~~ quam posteriora. Secus in quadrupedibus

μζ' Διατί ἄνθρωπος τῶν ζώων μᾶλλον πτάρνυται, ἢ ὅτι καὶ κορυζᾷ μάλιστα. τούτου δὲ αἴτιόν ἐστιν. ὅτι τοῦ θερμοῦ ὄντος περὶ τὴν καρδίαν, καὶ πεφυκότος ἄνω φέρεσθαι, τοῖς μὲν ἄλλοις ζώοις, ἡ κατὰ φύσιν αὐτοῦ φορά ἐστιν ἐπὶ τοὺς ὤμους. ἐντεῦθεν δὲ ἐξ ἀνακλάσεως σχιζόμενον, τὸ μὲν ἐπὶ τὸν τράχηλον καὶ τὴν κεφαλὴν φέρεται αὐτοῦ. τὸ δὲ, εἰς τὴν ῥάχιν καὶ τὴν ὀσφύν. διὰ τὸ ἐπὶ τῆς αὐτῆς εὐθείας εἶναι πάντα ταῦτα, καὶ παρὰ τὴν βάσιν. [φερόμενον] δὲ ὁμοίως τὸ σῶμα, καὶ τὴν ὑγρότητα μερίζει εἰς [αὐτὰ] ὁμαλῶς. ἕπεται γὰρ τὴν ὑγρότητα τῷ θερμῷ. διὸ οὐδὲ πάνυ κορυζᾷ τὰ τετράποδα ζῶα, οὐδὲ πτάρνυται. ὁ γὰρ πταρμός, ἢ πνεύματος ἀθρόου φορά ἐστιν. ὑγρῶν ἐξατμιζόντων τι μᾶλλον τοῦ σώματος, ἢ ὑγρῶν ἀπέπτων. διὸ πρὸ τῶν καταρρόων γίνεται, ἃ συμβαίνει τοῖς ἄλλοις ζώοις, διὰ τὸ τὴν τοῦ θερμοῦ φορὰν ὁμαλίζειν ἐν αὐτοῖς εἰς τὸ πρόσθεν καὶ ὄπισθεν. τοῦ [δὲ] ἀνθρώπου ὀρθοῦ πεφυκότος τῇ βάσει, καθάπερ τοῖς φυτοῖς συμβαίνει τὴν τοῦ θερμοῦ φορὰν ἐπὶ τὴν κεφαλὴν γίνεσθαι πλείστην καὶ σφοδροτάτην. φερόμενον τε ἐνταῦθα, ἀραιοῖ καὶ θερμαίνει τὰ περὶ αὐτὴν μέρους. ὄντες δὲ τοιοῦτοι, δεκτικοὶ γίνονται τῶν ὑγρῶν μᾶλλον ἢ οἱ κάτω τῆς καρδίας πόροι. ὅταν οὖν συμβῇ ψυχρανθῆναι μᾶλλον τοῦ δέοντος ἢ κατὰ ψυχὴν ἢ ἔξωθεν, συμβαί-

Hominem maxime ceterorum animantium sternutare

Grauedine homo maxime ~~homo~~ tentatur & cur

Sternutationis causa

Catarrhis. i. distillationibus solet preire sternutatio

Calidi delatio ad superiora fertur in homine sicut in planta

deest negatio ex utraque traductione

δὲ. cf. ex utroque inter.

hanc particulam melius uertit uetus interpres qui accepit pro. An. quam theodor. qui accepit pro quam. Ad quam in hac parte dissentio. nam est initium alterius rationis & cause

ψυχρανθῆναι legit theodor.

ψυγομένου. ~~αὐτῶν~~ theodo.

λυθεὶς ἂν uidetur legere theodor. subsidunt uertes

πόνους legit uterque interpres

νει τὸ θερμὸν τὴν τροφὴν περιέχον καὶ συστελλόμενον ἐντός, αὔξεσθαι. αὐξανόμενον δέ, φέρεσθαι ἐπὶ τὴν κεφαλὴν καὶ τοὺς ἐν αὐτῇ πόρους εἰς οὓς ἀκολουθοῦντα τὰ ὑγρὰ ὄντα λεπτὰ καὶ ἄπεπτα πληροῖ αὐτοὺς καὶ τοὺς καταρρόους ποιεῖ. ἢ πταρμοὺς ὁμοίως. ἐν γὰρ ταῖς ἀρχαῖς τῶν καταρρόων τὸ θερμὸν προαναφερόμενον τοῦ ὑγροῦ καὶ πνευματοῦν τοὺς πόρους, τῇ ἐκβολῇ τοῦ πνεύματος τοὺς πταρμοὺς ποιεῖ, καὶ τῇ πρὸ τῶν ὑγρῶν ἀναγωγῇ. ἅ ἐστι λεπτὰ καὶ δριμέα. διὸ καὶ συμβαίνει μετὰ τῶν περὶ κορύζης πταρμῶν, ὑδατώδη ἀπομάττεσθαι. πάντων δὲ τούτων ὁρμησάντων, τὰ συνεχῆ καὶ πάθος ἔχοντα ὑγρὰ [ἐφίστανται] αὐτοῖς, καὶ ἐμφράττει τοὺς περὶ τὴν κεφαλὴν καὶ τὴν ῥῖνα πόρους. ὀγκηρότερα γὰρ γινόμενα καὶ διατείνοντα ποιεῖ, τοὺς περὶ τὴν κεφαλὴν [πόρους]. σημεῖον δὲ τὸ μήτε ἐκτὸς ἢ δι' αὐτῶν πνεῦμα ἀφιέναι. διὸ οὔτε πτάρνυνται, οὔτε ὀσφραίνονται οἱ κορυζῶντες. οἱ δὲ ἄνευ κορύζης γινόμενοι, διὰ μὲν τὰς αὐτὰς αἰτίας, γίνονται. μικρὰς δὲ καὶ ἐλαφρὰς ἀρχὰς λαβόντος. ὥστε συναχθέντα τὰ ὑγρὰ τῷ θερμῷ ἐκπνευματούμενα αὐτοῦ τοῦ δι' ὀλίγου ὄντα, ἐκπίπτει κατὰ τὰς ῥῖνας. ποιεῖ δὲ τὸν ψόφον τοῦ πνεύματος, οὐχ ἧττον ἡ βία τῆς φορᾶς, ἢ τὸ πλῆθος αὐτοῦ. ἐνεχθέντος γὰρ τοῦ θερμοῦ πρὸς ὀρθὴν, πρὸς τὸν ἐγκέφαλον, καὶ προσπεσόντος αὐτῷ, ἀνακλᾶται ἐπὶ τὰς ῥῖνας διὰ τὸ τοὺς ταύτῃ πόρους ἐκτὸς ἀπὸ τοῦ ἐγκεφάλου διατείνειν. παρὰ φύσιν οὖν τῆς ἐκ τῆς κλάσεως φορᾶς γινομένης ἐπὶ τὰς ῥῖνας, τῷ πνεύματι, σφοδρὰν συμβαίνει γίνεσθαι. διὸ ποιεῖ τοὺς ψόφους. τῶν δὲ ἄλλων ζώων συμβαίνει μάλιστα κορυζᾶν, τοὺς ὄρνιθας. διὰ τὸ μάλιστα ὁμοιόσχημον ὂν εἶναι ἀνθρώπῳ. ἧττον δὲ ἢ ἄνθρωπος πάσχει αὐτό. ὅτι πλάγια κάτω ἔχει τὴν κεφαλήν. διὰ τὸ τὴν νομὴν ἀπὸ τῆς γῆς εἶναι.

Sternutationis & distillationis causa

Cur grauedine laborantes neque sternutant neque olfaciunt

Pori a cerebro ad nares

μη' Διατί τὰ θαλάττια ζῶα τῶν ἐν τῇ γῇ μείζω καὶ εὐτραφέστερά ἐστιν, ἢ ὅτι ὁ ἥλιος καταδαπανῶν τὰ περιέχοντα τὴν γῆν ἀφαιρεῖται τὴν τροφήν. διὸ καὶ τὰ κατακεκλεισμένα εὐτραφέστερά ἐστι. πάντων οὖν τούτων ἀπήλλακται τὰ θαλάττια ζῶα.

ἢ διὰ τὴν ἔχιν deest ex utroq: interprete

μθ' Διὰ τί ποτε τὰ μὲν ἄλλα ζῷα πλεονάκις τὴν ξηρὰν τρο-
φὴν, ἢ τὴν ὑγρὰν προσάγεται· ὁ δὲ ἄνθρωπος τὴν ὑγρὰν, ἢ τὴν ξηράν· ἢ ὅ-
τι φύσει ὁ ἄνθρωπος θερμότατον· πλείστης οὖν καταψύξεως δεῖται.

Homo calidissimū natura animal

ν' Διὰ τί οἱ εὐνοῦχοι οὐ γίνονται φαλακροί· ἢ ὅτι πολὺ ἔχουσι τὸν
ἐγκέφαλον· τοῦτο δὲ συμβέβηκεν αὐτοῖς, διὰ τὸ μὴ συγγίνεσθαι
ταῖς γυναιξίν· ἡ γὰρ γονὴ ἐστιν, ἀπὸ τοῦ ἐγκεφάλου καταχωροῦσα· διὰ τοῦ-
το δοκοῦσι καὶ οἱ βόες οἱ ἐκτομίαι μεγάλα τὰ κέρατα ἔχειν ὅταν
ἐκτμηθῶσι· δοκεῖ δὲ ἡ αὐτὴ αἰτία εἶναι, δι' ὅτι αἱ γυναῖκες καὶ οἱ παῖ-
δες, οὐκ εἰσὶ φαλακροί.

Eunuchos · Mulieres & pueros nō fieri caluos

Semē ex cerebro p spinā deorsum tēdit

να' Διὰ τί τὰ μὲν εὐθὺς δύναται διαθεῖν
τῶν ζώων μετὰ τὴν γένεσιν, τὰ δὲ οὔ· ἢ ὅσα ὀλιγοχρονιώτερα
τῶν μνήμης δεκτικῶν· διὸ ἀπαντᾷ καὶ τελευτᾷ θᾶττον.

Cur boues castrati magna cornua habeant

νβ' Διὰ τί ποτε ὁ μὲν ἄνθρωπος πλείω τὴν ὑποχώρησιν ποιεῖται τῆς
ξηρᾶς τὴν ὑγράν, οἱ δὲ ἵπποι καὶ οἱ ὄνοι τὴν ξηράν· ἢ διότι ταῦτα
μὲν τὰ ζῷα, πλείονι τῇ τροφῇ τῇ ξηρᾷ· ὁ δὲ ἄνθρωπος, ὑγρᾷ μᾶλλον ἢ
τῇ ξηρᾷ· πᾶσα δὲ περίττωσις, ἀπὸ τῆς τροφῆς ἐστι· καὶ ἀπὸ τῆς πλείο-
νος πλείω· τὰ μὲν οὖν τῇ ὑγρᾷ μᾶλλον· τὰ δὲ τῇ ξηρᾷ πλείονι τῇ
τροφῇ χρῆται· διότι τὰ μὲν, τῶν ζώων ἐστὶ φύσει ξηρά· τὰ δὲ ὑγρά·
τὰ μὲν οὖν τῇ φύσει ξηρά, τῆς ὑγρᾶς μᾶλλον ἐπιθυμεῖ· ταύτης
γὰρ ἐνδεέστερά εἰσι· τὰ δὲ τῇ φύσει ὑγρά, τῆς ξηρότητος· ταύτης γὰρ
ἐνδεέστερα καθέστηκεν.

νγ' Διὰ τί ὄρνιθες καὶ ἄνθρωποι καὶ τῶν ζώων
τὰ ἀνδρεῖα, σκληρότερα· ἢ ὅτι ὁ θυμὸς μετὰ θερμότητος· ὁ γὰρ φό-
βος κατάψυξις· ὅσων οὖν τὸ αἷμα ἔνθερμόν ἐστι, καὶ ἀνδρεῖα καὶ
θυμοειδῆ· τὸ δὲ αἷμα τροφή· ὅσα δὲ θερμῷ ἄρδεται τῶν φυομένων σκλη-
ρότερα πάντα.

Animositas cum calore est · metus autē refrigeratio

Animalia fortiora corpore sunt duriori

Stirpes aq̃ tepida irrigatæ duriores euadent

νδ' Διὰ τί τέρατα τίκτουσι μάλιστα τὰ τε-
τράποδα τὰ μὴ μεγάλα· ἄνθρωποι δὲ καὶ τὰ μεγάλα ἧττον· οἷον
ἵπποι καὶ ὄνοι, ἢ ὅτι πολύγονα ταῦτα, οἷον κύνες καὶ ὕες· καὶ αἶγες
καὶ πρόβατα πολὺ μᾶλλον τῶν μεγάλων· ἐκείνων δὲ, τὰ μὲν, ὅλως
μονότοκα, τὰ δὲ, ὡς ἐπὶ τὸ πολύ· τὰ δὲ τέρατα γίνονται ἐπαλλατ-
τόντων τῶν σπερμάτων ἀλλήλοις· καὶ συγχεόντων ἐν τῇ ἐξόδῳ
τῆς γονῆς ἢ ἐν τῇ μίξει τῇ ἐν τῇ τῆς θηλείας· διὸ καὶ ὄρνιθες αὐτὰ

ποιοῦσι

Monstrosi partus quomodo cedantur

ποιοῦσι· τὰ γὰρ ᾠά, τίκτουσι· τὰ δὲ τέρατα, ἐκ τῶν διδύμων γί-
νεται, ὧν ἡ λέκυθος ἐστὶν ὑμένι οὐ διαιρεῖται.

λέκυθος uitellus oui

νε' Διὰ τί ἡ κεφα-
λὴ δασεῖα τῶν ἀνθρώπων μᾶλλον, τοῦ ἄλλου σώματος, καὶ οὐ κατὰ λό-
γον· τοῖς δὲ ἄλλοις ζώοις τοὐναντίον· ἢ ὅτι καὶ τῶν ἄλλων, τὰ μὲν
εἰς ὀδόντας ἐκδίδωσι καθ' ὑπερβολὴν τῆς τροφῆς· τὰ δὲ, εἰς κέρα-
τα, τὰ δὲ εἰς τρίχας· ὅσα μὲν εἰς κέρατα, ἧττον τὴν κεφαλὴν ἔχει
δασεῖαν· ἐκεῖ γὰρ ἀναλοῦται· ὅσα δὲ εἰς ὀδόντας, μᾶλλον μὲν τῶν
κερατοφόρων· ἔχει γὰρ λοφιάν· ἧττον δὲ τῶν τοιούτων οἷον ὀρνέων.
ἔχουσι γὰρ ταύτην καὶ τὴν τῶν ἀνθρώπων, ὃ ἐκείνοις πολλαχῇ διὰ πλῆ-
θος, τοῦτο εἰς κεφαλὴν ἐκδίδωσιν· ὁ δὲ γὰρ οὐδὲν ἔχει· οὐ δὲ πο-
λὺ οὕτως, ὥστε πάντα χεῖ.

Cur homines pilosiore capite q̃m reliqua mēbra in ceteris autē animantib[us] e cōtrario

λοφία capronæ the.

νς' Διὰ τί ἄνθρωπος μόνος τῶν ζώων πο-
λιὰς ἔχει, ἢ ὅτι τὰ μὲν πλεῖστα τῶν ζώων ἐνιαύσια τὴν τρίχα ἀνὰ
πᾶν ἔτος ἔχει· οἷον ἵππος· βοῦς· ἔνια δὲ, ἐνιαύσια μὲν οὐκ ἔχει, βραχύ-
βια δέ ἐστι· καθάπερ πρόβατον καὶ ἄλλα· οὐ γὰρ θέλει ὥσπερ οὐ γηρά-
σκουσα, οὐ δὲ πολιοῦται· ὁ δὲ ἄνθρωπος, οὐδὲ ἐνιαύσια ἔχει τὴν τρίχα· μα-
κρόβιόν τε ἐστιν· ὥστε ὑπὸ τοῦ χρόνου πολιοῦται.

Cur homo solus canescit

νζ' Διὰ τί ὅ-
σοις τὰ ἀπὸ τοῦ ὀμφαλοῦ κάτω μείζονα, ἢ τὰ πρὸς τὰ στήθη
βραχύβιοι καὶ ἀσθενεῖς· ἢ ὅτι ἡ κοιλία ψυχρὰ διὰ μικρότητα, ὥσ-
τε οὐ πεπτική· ἀλλὰ περιττωματική· οἱ δὲ τοιοῦτοι, νοσεροί.

νη' Διὰ τί τὰ μὲν γίνεται τῶν ζώων· οὐ μόνον ἐξ ἀλλήλων, ἀλλὰ καὶ
αὐτόματα· τὰ δὲ ἐξ ἀλλήλων μόνον· οἷον ἄνθρωπος καὶ ἵππος· ἢ καὶ
εἰ καὶ μὴ δι' ἑτέρας αἰτίας, ἀλλ' ὅτι τοῖς μὲν ὀλίγος ὁ χρόνος τῆς
γενέσεως· ὥστε ἡ γεννητικὴ ὥρα ὑπερτείνει· ἐνδέχεται γενέσθαι
ἐν τῇ μεταβολῇ τῶν ὡρῶν· τῶν δὲ, πολὺ ἡ γένεσις ὑπερτείνει· ἐνιαύ-
σιοι γάρ, ἢ δεκάμηνοί εἰσιν· ὥστε ἀνάγκη γίνεσθαι, ἢ ἐξ ἀλλήλων γίνεσθαι.

ὑπερτείνει

νθ' Διὰ τί τῶν αἰθιόπων οἱ μὲν ὀδόντες λευκοί, καὶ λευκότεροι ἢ οἱ
τῶν ἄλλων, οἱ δὲ ὄνυχες οὐκέτι, ἢ οἱ μὲν ὄνυχες, ὅτι καὶ τὸ δέρμα
μέλαν, καὶ μελάντερον ἢ τῶν ἄλλων· οἱ δὲ ὄνυχες ἐκ τοῦ δέρμα-
τος φύονται· οἱ δὲ ὀδόντες λευκοί, διὰ τί· ἢ ὅτι ἐξ ὧν ὁ ἥλιος τὸ ὑ-
γρὸν ἐξάγει, αὐτὸ τότε ἐπιβλέπειν λευκαίνεται· οἷον καὶ τὸν κηρὸν

Cur æthiopū dentes candidiores q̃m alior[um] ungues uero nigriores

Vngues ex cute fieri

ZZZ fff iii

ὑποβλέπειν · sf · ex utraq: traductioē · suspicere uertit theodor[us]

τὸ μὲν οὖν δέρμα ἐπιβάλλεται· ἀλλὰ τὸ ὑγρὸν διὰ τὴν ἀλέαν ἐξ-
ξ' αιμίζεται ἐξ αὐτῶν. Διὰ τί τὰ μὲν ἀφαιρουμένης τῆς κεφαλῆς, ἀποθνήσκει εὐθὺς ἢ ταχύ, τὰ δὲ οὔ; ἢ ὅσα ἄναιμα καὶ ὀλιγόζοφα τοῦτο πάχει· οὔτε τροφῆς γὰρ δέεται βραχύ, οὔτε ἐγχεῖται αὐτῶν τὸ θερμὸν ἐν τῷ ὑγρῷ· ὧν αὐτὴ, οὐχ οἷόν τε ζῆν τοῖς ἀναίμοις· τούτοις δὲ οἷόν τέ ἐστιν ἀπνευστίζειν· γὰρ δύναται πολὺ μᾶλλον· ἢ δι' αἰτίας ἐν ἑτέροις εἴρηται.

Cur animalia quedá sine capite nequeant uiuere alia queant

ἈΡΙΣΤΟΤΈΛΟΥΣ ΦΥΣΙΚᾺ ὍΣΑ ΠΕΡῚ ΦΩΝΗ͂Σ.

ά Διὰ τί τῶν αἰσθήσεων ἐκ γενετῆς μάλιστα τὴν ἀκοὴν πηροῦνται; ἢ ὅτι ἀπὸ τῆς αὐτῆς ἀρχῆς εἶναι δόξειεν ἂν ἥ τε ἀκοὴ καὶ ἡ φωνή. ἔστι δὲ δοκεῖ διαφθείρεσθαι ἡ διάλεκτος οὖσα εἶδος φωνῆς, καὶ χαλεπώτατα ἀποτελεῖσθαι. σημεῖον δὲ ὅτι μετὰ τὸ γενέσθαι πολὺν χρόνον ἄνεοι ἐσμέν· εἶτα ὀψέ ποτε ψελλιζόμεθα· τὸ μὲν γὰρ πρῶτον ὅλως, τὸ δὲ λαλοῦμεν οὐδέν. διὰ τὸ τὴν διάλεκτον εὔφθαρτον εἶναι· τὴν δὲ ἀρχὴν ἀμφοτέρων εἶναι καὶ τῆς διαλέκτου· φωνὴ πέρας τις καὶ τῆς ἀκοῆς, ὥσπερ καὶ ἐκ συμβεβηκότος ἐστὶ τῶν αἰσθήσεων φθείρεται· καὶ οὐ καθ' αὑτὴν ἡ ἀκοή. τεκμήριον δὲ ἔστι τὸ ἐκ τῶν ἄλλων ζῴων λαβεῖν· ὅτι παντελῶς εὔφθαρτός ἐστιν ἡ ἀρχὴ τῆς διαλέκτου. λαλεῖ γὰρ οὐθὲν τῶν ἄλλων ζῴων, πλὴν ἀνθρώπου· καὶ οὗτος ὀψέ ἐστι, καθάπερ εἴρηται.

Cur auditus sensu a natiuitate potissimũ priuemur. /

ψελλιζόμεθα balbutim) theodor)

β' Διὰ τί οἱ κωφοὶ πάντες διὰ τῶν ῥινῶν φθέγγονται; ἢ διὰ τὸ ἐγγὺς εἶναι τοῦ ἐννεὸς εἶναι· οἱ δὲ ἐννεοὶ λαλοῦσι διὰ τῶν ῥινῶν· ταύτῃ γὰρ αὐτοῖς ἐκπίπτει τὸ πνεῦμα διὰ τὸ τῷ στόματι μεμυκέναι· μεμύκασι δὲ, ὅτι οὐθὲν εἰς φωνὴν

Surdi omnes p nares loq assolent &ité muti

χρῶνται

∴ δὲ. ff. ex theo.

⌑ καὶ τῆς ἀκοῆς. deest ex the.

α ex ff.

γ' χρῶνται τῇ γλώττῃ. Διὰ τί μεγαλόφωνοι πάντες εἰσὶν οἱ θερμοὶ τὴν φύσιν; ἢ ὅτι ἀνάγκη καὶ ἀέρα πολὺν καὶ ψυχρὸν ἐν τούτοις εἶναι· ἕλκει γὰρ θερμὸν καὶ πνεῦμα πρὸς ἑαυτὸ καὶ ἀέρα· καὶ πλείω τὸ πλεῖον. ἡ δὲ μεγάλη φωνὴ γίνεται, ἐν τῷ πολὺν ἀέρα κινεῖν· καὶ ὀξεῖα ἐν τῷ ταχέως· βαρεῖα δὲ ἡ ἐν τῷ βαρέως.

Calida natura homines magná uocé emittere

δ' Διὰ τί οἱ κωφοὶ πάντες διὰ τῶν ῥινῶν φθέγγονται; ἢ διὰ τὸ βιαιότερον πνεῖν τοὺς κωφούς· ἐγγὺς γὰρ τοῦ ἐννεοὶ εἶναι εἰσί. διΐσταται οὖν τῶν μυκτήρων ὁ τόπος, ὑπὸ πνεύματος. οἱ τοιοῦτοι δὲ διὰ ῥινῶν φθέγγονται.

Surdos omnes per nares loq

έ Διὰ τί εὐηκοώτερα τὰ τῆς νυκτός; ἢ ὅτι μᾶλλον ἠρεμία, διὰ τὴν τοῦ θερμοτάτου ἀπουσίαν. διὸ ὡς ἐπὶ τὸ πολὺ ἀταρακτότερα· ὁ γὰρ ἥλιος ὁ κινῶν.

Que noctu fiunt audibilhora sint

ς' Διὰ τί πόρρωθεν αἱ φωναὶ ὀξύτεραι δοκοῦσιν εἶναι; οἱ γοῦν μιμούμενοι τοὺς σφόδρα πόρρω ὄντας καὶ βοῶντας, ὀξὺ φθέγγονται· καὶ ὅμοιον τοῖς ἀπηχοῦσι, καὶ τῆς ἠχοῦς, ὀξύτερος φαίνεται ὁ ψόφος. ἔστι δὲ πόρρω· ἀνακλᾶται γάρ. οὐκοῦν ἐπεὶ ὀξὺ μὲν ἐν ψόφῳ τὸ ταχύ, βραχὺ δὲ τὸ βαρύ, ἔδει βραδυτέρας πόρρωθεν φαίνεσθαι τὰς φωνάς· τὰ γὰρ φερόμενα πάντα, βραδύτερον φέρεται, ὅσῳ ἂν ἀπέχῃ τῆς ἀρχῆς πλεῖον, καὶ τέλος πίπτει. πότερον οὖν ὅτι οἱ μιμούμενοι ἀμενηνῇ τῇ φωνῇ μιμοῦνται, καὶ λεπτὴν τὴν πόρρωθεν φωνήν· λεπτὴ δὲ βαρεῖα οὐκ ἔστιν. οὐ δὲ μικρὸν καὶ ἀμενηνὸν φθέγγεσθαι βαρύ· ἀλλ' ὀξὺ ἀνάγκη. ἢ οὐ μόνον οἱ μιμούμενοι διὰ τοῦτο μιμοῦνται· ἀλλὰ καὶ οἱ ψόφοι αὐτοί, ὀξύτεροι γίνονται. αἴτιον δὲ ὅτι ὁ ἀὴρ φερόμενος, ποιεῖ τὸν ψόφον· καὶ ὥσπερ τὸ πρῶτον ψοφοῦν τὸ κινῆσαν τὸν ἀέρα, οὕτω δεῖ πάλιν ποιῆσαι τὸν ἀέρα ἀεὶ ἄλλον κινοῦντα εἶναι, τὸ δὲ, κινούμενον. διὸ ὁ ψόφος συνεχής· ὅτι ἀεὶ ἐκδέχεται κινοῦν τι κινηθέν, ἕως ἂν ἀπομαρανθῇ. ὁ ἐπὶ τῶν σωμάτων ἐστὶ τὸ πεσεῖν, ὅταν μηκέτι δύνηται ὠθεῖν ὁ ἀήρ, ἔνθα μὲν τὸ βέλος ἔνθα δὲ τὸν ἀέρα. ἡ μὲν γὰρ φωνὴ γίνεται ἡ συνεχής, ἀέρος ὠθουμένου ὑπ' ἀέρος. τὸ δὲ βέλος φέρεται, σώματος ὑπ' ἀέρος κινουμένου. ἐνταῦθα μὲν οὖν ἀεὶ τὸ αὐτὸ φέρεται σῶμα, ἕως ἂν κατα-

Voces e longinquo acutiores esse uidentur

ἀμενηνῆ

Sagitta fertur cũ corp ab aere propellitur

α καὶ πρῶτον ἢ ἀπὸ ἐλαττόνων theodor). 1. praecedēte subsequēs minor

θέσει· ἐκεῖ δὲ ἀεὶ ἕτερος ἀήρ· καὶ πρῶτον ἐλάττω θᾶττον μὲν κι-
νεῖται· ἐπεὶ ἐλάττω δὲ, διὸ πόρρω ὀξύτεραι καὶ λεπτότεραι αἱ φω-
ναί. τὸ γὰρ θᾶττον, ὀξύ· ὥσπερ καὶ διηπόρηται· ὥσπερ ἡ αὐτὴ
αἰτία, δι' ἣν καὶ οἱ μὲν παῖδες καὶ οἱ κάμνοντες ὀξὺ φθέγγον-
ται· οἱ δὲ ἄνδρες καὶ οἱ ὑγιαίνοντες, βαρύ. τὸ δὲ τοῖς ἐγγὺς μὴ ἐ-
πίδηλον εἶναι τὴν φωνὴν, ἢ βαρυτέραν ἢ ὀξυτέραν γινομένην,
καὶ ὅλως μὴ ὁμοίως ἔχειν τοῖς ἐπισπωμένοις βάρεσιν, αἴτιον, ὅτι τὸ
μὲν ξιφθὲν, ἓν αἴτιον φέρεται ἀεὶ τὸ αὐτό· ὁ δὲ ψόφος, ἀὴρ ὢν ὠ-
θούμενος ἀπὸ ἀέρος· διὸ καὶ τὸ μὲν, εἰς ἓν πίπτει· ἡ δὲ φωνὴ, παν-
ταχῆ· ὥσπερ ἂν εἰ τὸ ξιφθὲν ἅμα φερόμενον, ἀπείρως ξιφθείη

ζʹ καὶ ἔτι εἰς τοὔπιθεν. Διὰ τί αἱ νεηλιφεῖς οἰκίαι μᾶλ-
λον ἠχοῦσιν; ἢ ὅτι μᾶλλον ἀνάκλασις γίνεται διὰ τὴν λειότη-
τα· λειότεραι δὲ, διὰ τὸ ἀρραγὲς καὶ συνεχές· δεῖ δὲ μὴ παντε-
λῶς ὑγρὰν ἀλλ' ἤδη ξηρὰν λαμβάνειν· ἀπὸ πηλοῦ γὰρ, οὐκ ἔστιν
ἀνάκλασις· διὰ ταῦτα δὲ καὶ τὰ κονιάματα μᾶλλον ἠχεῖ. συμ-
βάλλεται δὲ ἴσως καὶ ἡ ἀκινησία τοῦ ἀέρος· ἀθρόον γὰρ ἰὸν μᾶλ-

ηʹ λον ἀποπάλλεται τὸν προσπίπτοντα. Διὰ τί ἐάν τις
πίθον καὶ κεράμια κενὰ κατορύξῃ καὶ πωμάσῃ, μᾶλλον ἠχεῖ
τὰ οἰκήματα, καὶ ἐὰν φρέαρ ἢ λάκκος ᾖ ἐν τῇ οἰκίᾳ; ὅτι ἐ-
πεὶ ἀνάκλασις ἡ ἠχὼ, δεῖ περιειλημμένον ἀθρόον εἶναι τὸν ἀέ-
ρα, καὶ ἔχειν πέρας ὃ ἀνακλασθήσεται, προσπίπτον πυκνὸν καὶ
λεῖον· οὕτω γὰρ μάλιστα ἦχος γίνεται. τὸ μὲν οὖν φρέαρ καὶ ὁ λάκ-
κος, ἔχει τὴν στενότητα καὶ τὴν ἄθροισιν· οἱ δὲ πίθοι καὶ τὰ κερά-
μια, καὶ τὴν πυκνότητα τῶν περιεχόντων· ὥστε ἐξ ἀμφοτέ-
ρων τὸ συμβαῖνον. καὶ γὰρ τὰ κοῖλα μᾶλλον ἠχεῖ· διὰ τοῦτο καὶ
ὁ χαλκὸς μάλιστα τῶν ἄλλων. ὅτι δὲ κατορωρυγμένα ἀθρόα τοῦτο·
ἡ γὰρ φωνὴ φέρεται κάτω ἧττον· ὅλως δὲ πανταχῆ δοκεῖ ἡ κύ-

θʹ κλῳ φέρεσθαι. Διὰ τί δὲ μᾶλλον ἐὰν κατορύξῃ τις, ἠχεῖ ἢ ἐ-
ὰν μή; ἢ ὅτι περιεστεγασμένα μᾶλλον εἰς αὐτὰ δέχεται καὶ κατέχει
τὸν ἀέρα. συμβαίνει δὲ καὶ τὴν πληγὴν σφοδροτέραν γίνεσθαι.

ὥσπερ pro ὥστε

Cur propinqs auribus nō sit facile discriminare inter uocē grauē & acutā

νεηλιφεῖς οἰκίαι

Domus nuper illinita magis resonat

ιʹ Διὰ τί τὸ ὕδωρ τὸ ψυχρὸν ἐκ τοῦ αὐτοῦ ἀγγείου ἐκχεόμενον, ὀξύτερον
ποιεῖ τὸν ψόφον ἢ τὸ θερμόν; ἢ ὅτι θᾶττον ἡ φορά. βαρύτερον γὰρ, ἡ δὲ θᾶττον,
ὀξύτερον ποιεῖ τὸν ψόφον. τὸ δὲ θερμὸν ἐστὶ τῇ μανότητι ἔστι τῇ ἀναφο-
ρᾷ κουφίζει· παρόμοιον γὰρ ὅτι εἰσὶν αἱ δᾷδες καιόμεναι, ἀσθενεστέραν

ιαʹ τὴν πληγὴν ποιοῦσι. Διὰ τί τοῖς ἠγρυπνηκόσιν ἡ φωνὴ τρα-
χυτέρα; ἢ διότι ὑγρότερον τὸ σῶμα, διὰ τὴν ἀπεψίαν· καὶ οὐχ ἥ-
κιστα περὶ τὸν ἄνω τόπον· διὸ καὶ βάρος ἐν τῇ κεφαλῇ. ὑγρότητος
δὲ περὶ τὸν βρόγχον οὔσης, ἀνάγκη καὶ τραχυτέραν εἶναι τὴν φω-
νήν. ἡ μὲν γὰρ τραχύτης, διὰ τὴν ἀνωμαλίαν· ἡ δὲ βαρύτης, διὰ τὴν

ιβʹ ἔμφραξιν. βραδυτέρα γὰρ ἡ φορά. Διὰ τί μετὰ τὰ σιτία,
τάχιστα ἀπορρήγνυται ἡ φωνή; ἢ ὅτι κοπτόμενος μὲν ὁ τόπος, ἐκ-
θερμαίνεται· θερμαινόμενος δὲ, ἕλκει τὴν ὑγρότητα. πλείων δὲ

ιγʹ αὕτη ἐστὶν ἑτοιμοτέρα διὰ τὴν προσφοράν. Διὰ τί οἱ κλαίοντες
ὀξὺ φθέγγονται, οἱ δὲ γελῶντες βαρύ; ἢ ὅτι οἱ μὲν ὀλίγον κινοῦσι
πνεῦμα δι' ἀσθένειαν· οἱ δὲ σφοδρῶς· ὃ ποιεῖ ταχὺ φέρεσθαι τὸ
πνεῦμα· τὸ δὲ ταχὺ, ὀξύ. ἔστι γὰρ ἀπὸ συντόνου τοῦ πνεύματος ἐκ-
ποιούμενον, ταχὺ φέρεται. ὁ δὲ γέλως, τοὐναντίον, διαλελυμένων.
οἱ δὲ ἀσθενεῖς, ὀξύ· ὀλίγον γὰρ ἀέρα κινοῦσιν. οἱ δὲ, ἐπὶ πολὺ ἔτι
οἱ μὲν γελῶντες, θερμὸν πνεῦμα ἀφιᾶσιν· οἱ δὲ κλαίοντες, ὥσ-
περ ἂν ἡ λύπη κατάψυξίς ἐστι τοῦ τόπου τοῦ περὶ τὰ στήθη, καὶ τὸ
πνεῦμα ψυχρότερον ἀφιᾶσι. τὸ μὲν οὖν θερμὸν, πολὺν ἀέρα κι-
νεῖ· ὥστε βραδέως φέρεσθαι· τὸ δὲ ψυχρὸν, ὀλίγον. συμβαίνει δὲ τοῦτο
καὶ ἐπὶ τῶν αὐλῶν· οἱ γὰρ □ θερμοὶ τῷ πνεύματι αὐλοῦντες, πολὺ

ιδʹ βραδύτερον αὐλοῦσιν. Διὰ τί οἱ παῖδες καὶ τὰ ἄλλα τῶν
ζώων τὰ νέα ὀξύτερον φθέγγονται τῶν τελείων; ἔστι ταὐτὸ τὸ ὀξὺ τῇ
□ σφοδρότητος οὔσης. ἡ φωνὴ ἐστὶν ἀέρος κίνησις· καὶ ἡ θᾶττον
ὀξυτέρα. ῥᾷον δὲ καὶ θᾶττον ὁ ὀλίγος τοῦ πολλοῦ κινεῖται ἀήρ. κι-
νεῖται δὲ ἢ συγκείμενος (s. frigore) ἢ διακεκριμένος ὑπὸ θερμοῦ. ἐπειδὴ ἡ
μὲν εἰς πνοὴν ἐστὶ ψυχροῦ εἰσαγωγή, συγκέοιτ' ἂν ἐν αὐτῇ ὁ ἐνὼν
ἀήρ· ἡ δὲ ἐκπνοή, θερμοῦ κινήσαντος ἀέρα, γίνοιτ' ἂν ἡ φωνή.

□ i. f. θερμῷ. ex theodoro

□ γράφεται σφοδρότητος ex theodoro q uertit uehementia

ἀναφορᾷ elatione

Vigilantibus uocē asperiorē reddi

Plorantes acute loquūtur. Ridentes grauiter

Dolor siue tristitia refrigeratio est corporis est

De Tibijs aduerte

Vox ~ aeris mot9

Celerius exiguus aer multo mouetur

Inspiratio
Expiratio

□ sic legit uetus interpres at theodorus βραδύτερα legere uidetur .i. tardior

^ Desunt multa uerba. theodorus sic uertit. Itaque uox etiam tenuis unam dimensionem habuerit. Unum autem & efficere & mouere facilius est quam plura

ἐκπνέοντες οὐκ εἰσπνέοντες φωνοῦμεν

ἐκπνέοντες γὰρ οὐκ εἰσπνέοντες φωνοῦμεν. ἐπεὶ δὲ τὰ νέα θερμότερά ἐστι τῶν πρεσβυτέρων, καὶ τοὺς ἐν αὐτοῖς πόρους στενωτέρους ἔχει, ἐλάττω ἂν ἀέρα ἔχοιεν ἐν ἑαυτοῖς. ὄντος δὲ τούτου κινουμένου ἐλάττονος ὑπὸ τοῦ κινοῦντος θερμοῦ πλείονος ἐν αὐτῷ, θᾶττον ἂν διὰ μὲν φωνὴ κίνησις γίνοιτο τοῦ ἀέρος. ἡ δὲ θᾶττον, ὀξυφωνότερα ἂν εἴη διὰ τὰ προειρημένα.

Plorantes acute. ridentes autem grauiter loquuntur

Διὰ τί οἱ κλαίοντες ὀξὺ φθέγγονται, οἱ δὲ γελῶντες βαρύ; ἢ ὅτι οἱ μὲν κλαίοντες, συντείνοντες καὶ συνάγοντες τὸ στόμα φωνοῦσι. τῇ τε δὴ συντονίᾳ κινεῖται ταχὺ ὁ ἐν αὐτῷ ἀήρ. ἀπὸ διεστενοῦ τοῦ σώματος φέρεσθαι θᾶττον φέρεται. δι' ἄμφω δὲ ὀξεῖα γίνεται ἡ φωνή. οἱ δὲ γελῶντες ἀνιέντες τὸν τόνον, γελῶσι καὶ κεχηνότες. ἐκπέμποντες οὖν διὰ τοῦ εὐρέως καὶ βραδέως τὸν ἀέρα, εἰκότως βαρυφωνοῦσι.

Pueri. Mulieres. Senes. & eunuchi acute loquuntur uiri autem grauiter

Διὰ τί οἱ ἄγονοι, οἷον παῖδες, γυναῖκες, καὶ οἱ ἤδη γέροντες, καὶ οἱ εὐνοῦχοι, ὀξὺ φθέγγονται· οἱ δ' ἄνδρες βαρύ; ἢ καθάπερ ἡ γραμμὴ καὶ τὰ ἄλλα λεπτά, ἓν διάστημα ἔχει, τὰ δὲ παχέα πλείω. ὥστε καὶ ἡ λεπτὴ φωνὴ ἓν^ ἡ πλείω. ἐχόντων οὖν τῶν προειρημένων πνεῦμα ἀσθενὲς κινεῖ αὐτῷ ἀέρα ὀλίγον. ἐλάχιστον δέ ἐστιν, ὁ ἓν διάστημα ἔχων. ὃς ἔσται λεπτὸς διὰ τὰ προειρημένα. καὶ ἡ ἀπ' αὐτοῦ φωνὴ γινομένη τοιαύτη. ἡ δὲ λεπτὴ φωνή, ὀξεῖά ἐστιν. οἱ μὲν οὖν ἄτονοι διὰ ταῦτα ὀξὺ φωνοῦσιν. οἱ δ' ἄνδρες ἰσχύοντες τῷ πνεύματι, πολὺν ἀέρα κινοῦσι. πολὺς δὲ ὤν, βραδέως ἂν κινοῖτο, καὶ βαρεῖαν φωνὴν ποιεῖ. ποιεῖ γὰρ ἡ τελεία ἡ ταχεῖα κίνησις, ὀξεῖαν φωνήν. ὧν οὐδέτερον ἐπὶ τοῦ ἀνδρὸς

διάστημα. Dimensione

Spiritus imbecillis paruum aeris mouere potest & e contrario

ιζ' συμβαίνει γίνεσθαι. Διὰ τί αἱ φωναὶ βαρύτεραι γίνονται τοῦ χειμῶνος; ἢ ὅτι παχύτερος ὁ ἀήρ ἐστι τότε. ὅ τε ἐν ἡμῖν καὶ ὁ ἐκτός. παχυτέρου δ' ὄντος, □βραδυτέρα ἡ κίνησις γίνεται. ὥστε καὶ ἡ φωνὴ βαρυτέρα. ἔτι ὑπνωτικώτεροι ἐσμὲν τοῦ χειμῶνος ἢ τοῦ θέρους. καὶ καθεύδομεν πλείω χρόνον. ἐκ δὲ τῶν ὕπνων βαρύτεροι ἐσμέν. ἐν ᾧ οὖν πλείονα χρόνον καθεύδομεν, ἢ ἐγρηγόραμεν (οὗτος δέ ἐστιν ὁ χειμών) ἐν τούτῳ ἂν εἴημεν βαρυφωνότεροι ἢ ἐν ᾧ τοὐναντίον. τοῦ γὰρ μεταξὺ τῆς ἐγέρσεως ὄντος ὀλίγου χρόνου, ἡ ἐν τῷ ὕπνῳ ἕξις γινομένη.

διαμένει

Grauiores sunt hyeme uoces

Aer in nobis & aer exterior

Somniculosiores hyberno tempore quam aestiuo plus quam temporis dormimus

Aer qui est in nobis & aer qui est exterior

ιη' διαμένει πρὸ τῆς καθυπνώσεως. Διὰ τί ἐκ τῶν πότων καὶ τῶν ἐμέτων καὶ ἐν τοῖς ψύχεσι, βαρύτερον φθέγγονται; ἢ διὰ τὴν ἔμφραξιν τοῦ φάρυγγος τὴν γινομένην ὑπὸ τοῦ φλέγματος κατασπωμένου. ἢ ῥεύματι εἰς αὐτήν. τοῖς μὲν ὁ ἔμετος, τοῖς δ' ὁ πότος, τοῖς δὲ ἡ ὥρα τὸ συμπλήρωμα. στενότερον ποιεῖ τὸν φάρυγγα. ὥστε βραδυτέρα γίνεται ἡ φορὰ τοῦ πνεύματος. ἡ δὲ βραδεῖα φορά, καὶ βραδεῖαν ποιεῖ φωνήν.

καθύπνωσιν. somni repletionem theodorus

φάρυγξ. fauces. The

Per angustiores fauces tardius spiritus delatio agitur

ιθ' Διὰ τί ἐπ' εὐθείας μὲν ἡ βαρυτέρα μᾶλλον ἐξακούεται, πόρρωθεν δὲ ἡ ὀξυτέρα; ἢ διότι ἡ βαρυτέρα φωνή, πλείω μὲν ἀέρα κινεῖ. οὐκ εἰς μῆκος δέ. πόρρωθεν μὲν οὖν ἧττον ἀκούομεν. διότι ἐπ' ἔλαττον κινεῖται. ἐπ' εὐθείας δὲ μᾶλλον. διότι πλείων ἡμῖν ἀὴρ πρὸς τὸ αἰσθητήριον προσπίπτει. ἡ δὲ ὀξεῖα πόρρω ἀκούεται. ὅτι λεπτοτέρα ἐστί. τὸ δὲ λεπτόν, τὴν εἰς μῆκος αὔξησιν ἔχει. λέγοι δ' ἄν τις ὅτι θᾶττόν ἐστιν ἡ ποιοῦσα αὐτὴν κίνησις. ἐπειδὴ αὐτὸ τοῦτο, εἰ πυκνὸν μέν, στενὸν δ' εἴη τὸ κινοῦν πνεῦμα τὸν ἀέρα. ὅτι γὰρ ὀλίγος, εὐκινητότερός ἐστιν ὁ ἀήρ. κινεῖται γὰρ ὁ ὀλίγος ὑπὸ τοῦ στενοῦ. καὶ τὸ πυκνὸν πλείους πληγὰς ποιεῖ. αἳ τὸν ψόφον ποιοῦσιν. ἰδεῖν δ' ἔστι τοῦτο, ἐπὶ τῶν ὀργάνων. αἱ γὰρ λεπτότεραι χορδαί, ὀξύτεραί εἰσι τῶν ἄλλων τῶν αὐτῶν

λέγοι δ' ἄν τις. Dixerim etiam. theo.

Cur minima chorda omnium acutissima

κ' ὑπαρχόντων αὐταῖς. Διὰ τί ἡ φωνὴ ὀξυτέρα φαίνεται τοῖς μακροτέρω ἀφεστηκόσι; τοῦ ὀξέος ὄντος ἐν τῷ ταχέως φέρεσθαι. τὸ δὲ μακροτέρω φερόμενον □βραχύτερον κινεῖται. ἢ ὅτι ἡ ὀξύτης τῆς φωνῆς, οὐ μόνον ἐστὶν ἐν τῷ ταχέως κινεῖσθαι. ἀλλὰ καὶ ἐν τῷ λεπτὸν τὸν ψόφον γίνεσθαι. τοῖς δὲ μακροτέρω ἀφεστηκόσιν ἀεὶ λεπτοτέρα ἡ φωνὴ ἀφικνεῖται, διὰ τὴν ὀλιγότητα τοῦ ἀέρος τοῦ κινουμένου. μαραίνεται γὰρ ἡ κίνησις. μαραινομένου δὲ ὁ ἀριθμός, εἰς τὸ ἓν μὲν τελευτᾷ. σῶμα δὲ εἰς διάστημα ἕν, ὅ ἐστιν ἐν σώ-

κα' ματι λεπτότης. ὁμοίως δὲ ἐν φωνῇ. Διὰ τί καὶ οἱ γεγυμνασμένοι καὶ οἱ ἀσθενεῖς ὀξὺ φθέγγονται; ἢ ὅτι οἱ μὲν ἀσθενεῖς ὀλίγον ἀέρα κινοῦσιν. ὁ δὲ ὀλίγος τοῦ πλείονος θᾶττον φέρεται. οἱ δὲ γεγυμνασμένοι, ἰσχυρῶς κινοῦσι τὸν ἀέρα. ὁ δὲ ἰσχυρῶς κινούμενος ἀήρ, θᾶττον φέρεται. τὸ δὲ ταχὺ ἐν φορᾷ, ἐν φωνῇ, ὀξύ ἐστιν.

Vocis acumen non in motus celeritate tantum consistit sed etiam in exiguitate strepitus

□ s. βραδύτερον ~~grauius~~ tardius. ex utroque interprete

∴ ῥϛ ἢ · vel quod magis placet ·

κβ' Διὰ τί τῷ μετὰ τὰ σιτία κεκραγότι ἡ φωνὴ διαφθείρεται; καὶ πάντας δ' ἂν ἴδοι τις τοὺς φωνασκοῦντας, οἷον ὑποκριτὰς καὶ χορευτὰς καὶ τοὺς ἄλλους τοὺς τοιούτους, ἕωθέν τε καὶ νήστεις ὄντας τὰς μελέτας ποιουμένους. ἢ τὸ διαφθείρεσθαι τὴν φωνὴν οὐθὲν ἕτερόν ἐστιν, ἢ τὸν τόπον διαφθείρεσθαι καθ' ὃν τὸ πνεῦμα διεξέρχεται· διὸ καὶ οἱ βραγχῶντες διαφθείρονται τὰς φωνάς, οὐ διὰ τὸ τὸ πνεῦμα γίνεσθαι χεῖρον, ὃ ποιεῖ τὴν φωνήν, ἀλλὰ διὰ τὸ τραχύνεσθαι τὴν ἀρτηρίαν. ὑπὸ δὲ θερμασίας σφοδρᾶς, μάλιστα τραχύνεσθαι πέφυκεν ὁ τόπος οὗτος. διὸ καὶ οὐδ' οἱ πυρέττοντες, οὐδ' οἱ σφόδρα πεπυρεχότες εὐθὺς μετὰ τὴν ἄνεσιν τοῦ πυρετοῦ ᾄδειν δύνανται· τετράχυνται γὰρ ὁ φάρυγξ αὐτῶν διὰ τὴν θερμασίαν. ἀπὸ δὲ τῶν σιτίων εἰκός ἐστιν τὸ πνεῦμα καὶ πολὺ καὶ θερμὸν γίνεσθαι· τὸ δὲ τοιοῦτον, εὔλογόν ἐστι διεξιὸν, ἑλκοῦν τε καὶ τραχύνειν τὴν ἀρτηρίαν. τούτου δὲ συμβαίνοντος, εἰκότως ἡ φωνὴ διαφθείρεται.

Phonasci · theodor) uocē ~~histriones uertit~~ exercētes
Hypocritę · i · histriones
Choreutę · Saltatores
βραγχῶντες raucescentes

κγ' Διὰ τί εἴπερ ἡ φωνή ἐστιν ἀήρ τις ἐσχηματισμένος, καὶ φερόμενος διαλύεται πολλάκις, τὸ σχῆμα καὶ ἡ ἠχὼ γίνεται πληγέντος τοῦ τοιούτου πρός τι στερεόν· οὐ διαλύεται αὐτή, ἀλλὰ σαφῶς ἀκούομεν αὐτῆς; ἢ ὅτι ἀνάκλασίς ἐστιν, ἀλλ' οὐ κατάκλασις· οὕτω δὲ τὸ ὅλον διαμένει, καὶ δύο μέρη ὁμοιοσχήμονα ἐξ αὐτοῦ γίνεται· πρὸς ὁμοίαν γὰρ γωνίαν ἐστὶν ἡ ἀνάκλασις. διὸ καὶ ὁμοία γίνεται ἡ τῆς ἠχοῦς φωνὴ τῇ ἐξ ἀρχῆς.

Vocis diff° pulchra
De Echo · i · resonātia ut uertit theodor)

κδ' Διὰ τί τῶν μὲν ἄλλων ζώων, τὰ νέα καὶ νήπια ὀξύτερον φθέγγεται τῶν τελείων· οἱ δὲ μόσχοι βαρύτερον τῶν τελείων βοῶν; ἢ ὅτι ἐν ἑκάστῳ γένει τὸ νήπιον ὅμοιόν ἐστι τῷ ἐν αὐτῷ θήλει· τῶν βοῶν δὲ αἱ θήλειαι, βαρύτερον φθέγγονται τῶν ἀρρένων· οἱ δὲ μόσχοι ταύταις ὁμοιότεροί εἰσιν, ἢ τοῖς ἄρρεσι· τὰ δὲ ἄλλα τοὐναντίον.

Nouella ceterorū animaliū acutiorē ædūt uocē quā perfecta · at uituli e contrario grauiorem ·
In omni genere nouellū simile eē foeminę illi) generes · & boū foeminas grauiorē ædere uocē marib)

κε' Διὰ τί ὅταν ἀχυρωθῶσιν αἱ ὀρχῆστραι, ἧττον οἱ χοροὶ γεγώνασιν; ἢ διὰ τὴν τραχύτητα προσπίπτουσα ἡ φωνὴ, οὐ πρὸς λεῖον, τὸ ἔδαφος, ἧττον γίνεται μία ὡς ἐλάττων· οὐ γὰρ συνεχής, ὥσπερ καὶ τὸ φῶς τῶν λείων μᾶλλον διὰ τὸ λαμβάνεσθαι τὸ ἐμποδίζουσι.

∴ ρϛ. μία ὡς ἔλαττον

Orchestra paleis refersa chori uox minor sentitur
γεγώνασιν · resonant · notandū unde apud lucianū γεγωνότερον βοῶντι

κϛ' Διὰ τί τὸ ἅλας ὅταν εἰς πῦρ ἐμβληθῇ, ψοφεῖ; ἢ ὅτι ὁ ἅλς ὑγρὸν ἔχει οὐ πολύ· ὃ ὑπὸ τοῦ θερμοῦ ἐκπνευματούμενον, καὶ βίᾳ ἐκπῖπτον ῥήγνυσι τὸν ἅλα· τὸ δὲ ῥηγνύμενον ἅπαν ψοφεῖ.

Cur sal in ignē coniect) crepet

κζ' Διὰ τί τῶν παίδων ἔνια πρὶν ἥκειν τὴν ἡλικίαν ἐν ᾗ σαφηνίζειν ὥρα αὐτοῖς, φθεγξάμενα καὶ σαφῶς εἰπόντα, πάλιν ὁμοίως διάγουσιν, ἕως ἂν ἔλθῃ ὁ εἰωθὼς χρόνος; ἃ δὴ πολλὰ τέρατα νομίζουσιν εἶναι, ἤδη δὲ μία λέγεται καὶ εὐθὺς γινόμενα φθέγξασθαι. ἢ ὅτι ὡς μὲν ἐπὶ πολὺ τὰ πλείω τῶν γινομένων γίνεται κατὰ φύσιν· διὸ ὀλιγάκις τοῦτο συμβαίνει, αἱ φύσεις ἅμα καὶ κατάλληλα τελοῦνται· διὸ καὶ ἀκούει τε ἅμα καὶ φωνεῖ, καὶ ξυνίησι κατὰ τὴν ἀκοὴν καὶ λέγει καὶ σαφηνίζει· οὐ μὴν ἀλλὰ πολλάκις οὐκ ἀπαρτίζει ταῦτα. ἀλλὰ τὰ μὲν ξυνίησι πρότερον, ἢ τοῦτο τὸ μόριον ἀπολυθῆναι ᾧ διαλέγεται. τοῖς δὲ τοὐναντίον. ταῦτα μὲν οὖν οὐκ ἂν διαλεχθείησαν ἔτι ὡς· ἃ γὰρ ἂν ἀκούσωσι διαλέγονται. ἀλλ' ὅταν ὁ καιρὸς ἀμφοῖν, ἀποδιδόασι τὸ κατὰ φύσιν· ὅσοις ἔμπροσθεν ἡ κατὰ τὴν ἀκοὴν αἴσθησις διακεκρίβωται καὶ τῇ ψυχῇ, ᾧ πρώτῳ κινοῦσι τὴν φωνὴν καὶ ποιοῦσι λόγον, τούτοις ἐνίοτε γίνεται, ἤδη ξυνιέσι πολλά, καὶ δύναμίς τις τοῦ μορίου καὶ ἀπόλυσις, μάλιστα μὲν μετὰ ὕπνον τινά. τούτου δ' αἴτιον, ὅτι ὁ ὕπνος, καὶ τὰ σώματα νεωθρότερα ποιεῖ καὶ τὰ μόρια ἀναπαύσας. εἰ δὲ μὴ καὶ ἄλλην μεταβολὴν λαβόντα τοιαύτην· πολλαὶ δ' ἔχομεν τοιαῦται περί, ἃ μικρῶν δεῖται καιροῦ· κα- πεσταὶ κ' ἔτι ὁμοίως ἔχει· ὅταν δ' ἐπιτύχῃ τὸ μόριον ἔχον καὶ ἀπολυθέν, ὅταν ἐπιπλήξῃ ἐν τῇ αἰσθήσει ὧν ἐκινήθη διάνοια, κατὰ τὴν ἀκοὴν τοῦτο ἐπανῆλθε καὶ ἐφθέγξατο. πολλάκις δὲ καὶ μέλη καὶ ῥήματα ἐπέρχεται οὐκ ἐκ προαιρέσεως ἡμῖν. ἀλλ' ἐὰν τὸ πρῶτον προελόμενοι εἴπωμεν, ὕστερον ἄνευ προαιρέσεως λέγομεν, ἢ ᾄδομεν, καὶ οὐ δύνανται ἐκ τοῦ στόματος ἐξελθεῖν, οὕτω καὶ τοῖς παιδίοις, ὅταν συμβῇ τοῦτο εἰπόν. εἶτα πάλιν καταστῇ εἰς τὴν φύσιν ἐκεῖνο τὸ μόριον· ἕως ἂν ἡ ὥρα ἔλθῃ ἰσχῦσαι αὐτὸ καὶ ἀποκριθῆναι.

Nonnulli pueri paulo post natiuitatem locuti sunt
ἀπαρτίζει contingūt eueniunt ·
Somnus membra alacriora reddit
νωθρότερα
ἐπὸ τύ

κη' Διὰ τί ἔνια ψοφεῖ καὶ κινεῖται ἐξαίφνης, οἷον τὰ κιβώτια, οὐδενὸς αἰσθητοῦ κινοῦντος, καίτοι κρεῖττον γένοιτο τὸ κινοῦν τοῦ κινουμένου; ὁ δὲ αὐτὸς λόγος καὶ φθορᾶς καὶ γενέσ-

Cur quædā nulla apparente causa crepāt subito ut arcę

ὑπὸ ἀναισθήτου γὰρ φθείρεται τὰ λεγόμενα ὑπὸ τοῦ χρόνου πάντα. ἢ ὅμοιον τοῦτο τοῖς σταλαγμοῖς καὶ τοῖς ὑπὸ τῶν ἐκφυομένων αἰρομένοις λίθοις. οὐ γὰρ τὸ τελευταῖον αἴρει ἢ κινεῖ, ἀλλὰ τὸ συνεχές. ὥσπερ γὰρ τούτου συνέβη ἀναισθήτου ὄντος, αἰσθητὴν γίνεσθαι τὴν κίνησιν. οὕτω δὲ καὶ τὸ περιεχόμενον, αἰσθητοῖς χρόνοις κινεῖται, καὶ διαιρεῖται εἰς ἀναίσθητα. τῷ δὲ παντὶ καὶ συνεχεῖ, ἐκίνησε καὶ ἔφθειρε. συνεχὲς δέ ἐστιν, οὐκ ἐν τῷ νῦν, ἀλλ' ἐν τῷ ὡρισμένῳ χρόνῳ, ὑπὸ τοῦ νῦν.

κθ' Διὰ τί οἱ χασμώμενοι, ἧττον ἀκούουσιν· ἢ ὅτι τοῦ ἐξιόντος πνεύματος ἐν τῇ χάσμῃ πολὺ καὶ εἰς τὰ ὦτα χωρεῖ ἔσωθεν· ὥστε καὶ τῇ αἰσθήσει ἐπίδηλον εἶναι τὴν κίνησιν ἣν ποιεῖ περὶ τὴν ἀκοήν· μάλιστα δὲ κατὰ τὸν ὕπνον. ὁ δὲ ψόφος, ἀὴρ ἢ πάθος ἀέρος ἐστίν. ἀντιπαίοντος οὖν ἔσωθεν, εἰσέρχεται ὁ ἔξωθεν ψόφος, καὶ ὑπὸ τῆς κινήσεως καὶ τοῦ ἔξωθεν ψόφου, ἐκκρούεται ἡ κίνησις.

λ' Διὰ τί ἰσχνόφωνοι παῖδες μᾶλλον, ἢ ἄνδρες, ὥσπερ καὶ τῶν χειρῶν ἔτι τῶν ποδῶν ἀεὶ ἧττον κρατοῦσι παῖδες ὄντες· καὶ ὅσοι ἐλάττους, οὐ δύνανται βαδίζειν, ὁμοίως καὶ τῆς γλώττης οἱ νεώτεροι οὐ δύνανται. ἐὰν δὲ πάνυ τάπασι μικροὶ ὦσιν, οὐδὲ φθέγγεσθαι δύνανται. ἀλλ' ἢ ὥσπερ τὰ θηρία διὰ τὸ μὴ κρατεῖν. εἰσὶ δ' αὖ οὐ μόνον ἐπὶ τοῖς ἰσχνοφώνου, ἀλλὰ καὶ τραυλοὶ καὶ ψελλοί· ἡ μὲν οὖν τραυλότης, τῷ γράμματός τινος μὴ κρατεῖν ἐστί, καὶ τούτου οὐ τὸ τυχόν· ἡ δὲ ψελλότης, τῷ ἐξαιρεῖν τι ἢ γράμμα ἢ συλλαβήν. ἡ δ' ἰσχνοφωνία, ἀπὸ τοῦ μὴ δύνασθαι ταχὺ συνάψαι τὴν ἑτέραν συλλαβὴν πρὸς τὴν ἑτέραν. ἅπαντα δὲ δι' ἀδυναμίαν. τῇ διανοίᾳ, οὐχ ὑπηρετεῖ ἡ γλῶττα. ταὐτὸ δὲ τοῦτο καὶ οἱ μεθύοντες πάσχουσι καὶ οἱ πρεσβῦται· ἧττον δὲ πάντα συμβαίνει.

λα' Διὰ τί ἡ φωνὴ τρέμει καὶ τῶν ἀγωνιώντων καὶ τῶν δεδιότων; ἢ ὅτι σείεται ἡ καρδία τοῦ θερμοῦ ἐξιόντος. ἀμφοτεράκις γὰρ πάσχουσι τοῦτο. καὶ γὰρ τοῖς ἀγωνιῶσι, συμβαίνει καὶ τοῖς φοβουμένοις. σειομένης δὲ οὐ γίνεται μία ἡ πληγή, ἀλλὰ πλείους· ὥσπερ ἡ τῶν παρανενευρισμένων χορδῶν.

λβ' Διὰ τί οἱ μὲν ἀγωνιῶντες βαρὺ φθέγγονται, οἱ δὲ φοβούμενοι ὀξύ; ἢ ὅτι τοῖς μὲν φοβουμένοις καταψύχεται ὁ τόπος ὁ περὶ τὴν καρδίαν, κάτω ὁρμῶντος τοῦ θερμοῦ· ὥστε ὀλίγον ἀέρα κινοῦσιν. ἡ γὰρ ἰσχὺς ἐν τῷ θερμῷ. τοῖς δὲ ἄνω φέρεται τὸ θερμόν· ὥσπερ τοῖς αἰσχυνομένοις· διαισχύνονται γὰρ καὶ ἀγωνιῶσι. τοῖς δὲ αἰσχυνομένοις ἄνω φέρεται πρὸς τὸ πρόσωπον. σημεῖον δὲ ὅτι ἐξερυθριῶσι μᾶλλον. συντήκει οὖν καὶ παχὺν ποιεῖ τὸν ἀέρα, ᾧ φθέγγονται. ὁ δὲ τοιοῦτος, βραδέως ὠθεῖται· τὸ δὲ βραδὺ ἐν φωνῇ, βαρύ ἐστιν.

λγ' Διὰ τί ἀκουστότερα ἡ νὺξ τῆς ἡμέρας ἐστί; πότερον ὥσπερ Ἀναξαγόρας φησί, διὰ τὸ τῆς μὲν ἡμέρας σίζειν καὶ ψοφεῖν τὸν ἀέρα θερμαινόμενον ὑπὸ τοῦ ἡλίου· τῆς δὲ νυκτὸς ἡσυχίαν ἔχειν, ἅτε ἐκλελοιπότος τοῦ θερμοῦ· εἶναι δὲ μᾶλλον ἀκουστὸν μηθενὸς ὄντος ψόφου. ἢ διότι διὰ τοῦ κενωτέρου μᾶλλον ἀκουστόν ἐστιν, ἢ διὰ τοῦ πλήρους. ἔστι δὲ τῆς μὲν ἡμέρας ὁ ἀὴρ πυκνός, ἅτε πεπληρωμένος ὑπὸ τοῦ φωτὸς καὶ τῶν ἀκτίνων· τῆς δὲ νυκτὸς, ἀραιότερος, διὰ τὸ ἀπεληλυθέναι ἐξ αὐτοῦ τὸ πῦρ καὶ τὰς ἀκτῖνας, σώματα ὄντα. ἢ ὅτι τῆς μὲν ἡμέρας τὰ σώματα, πρὸς πολλὰ τὴν διάνοιαν ἕλκει· διὸ οὐκ εὐκρινές ἐστι πρὸς τὴν ἀκοὴν ἐπὶ τὸ πράττειν ἡμῖν πάντα, μᾶλλον ἐν τῇ ἡμέρᾳ ἢ τῇ νυκτί. καὶ αὐτὰ περὶ τὰς πράξεις ἐστί. χωρισθεῖσα δὲ αἴσθησις διανοίας, καθάπερ ἀναίσθητον πόνον ἔχει, ὥσπερ εἴρηται, τὸ νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει. νυκτὸς δὲ τῆς ὄψεως ἀργούσης, καὶ τῆς διανοίας μᾶλλον ἠρεμούσης, ὁ τῆς ἀκοῆς πόρος ἀνεῳγμένος, καθάπερ τῆς ἡμέρας, δεκτικὸς μέν ἐστι τῶν ἤχων ὁμοίως· ἐξαγγελτικὸς δὲ μᾶλλον ἢ τῇ διανοίᾳ, διὰ τὸ μήτι αὐτὴν ἐνεργεῖν, μήθ' ὑπὸ τῆς ὄψεως παρενοχλεῖσθαι, καθάπερ ἐπὶ τῆς ἡμέρας.

λδ' Διὰ τί οἱ ἄγονοι, οἷον παῖδες καὶ γυναῖκες καὶ οἱ ἤδη γέροντες καὶ οἱ εὐνοῦχοι, ὀξὺ φθέγγονται· οἱ δὲ ἄνδρες βαρύτερον; διὰ ἀσθένειαν τοῦ κινοῦντος μορίου τὸν ἀέρα· ὀλίγον γὰρ τὸ ἀσθενὲς κινεῖ. ὁ δὲ ὀλίγος ταχὺ φέρεται· τὸ δὲ ταχὺ φερόμενον, ὀξύ. ἢ διότι ὁ πόρος ὁ πρῶτος δι' οὗ ἡ φωνὴ φέρεται, τοῖς μὲν ἀγόνοις, μικρός· ὥστε ὀλίγον ἐξ αὐτοῦ τὸ ὠθοῦν τὸν ἀέρα· ὁ

Cur oscitantes minus audiunt

Strepitus uel aer est uel aeris affectus

Cur pueri magis quam uiri lingua hesitant

ἰσχνοφωνία. hesitas
τραυλότης Balbuties
ψελλότης Blesitas

Vox trepidantium & timentium obtremiscit

παρανενευρισμένων

Vires in calore positae sunt

ἀγωνιᾶσθαι quid sit proprie ~~quid sit~~ disce hinc

Anaxagoras

Aer secundum anaxagoram interdiu a sole calefactus stridet atque obstrepit noctu quiescit

Lucem corpus esse & item radios solis hinc liquet

νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει. Verbum epicharmi si credimus Tzetzi lycophronis interpreti

deest ex utraque traductione

λίγος δὲ ὤν, ταχὺ φέρεται διὰ ῥεύματος τοῦ ἄνω φάρυγγος. ἀκμάζουσι δὲ καὶ ἀνδρουμένοις, διΐσταται οὗτος· ὥσπερ καὶ ἐπὶ τοὺς ὄρχεις· ὥστε καὶ πλείων ἐστὶν ὁ ὠθούμενος· βραδύτερον οὖν διεξιὼν βαρὺς γίνεται.

Hesitantes loqui nequeunt uoce submissa

λε' Διὰ τί οἱ ἰσχνόφωνοι, οὐ δύνανται διαλέγεσθαι μικρόν; ἢ ὅτι ἴσχονται τοῦ φωνεῖν ἐμποδίζοντός τινος. οὐκ ἴσον δὲ ἰσχύει τὸ δι' ὁμοίας κινήσεως· μὴ ἐμποδίζοντός τε τὴν κίνησιν μηδενός, καὶ ἐμποδίζοντος, βιάσασθαι δεῖ. ἡ δὲ φωνὴ κίνησίς ἐστι· μεῖζον δὲ φθέγγονται μᾶλλον οἱ τῇ ἰσχύι χρώμενοι· ὥστ' ἐπεὶ ἀνάγκη ἀποβιάζεσθαι τὸ κωλῦον, ἀνάγκη μεῖζον φθέγγεσθαι τοὺς ἰσχνοφώνους.

Apoplexie .i. stupori similis trepidatio

λς' Διὰ τί δὲ ἀγωνιῶντες μὲν μᾶλλον ἰσχνόφωνοι γίνονται, ἐν δὲ ταῖς μέθαις ἧττον; ἢ ὅτι ἀποπληξίᾳ ὅμοιόν ἐστι τὸ πάθος μέρους τινὸς τῶν ἐντὸς ὃ ἀδυνατοῦσι κινεῖν, ἐμποδίζοντος διὰ τὴν κατάψυξιν. ὁ μὲν οὖν οἶνος φύσει θερμὸς ὤν, λύει τὴν κατάψυξιν μᾶλλον· ἡ δὲ ἀγωνία ποιεῖ· φόβος γάρ τις ἡ ἀγωνία. ὁ δὲ φόβος κατάψυξις.

Trepidatio metus quidam : metus autem refrigeratio

Cur strepitus extrinsecus magis intus auditur quam intrinsecus foris

λζ' Διὰ τί ἔξωθεν εἰς τὰς οἰκίας εἰσακούεται μᾶλλον, ἢ ἔσωθεν ἔξω; ἢ ὅτι ἔσωθεν ὁ ψόφος διὰ τὸ ἀχανὲς εἶναι διασπᾶται, ὥστε οὐχ ἱκανὸν ἕκαστον μέρος ἀκουσθῆναι ἢ ἧττον· ἔξωθεν δὲ ἔσω εἰς ἐλάττω τόπον καὶ ἀέρα καὶ ἑστῶτα, ἡ φωνὴ βαδίζουσα, ἀθρόα ἔρχεται, ὥστε μείζων οὖσα, κρίνεται μᾶλλον.

Lingua hesitantes melancholicos esse

Melancholicum esse nil aliud est quam phantasiam .i. imaginationem sequi

λη' Διὰ τί οἱ ἰσχνόφωνοι μελαγχολικοί; ἢ ὅτι τὸ τῇ φαντασίᾳ ἀκολουθεῖν ταχέως τὸ μελαγχολικὸν εἶναί ἐστιν· οἱ δὲ ἰσχνόφωνοι τοιοῦτοι· προτερεῖ γὰρ ἡ ὁρμὴ τοῦ λέγειν τῆς δυνάμεως αὐτοῖς, ὡς θᾶττον ἀκολουθούσης τῆς ψυχῆς τῷ φανέντι. καὶ οἱ τραυλοὶ δὲ ὡσαύτως· βραχύτερα γὰρ τὰ μόρια τοῖς τοιούτοις. ταὐτὸ σημεῖον δέ· οἰνωμένοι γὰρ τοιοῦτοι γίνονται, ὅτε μάλιστα τοῖς φαινομένοις ἀκολουθοῦσι καὶ οὐ τῷ οἴνῳ.

τραυλοί Balbi

Porrum conferre ad uocis sonoritatem

λθ' Διὰ τί τὰ πράσα συμφέρει πρὸς εὐφωνίαν, ἐπειδὴ καὶ τοῖς πέρδιξιν; ἢ ὅτι τὰ σκόροδα ἑφθὰ λεαίνει. τὰ δὲ πράσα, γλισχρότητα ἔχει τινά· ῥυπτικὸν δὲ τοῦ φάρυγγος.

Allia cocta delinuit

μ' Διὰ τί τὰ μὲν ἄλλα ὀξύτερον φθέγγονται σφοδρότερα ὄντα, ὁ δὲ αὐλὸς ἀσθενῶν; ἢ διότι ἐλάττω κινεῖ ἀέρα· οὗτος δὲ ταχὺ διέρχεται.

∴ sic legit uetus interpres theodorus autem uidetur legere τὸ δὲ · νῷ .i. ratione

∴ sf. θήραις .i. uenationibus ex utraque traductione

+ sf. οὐ . ex utroque interprete

μα· τὸ δὲ ταχὺ, ὀξὺ ποιεῖ τὸν ψόφον. Διὰ τί ἀκούουσι μᾶλλον κατέχοντες τὸ πνεῦμα, ἢ ἐκπνέοντες; διὸ καὶ ἐν ταῖς θύραις παραγγέλλουσιν ἑαυτοῖς, μὴ πνεῖν. πότερον ὅτι τὸ αἰσθητικὸν ἄνω ἔρχεται αἰρομένων τῶν φλεβῶν· καθευδόντων δὲ κάτω· διὸ καὶ μᾶλλόν τι ἐκπνέουσι καθεύδοντες ἢ εἰσπνέουσι, καὶ ἀνήκοοί εἰσιν. ἢ ὅτι τὸ αἷμα ἀνέρχεται ἐκπεπνευκότος· ὥστε κενοῦται τὰ ἄνω· ἀκούουσι δὲ τῷ κενῷ. ἢ ὅτι ὁ φυσιασμὸς, ψόφος τίς ἐστι· οὗτος δὲ ἐν τῷ ἐκπνεῖν γινόμενος, κωλύει ἀκούειν.

Continentes spiritum magis audire quam exspirantes

Cur dormientes plus spiritus reddunt quam admittunt

μβ' Διὰ τί θᾶττον μὲν ψοφοῦσι καὶ πηδῶσιν οἱ ἀλεκτ. οἱ μικροί· μείζω δὲ ψοφοῦσι καὶ πηδῶσιν οἱ μεγάλοι; ἢ διότι οἱ μὲν, ταχὺ χέζονται· οἱ γὰρ πολὺ δεῖ διελθεῖν τὸ πνεῦμα διὰ τὴν μικρότητα· οἱ δὲ βραδέως· μεῖζον γὰρ ἔργον, τὸ μεῖζον διαχέαι, ἢ τὸ μικρόν. ψοφεῖ δὲ ὁ μὲν μικρὸς, μικρόν· ἡ γὰρ πληγὴ μικρά· ὁ δὲ μείζων μεγάλα· μεγάλη γὰρ ἡ πληγή. ὁ δὲ ψόφος, πληγή ἐστι· καὶ πηδῶσι δὲ μᾶλλον τὸ ἰσχυρότερον ἂν πληγείη· ἧττον γὰρ ἐνδιδῶσι.

In magnum ignem coniectus sal aut minus aut non

μγ' Διὰ τί ἐὰν εἰς πολὺ πῦρ ἐμβάλῃ τις τὸ αὐτὸ μέγεθος ἅλος, ἧττον ψοφεῖ, ἢ οὐ ψοφεῖ; ἢ ὅτι φθάνει κατακαυθεὶς πρὶν ῥαχθῆναι. καίεται μὲν γὰρ, τῷ τὸ ὑγρὸν ἀναλωθῆναι· ψοφεῖ δὲ τῷ ῥαχθῆναι.

Oscitantes minus audire

μδ' Διὰ τί οἱ χασμώμενοι, ἧττον ἀκούουσιν; ἢ ὅτι τὸ πνεῦμα ἐναπολαμβάνουσι· τὸ δὲ ἀπολαμβανόμενον πνεῦμα περὶ τὰ ὦτα ἀθροισθέν, σημεῖον δέ· ἐν γὰρ τοῖς ὠσὶ ψόφος γίνεται ὅταν χασμῶσι μέσως. τὸ δὲ ἀπολαμβανόμενον πνεῦμα, κωλύει ἀκούειν. ἔτι δὲ καὶ φωνή τις γίνεται τῶν χασμωμένων· τοῦτο δὲ, κωλυτικὸν τοῦ ἀκούειν· καὶ συμπιέζεσθαι ἀναγκαῖον τὰς ἀκοάς, διαστωμένου τοῦ σώματος.

Cur superne deorsum melius audiatur quam inferius sursum

με' Διὰ τί τῆς φωνῆς ἐπειδὴ ἀήρ τίς ἐστι, φύσιν ἐχούσης ἄνω φέρεσθαι, μᾶλλον ἐστὶν ἐπήκοος ἄνωθεν κάτω, ἢ κάτωθεν ἄνω; ἢ ὅτι ἡ φωνὴ, ἀήρ τίς ἐστι μεθ' ὑγροῦ· φέρεται κάτω καὶ οὐκ ἄνω· τοῦ γὰρ ὑγροῦ κατὰ φύσιν, ἡ κάτω φορά· διὸ τοῖς κάτω μᾶλλον ἀκούεται. ἢ τοῦτο μὲν ὑπὸ τῆς τοῦ ζῴου φωνῆς μόνον γίνεται· τὸ δὲ συμβαῖνόν ἐστι, καὶ ἐπὶ τῶν ἄλλων ψόφων, καθάπερ γὰρ ἡ ὄψις, ἐὰν μὲν ἄνωθεν κάτω προσπέσῃ, τὴν ἀνάκλασιν ἄνω ποιεῖται, κάτωθεν δὲ

Vocem aerem esse humori admixtum

Visus reflexio

□ sf. ἀθροίζεται ex utroque interprete

^ deest βαρυνθεὶς μὲν οὖν οὗτος ὑπὸ τοῦ ὑγροῦ . ex uetere traductione & item theodoro

□ αὕτη γὰρ μετὰ τοῦ ὑγροῦ · ex utroque interprete

ἄνω προσπεσοῦσα, ἀνεκλάσθη κάτω, τὸν αὐτὸν τρόπον ἡ φωνὴ
ἡ φύσιν ἔχουσα ἄνω φέρεσθαι, προσκόψασα ὑπὸ τῆς ἐναντίας ἀεὶ
πιέζεσθαι μὲν οὐ δύναται, πλεῖον δ' ὂν τὰ βαρύτερον· ἀνακλα-
σθεῖσα δὲ κινηθεὶς ὁ ἀὴρ ὑπὸ τοῦ ἐναντίου, ἢ μέχρι κάτω· διὸ κατὰ χό-
μη, ἀκούεται κάτω μᾶλλον· ἴσως δὲ καὶ τὸ περὶ τὴν ἠχὼ συμβαῖνόν
μς´· ἐστιν· ἀνάκλασις γὰρ φωνῆς ὑπὸ τοῦ ἐναντίου. Διὰ τί μεθυόν-
των μᾶλλον ἀπορρήγνυται ἡ φωνή, ἢ νηφόντων; ἢ διὰ τὸ πεπληρῶσθαι
ταχὺ ἀπορρήγνυσι τὴν φωνήν. σημεῖον δὲ τούτου· ὅτι γὰρ οἱ χοροὶ
μελετῶσιν ἐξαλείσου, ὅτι οἱ ὑποκριταί, ἀλλὰ νήστεις. ἐν δὲ τῇ μέθῃ
πληρέστεροι ὄντες, εὐλόγως μᾶλλον ἀπορρήγνυνται τὰς φωνάς.
μζ´· Διὰ τί ποτε τῶν ὀξυτέρων φωνῶν μακρότερον ἀκούουσιν; ἢ διότι
τὸ ὀξὺ ἐν φωνῇ, ταχύ ἐστι· θᾶττον δὲ κινεῖται, τὰ βίᾳ μᾶλλον φερόμενα·
μη´· τὰ δὲ σφοδρότερον φερόμενα, ἐπὶ πλέον φέρεται. Διὰ τί κατέχοντες τὸ
πνεῦμα μᾶλλον ἀκούομεν; ἢ ὅτι ἡ ἀνάπαυσις, ψόφον τινὰ παρέ-
χει· εἰκότως οὖν ἔτι μᾶλλον ἀκούομεν, ὅταν ἧττον ὁ ψόφος ᾖ. ἧττον
μθ´· δὲ ὁ ψόφος, ὅταν κατέχωμεν τὸ πνεῦμα. Διὰ τί τὸ μὲν φῶς οὐ
διέρχεται διὰ τῶν πυκνῶν, λεπτότερον ὂν καὶ πορρωτέρω θᾶττον, ὁ
δὲ ψόφος διέρχεται; ἢ διότι τὸ μὲν φῶς, κατ' εὐθεῖαν φέρεται· ὥστε
ἂν ἀντιφράξῃ τι τὴν εὐθυωρίαν, ὅλως ἀποκέκλεισται. ὁ δὲ ψόφος φέ-
ρεται καὶ κύκλῳ, διὰ τὸ πνεῦμα εἶναι· διὸ πανταχόθεν ψοφοῦντες
ν´· ἀκούομεν· καὶ οὐ μόνον τὴν κατ' εὐθυωρίαν τοῖς ὠσί. Διὰ τί ποτε
οἱ μὲν γελῶντες βαρὺ φθέγγονται, οἱ δὲ κλαίοντες ὀξύ; ἢ διότι ἀπὸ
ἀτόνων ὄντων ὀξεῖα ἡ φωνή· τὸ δὲ ὀξὺ ἐστὶν ἀσθενές· ἄμφω δὲ ταῦτα
μᾶλλον τοῖς κλαίουσιν ὑπάρχει· καὶ γὰρ συντείνουσι μᾶλλον οἱ κλαίοντες.
να´· καὶ ἀσθενέστεροί εἰσι. Διὰ τί εἴπερ ἡ φωνή, ἀὴρ ἐσχηματισμένος τίς ἐστι,
φερόμενος διαλύεται, πολλάκις τὸ σχῆμα, ἡ ἠχὼ γίνεται, πληγέν-
τος τοιούτου πρός τι στερεὸν οὐ διαλύεται, ἀλλὰ σαφῶς ἀκούομεν.
ἢ διότι ἀνάκλασις ἐστίν, οὐ κατάκλασις· τοῦτο δὲ ὅλον ἀφ' ὅλου· εἶτα
τὸ πάθος ἀφ' ὁμοίου· ἀπὸ γὰρ τοῦ ἀέρος ἀνακλᾶται ἐν τῷ κοίλῳ· οὐκ
νβ´· ἀπὸ τοῦ κοίλου. Διὰ τί ἑνός τινος καὶ πολλῶν φθεγγομένων ἅμα, οὐ
τι ἴσος

Vinolentis magis qm sobriis frangi uox solet

ἀνάπαυσις respiratio theodo.

Cur ~~uox~~ lux cum sit tenuior & uelocior densa corpora penetrare nō potest cū possit sonus

De echo

ὁμοζύγων · ꝯf. ex utraq: traductioē · i · cōtentis

τι ἴσος ὁ φθόγγος, οὔτε ἐπὶ πλεῖον γεγωνόσιν ὡς κατὰ λόγον εἰς τὸ πόρ-
ρω; ἢ ὅτι ἕκαστος τὸν καθ' αὑτὸν ἀέρα προωθεῖ, ἀλλ' οὐ τὸν αὐτόν· πλὴν
ἐπὶ μικρόν. ὅμοιον δὴ συμβαίνει, ὥσπερ ἂν εἰ πολλοὶ μὲν εἶεν οἱ βάλ-
λοντες· ἕκαστος μέντοι λίθῳ ἑτέρῳ, ἢ οἵ γε πλεῖστοι· οὔτε ἐκεῖ πόρ-
ρωθεν οὐθὲν ἀφίξεται βέλος, ἢ οὐ κατὰ λόγον, οὔτε ἐνταῦθα. οὐ γὰρ
ἑνὸς ἡ τοσαύτη φωνή· ἀλλ' ἀπὸ πολλῶν· ἐγγύθεν μὲν οὖν κατὰ λόγον
πολλὴ φαίνεται ἡ φωνή· καὶ γὰρ τὰ βέλη πλείω τεύξεται τοῦ αὐ-
νγ´· τοῦ· πόρρωθεν δὲ οὐκέτι. Διὰ τί ἀγωνιῶντες μὲν βαρύτε-
ρον φθέγγονται· φοβούμενοι δὲ ὀξύτερον· καίτοι ἡ αἰδώς, φόβος
τίς ἐστιν; ἢ διαφέρει πολὺ τὸ πάθος· οἱ μὲν γὰρ αἰδούμενοι, ἐρυθριῶ-
σιν· ἡ δὲ ἀγωνία, αἰσχύνη τίς ἐστιν· οἱ δὲ φοβούμενοι, ὠχριῶσι· φανε-
ρὸν ὅτι τοῖς μὲν φοβουμένοις ἐκλείπει ἄνωθεν τὸ θερμόν· ὥστε κινεῖ
ἀσθενὲς ὄν, ὀλίγον ἀέρα τὸ πνεῦμα· τὸ δὲ ὀλίγον, ταχὺ φέρεται· τὸ
δὲ ἐν φωνῇ ταχύ, τὸ ὀξύ. τοῖς δὲ φοβουμένοις ἄνω ἔρχεται τὸ θερμὸν
περὶ τὰ στήθη. σημεῖον δέ, ὅτι γίνονται ἐξέρυθροι· πολὺν δὲ κινεῖ ἀ-
έρα, ἡ πολλὴ δύναμις· τὸ δὲ πολύ, βραδέως φέρεται· τὸ δὲ βαρὺ ἐν φω-
νδ´· νῇ βραδύ. Διὰ τί ἰσχνόφωνοι γίνονται; καὶ ἡ αἰτία ἡ κατά-
ψυξις τοῦ τόπου ᾧ φθέγγονται· ὥσπερ ἀποπληξία τοῦ μέ-
ρους τούτου ἐστίν· διὸ καὶ θερμαινόμενοι ὑπὸ οἴνου καὶ τοῦ λέγειν
νε´· συνεχῶς, ῥᾷον συνείρουσι τὸν λόγον. Διὰ τί μόνον τῶν ἄλλων ζώ-
ων ἄνθρωπος γίνεται ἰσχνόφωνον; ἢ ὅτι λόγου κοινωνεῖ μόνον· τὰ δὲ ἄλλα
φωνῆς· οἱ δὲ ἰσχνόφωνοι, φωνοῦσι μέν, λόγον δὲ οὐ δύνανται συνείρειν.
νς´· Διὰ τί τοῦ μὲν χειμῶνος ὀξύτερον φθέγγονται καὶ νήφοντες· θέρους
δὲ καὶ μεθύοντες, βαρύτερον; ἢ ὅτι ὀξυτέρα μέν ἐστιν ἡ ταχυτέρα· ταχυτέ-
ρα δέ ἐστιν ἡ ἀπὸ συντεταμένων φωνή. τῶν δὲ νηφόντων καὶ ἐν χειμῶνι τὰ σώ-
ματα συνέστηκε μᾶλλον, ἢ μεθυόντων καὶ ἐν τῷ θέρει. τὸ γὰρ θερμὸν καὶ
νζ´· αἱ ἀλέαι διαλύει τὰ σώματα. Διὰ τί ἡ φωνὴ ὕστερον τελευτᾷ
τοῖς ἀνθρώποις τῶν φθεγγομένων; ἢ διότι πλείστας ἔχει διαφορὰς καὶ εἴδη.
τὰ δὲ ἄλλα ζῷα, ἢ οὐθὲν γράμμα, ἢ ὀλίγα διαλέγονται· τὸ δὲ ποικι-
λώτερον ἐν πλείστας ἔχον διαφοράς, ἀνάγκη ἐν πλείστῳ χρόνῳ ἀ-

γεγωνόσιν clamantib.

ἀγωνιᾶσθαι qd sit

ἀγωνία pudor qdā

Pudentiū calor partem superiorē petere solet. unde & erubescunt

συνείρειν τὸν λόγον qd sit hinc disce

συνείρειν λόγον

Calores · tepores q: corpora resoluūt atq: elaxant

αι f. διαγωνιζομένοις ex utraq: tralatione

∠ f. ταχυτέρα · uelocior uterq: interpres

☐ cf. ὅτι. cui lectioni magis uidetur accedere theodo. Ser) uetus interpres

Cur uisus nō penetret densa corpora uox autē penetret

νη'. προστελεῖσθαι. Διὰ τί ἡ μὲν ὄψις οὐ διέρχεται διὰ τῶν στερεῶν, ἡ δὲ φωνὴ διέρχεται; ἢ ὅτι τῆς μὲν ὄψεως μία φορὰ ἡ κατ' εὐθεῖαν. σημεῖον δέ, αἱ τοῦ ἡλίου ἀκτῖνες· καὶ ὅτι ἐξ ἐναντίας μόνον ὁρῶμεν. τῆς δὲ φωνῆς πολλαί· ἀκούομεν γὰρ πάντοθεν. ὅταν οὖν κωλυθῇ κατ' εὐθεῖαν ἐκπίπτειν, διὰ τὸ μὴ κατ' ἀλλήλους εἶναι τοὺς πόρους, ἀδυνατεῖ διορᾶν· ὁ δὲ ἀὴρ καὶ ἡ φωνή, ἅτε πανταχοῦ φερομένη, διὰ παντὸς διαπίπτει καὶ ἀκούεται. ἐν δὲ τοῖς ὑγροῖς, αἱ μὲν ὄψεις διορῶσιν, αἱ δὲ φωναί, οὐκ ἀκούονται ἢ μόλις, λεπτοτέρους ὄντας τοὺς τοῦ ὑγροῦ ἢ τῆς γῆς· ὅτι οἱ πόροι μικροὶ εἰσὶ κατ' ἀλλήλους· ὥστε οὐ κωλύεται ἡ ὄψις εὐθυωρεῖν. διὰ τοῦτο ἀλλὰ διὰ μὲν τῆς ὑέλου διορᾶται πυκνῆς οὔσης· διὰ δὲ τοῦ νάρθηκος ἀραιοῦ ὄντος, οὐ διορᾶται. ἐπὶ τῆς μέν, οἱ πόροι κατ' ἀλλήλοι· τοῦ δὲ παραλλάττοντες. οὐδὲν δ' ὄφελος εἶναι μεγάλους, ἐὰν μὴ κατ' εὐθεῖαν ὦσιν. ἡ δὲ φωνή, οὐκ ἀκούεται, ὅτι ἐλάττω τὰ διάκενα τὰ ἐν τῷ ὕδατι τοῦ ἀέρος· ὥστε οὐ δύναται δέχεσθαι, οὐδὲ μένειν τὴν φωνήν. ἀλλὰ μόλις ἢ μετὰ φωνῆς. ἡ γὰρ φωνή, ἀήρ τις ὤν· διάπαν τὸ μανώτερον, δεκτικώτερον, ἂν μὴ οἱ πόροι ὦσιν ἁρμόττοντες τῷ διιέντι· ὥστε τοῦ δὲ συνεκτικώτερον εἰς αὐτό, ἂν μὴ δεκτικοὶ ὦσιν οἱ πόροι τῶν σωμάτων. καίτοι τὸ μανόν, μαλακόν. ἔστι δυνάμενον εἰς αὐτὸ συνιζάνειν. ἀλλ' ἔνια κωλύεται διὰ τὴν μικρότητα τῶν πόρων· οἷον ἡ ὕελος. ταύτης γὰρ οὐ συνάγεται, μανωτέρας οὔσης τοῦ νάρθηκος. διὰ τὴν εἰρημένην αἰτίαν. ὁμοίως δὲ καὶ τὸ ὕδωρ, εἰ ἔτι ἄλλο τοιοῦτον. ὥστε ἐστὶ τὸ δὲ φανερόν, διότι τὸ μανὸν ἐστὶ μαλακόν, ἢ ταὐτὸν ὄντος, ἢ παραπλησίαν τὴν φύσιν, ἢ τὸ μανώτερον μᾶλλον συνάγεται εἰς αὑτό. ἡ γὰρ αὐτὴ αἰτία πάντων.

καταλλήλους

Cur in aqua cū sit subtilior terra nō audiuntur uoces aut uix. uisus autē uidet. pulchrum

καταλλήλους. densi continuati q. theodor)

Cur oculus p uitrū densissimū cū sit transpicit p ferulā rarā solutāq: non transpicit

Aqua aerē aut nō admittit aut uix

νθ'. Διὰ τί γίνεται ἐλάττων μὲν ἡ φωνὴ ἐξαιρουμένων, ὁμοία δὲ τὸν χαρακτῆρα; ἢ ὅτι ἐμέμικτο αὐτοῖς. τὸ δὲ μεμιγμένον, ἐστὶ μὲν ὅ ἐστι· τῇ δὲ ὄψει ἅμα πάντη ὁμοίως. οὐ πανταχόθεν ἐξαιρουμένων, συνέρχεται ὁμοίως· ὥστε ἐλαττοῦντι ἀνάγκη ἐστὶν ὅμοιον εἶναι.

ξ'. Διὰ τί ἰσχνόφωνοι γίνονται; ἢ τοῦτο διὰ θερμότητα προπετεῖς ἐροῦσιν, ὥστε προσπταίοντες ἐπίσχουσιν ὥσπερ οἱ ὀργιζόμενοι· ἐν γὰρ τούτοις πλῆρες γίνεται ἄσθματος γίνον-

∴ cf. ἢ. uetus interpres aut. Theo. autē hęc uerba ἀλλὰ μόλις ἢ μετὰ φωνῆς nō agnoscit neque uertit

☐ cf. τοῦ δ' ἑτέρου ἀλλάττ[οντ]ες. ex theod.

ται πολὺ μὲν οὖν τὸ πνεῦμα συμβαίνει διὰ τὴν ζέσιν τοῦ θερμοῦ ἀσθμαίνουσι, διὰ τὸ πολὺ εἶναι καὶ μὴ φθάνειν ὑπεξιόν. τῷ δὲ λίαν πνοῆς καιρῷ, ἢ μᾶλλον τούτου αἴτιον κατάψυξις, ἢ θερμότης τοῦ τόπου, ὧν φθέγγονται· ὥσπερ ἀποπληξία τοῦ μέρους τούτου. διὸ καὶ θερμαινόμενοι ὑπὸ οἴνου καὶ τῷ λέγειν συνεχῶς, ῥᾷον συνείρουσι τὸν λόγον.

ἀναπνοῆς

συνείρουσι τὸν λόγον

ξα'. Διὰ τί τοῦ χειμῶνος αἱ φωναὶ βαρύτεραι; ἢ ὅτι παχύτερος ὁ ἀήρ. παχυτέρου δὲ ὄντος, βραδυτέρα ἡ κίνησις· ὥστε ἡ φωνὴ βαρυτέρα. ἢ διότι διὰ τῶν στερεῶν βραδύτερον χωρεῖ ὁ ἀήρ. συμφράττεται δὲ τὸ περὶ τὸν φάρυγγα, ὑπό τε τοῦ ψύχους καὶ τοῦ

Hyeme uoces grauiores

ξβ'. ἐπιρρέοντος φλέγματος. Διὰ τί τὰ παιδία καὶ γυναῖκες καὶ οἱ εὐνοῦχοι καὶ οἱ γέροντες, φθέγγονται ὀξύ; ἢ ὅτι θᾶττον ἡ κίνησίς ἐστιν ἡ ὀξυτέρα. ἔστι δὲ τὸ αὐτὸ πλείονος δυσκινητότερον. ὥστε οἱ γ' ἀκμῇ, πλέω συνεπισπῶνται τὸν ἀέρα. οὕτως οὖν βραδύτερος ἰών, βραδυτέραν παρασκευάζει τὴν φωνήν. ἐν δὲ τοῖς παιδίοις καὶ εὐνούχοις, διὰ τὸ ἐλάττω ἔχειν, ἐναντίως. τρέμει δὲ τοὺς πρεσβύτας οὐ δυνάμενοι ἐγκρατεῖς· ὥσπερ τὸ ἀδυνατοῦντα τοῖς παιδίοις, ὅτε μακρὰ ξύλα λάβωσιν, ἀπ' ἄκρου, τὸ ἕτερον ἄκρον σείεται, διὰ τὸ μὴ κρατεῖν. τὸ αὐτὸ δὲ ὑποληπτέον καὶ ἐπὶ τῶν ἀγωνιώντων ἢ φοβουμένων ἐστιν εἰς ὧν, αἴτιον τοῦ τρόμου τῆς φωνῆς. τοῦ γὰρ ἔχοντος τὴν φωνὴν τοιαύτην, τῶν γὰρ τοιούτων παθῶν εἴσω πεπτωκότος τοῦ πλείστου, λοιπὸν ὀλίγον ὄν, οὐ δύναται κρατεῖν τῆς φωνῆς. διὸ καὶ σείεται καὶ ἐξέμ. διὸ καὶ οἱ τεχνικοὶ τῶν ᾀδόντων ὅτι ἀγωνιῶσι, μικρὸν διαλέγονται ἐξ ἀρχῆς, ἕως ἂν καταστῶσιν· μικρᾶς γὰρ οὔσης τῆς φωνῆς, ῥᾷον κρατοῦσιν.

Senes. pueros. mulieres. eunuchos acuti loq

Pulchra comparatio

ΑΡΙΣΤΟΤΕΛΟΥΣ· ΟΣΑ ΠΕΡΙ ΤΑ ΕΥΩΔΗ·

Διὰ τί τῶν θυμιαμάτων ἧττον αἰσθάνονται πλησίον ὄντες; πότερον ὅτι ἀκρατέστερα κεραθεῖσαι αἱ ἀπόρροιαι τῷ ἀέρι, ἡδίων, ὥσπερ ἡ σμύρνη τοῖς ἰατροῖς. ἢ καὶ τοὐναντίον εἴη ἄν, ὥστε ἀφαιρεῖσθαι τὸ πῦρ τὴν ὀσμήν, διὰ τὸ καίειν. ἡ γὰρ ὀσμή, θυμιωμένων. διὸ καὶ ἐπὶ τῶν αἰθαλέων, οὐκ ὄζει. ξηρότερον δὲ καθαρώτερον φαίνεται

Suffimenta omnia minus e propinquo sentiuntur.

ἀπόρροια delibatio

Myrrha medicorum suauior

☐ legendus conciliator

/ deest ἐγγὺς οὖσαι ex interprete ∴ f. οὕτω

β'. καὶ λεπτότατον τοῦτο. Διὰ τί αἱ ὀσμαὶ ἧττον εὐώδεις τῶν θυμιαμάτων καὶ τῶν ἀνθῶν, πότερον ὅτι συναπέρχεται τῇ ὀσμῇ καὶ τῆς μοίρας, ἃ προκαταφέρεται διὰ βάρος· ὥστε καθαρὰ πορρωτέρω γίνεται ἡ ὀσμή· ἢ οὔτε ἐγγύς ἐστιν ὅσον παρὰ τῆς ἀρχῆς, πλεῖστον γίνεται τὸ ῥέον, ὅτε λίαν πόρρω· τὸ μὲν γὰρ ἔστι τὸ πολύ· τὸ δὲ διασπᾶται· τὸ πρότερον γὰρ ἀληθές ἐστιν ἢ ψεῦδος· εἰ δὲ ἀληθές, δι' αἰτίαν εἴη τὸ συμβαῖνον. λέγεται γὰρ ὡς εὐώδη γίνεται τὰ δένδρα εἰς ἃ ἂν ἡ ἶρις κατασκήψῃ. ὅτι μὲν οὖν οὔτε πάντα, οὔτε ἀεί, δῆλον. πολλάκις γὰρ ἴρεις μὲν γίνονται, τὰ δὲ δένδρα οὐθὲν ἐπίδηλον φαίνεται. ὅταν τε γένηται τοῦτο, οὐκ ἐν πάσῃ γίνεται ὕλῃ· ἐπεὶ συμβαίνει γέ ποτε. διὸ καὶ λέγεται· τὸ δὲ αἴτιον κατὰ συμβεβηκὸς τῇ ἴρει δὴ ἀποδοτέον. ἄλλως τε καὶ εἰ μή ἐστί τις φύσις ἡ ἶρις, ἀλλὰ τῆς ὄψεως πάθος ἀνακλωμένης. γίνεται δὲ ὥσπερ ἐλέχθη, οὐχ ὅπως συνεχούσης τῆς ὕλης τὸ πάθος. οὔτε γὰρ ἐν τοῖς χλωροῖς δένδροις, οὔτε ἐν τοῖς αὔοις· ἀλλ' ἐν τῇ ἐμπεπρησμένῃ ὕλῃ φασὶν οἱ νομεῖς· μετὰ τὰ ἐπὶ τῇ ἴρει δὲ ὕδατα γίνεσθαι ἐπίδηλον τὴν εὐωδίαν· καὶ μάλιστα οἷ ἂν ἀσπάλαθος ᾖ, καὶ ῥάμνος· καὶ ὧν τὰ ἄνθη εὐώδη ἐστίν. αἴτιον δὲ τῆς εὐωδίας ἐστίν, ὅπερ καὶ ἐπὶ τῆς γῆς· διαθέρμου γὰρ ἤδη κεκαυμένης οὔσης, ὃ ἂν ἐκ φύσει τὸ πρῶτον εὐῶδες ὄζει· τὰ γὰρ πυρούμενα ἅπασι τὴν ὑγρότητα ἐχόντων ὀλίγην, εὐώδη γίνεται. πέττει γὰρ τὸ θερμὸν ταύτην. διὸ καὶ τῆς ὅλης γῆς τὰ πρὸς τὸν ἥλιον, εὐωδέστερα τῶν πρὸς ἄρκτον εἰσί. τούτων δὲ τὰ πρὸς ἕω, τῶν πρὸς μεσημβρίαν· ὅτι γεώδης μᾶλλον ὁ τόπος ὁ περὶ τὴν Συρίαν καὶ Ἀραβίαν ἐστίν· ἡ δὲ Λιβύη, ἀμμώδης καὶ ἄνικμος. δεῖ γὰρ μήτε πολλὴν εἶναι τὴν ἰκμάδα (ἄπεπτος γὰρ ἐστὶν ἡ πολλή) μήτε ἄνικμον. οὐ γὰρ γίνεται ἀτμίς. ὃ συμβαίνει καὶ περὶ τὴν νεόκαυστον ὕλην· τὸ γὰρ ὅλως τοιαύτην, ὥστε ἔχειν εὐωδίαν ἐν αὑτῇ. δηλοῖ δὲ τοῖς αἰσθήσεσιν· ἀφίησι γὰρ ἐν τούτοις τὴν ὀσμήν. δοκεῖ δὲ ἐν οἷς ἂν ἐνσκήψῃ ἡ ἶρις γίνεσθαι, ὅτι οὐδὲν ἄνευ ὕδατος, οἷόν τε γίνεσθαι. βρεχθεῖσα τε γὰρ ἡ ὕλη, καὶ ὑπὸ ἐνόντος θερμοῦ πεφθεῖσα τὸ ἐν αὐτῇ γινόμενον ἀτμίδα ἀφίησιν· ὅτι πολὺ τὸ ὕδωρ δεῖ εἶναι. ἐκκλύζει γὰρ τὸ πολὺ

λίαν

Arbores reddi odoratas in quas iris decubuerit an uerum sit

An arcus sit ulla natura an tantu affectus obtutus refracti

ὁπωσοῦν quomodocunq:

Aspalathi & Rhamni flores odorati

λίαν, καὶ σβεννύουσι τὴν θερμότητα τὴν ἐνυπάρχουσαν ἀπὸ τῆς πυρώσεως. τὰ δὲ κατὰ τὴν ἶριν ὕδατα, οὐ πολλὰ γίνεται. ἀλλὰ μετρίως ὡς ἐπὶ τὸ πολύ. καὶ ἐὰν πολλαὶ γίνωνται ἴρεις, οὐ πολὺ γίνεται. ἀλλὰ πολλάκις μέν, ὀλίγον δέ. διὸ εἰκότως τούτου γινομένου, οὐθὲν ἄλλο ὁρῶντες διάφορον, πλὴν τὴν ἶριν, ταύτῃ τὴν αἰτίαν προσέθεσαν τῆς εὐωδίας.

γ'. Διὰ τί τὰ ἄνθη καὶ τὰ θυμιώμενα, πόρρωθεν μᾶλλον ἥδιον ὄζει· ἐγγύθεν δὲ τὰ μὲν, ποωδέστερον· τὰ δὲ, καπνωδέστερον. ἢ ὅτι ἡ ὀσμή, θερμότης τίς ἐστι καὶ τὰ εὐώδη θερμά. τὸ δὲ θερμὸν κοῦφον· ὥστε διὰ μὲν τοῦ πορρωτέρω διιόντων, ἀμιγεστέρα γίνεται ἡ ὀσμή, τῶν συμπαρεπομένων ὀσμῶν ὑπὸ τῶν φύλλων, καὶ τοῦ καπνοῦ ὄντος ὑδατώδους ἀτμοῦ· πλησίον δὲ ὄντων τὰ μεμιγμένα αὐτοῖς συνόζει, ἐν οἷς ἐστί.

δ'. Διὰ τί πάντων μᾶλλον ὄζει κινούμενα. ἢ ὅτι ἀναπίμπλησι πλείω ἀέρα, ἢ ἡσυχάζοντα. διὸ ἀποπέμπεται οὖν ἡ ὀσμὴ θᾶττον οὕτως πρὸς τὴν αἴσθησιν ἡμῶν.

ε'. Διὰ τί τοῦ χειμῶνος ἧττον ὀσφραινόμεθα, καὶ ἐν τοῖς πάγεσιν ἥκιστα. ἢ ὅτι ὁ ἀὴρ ἀκινητότερός ἐστιν ἐν τῷ ψύχει. οὐκ οὖν ἀφικνεῖται ὁμοίως ἡ κίνησις ἡ ἀπὸ τοῦ σώματος τοῦ τὴν ὀσμὴν ἔχοντος, διὰ τὴν δυσκινησίαν τῆς ἀπορροῆς, καὶ τοῦ ἀέρος ἐν ᾧ ἐστιν.

ϛ'. Διὰ τί δριμύτερον ὄζει τῶν ἀρωμάτων ἐπὶ τέφρας θυμιωμένων, ἢ ἐπὶ τοῦ πυρός. καὶ μᾶλλον καὶ πλείω χρόνον, τὴν αὐτῶν ὀσμὴν ἔχει ἐπὶ τῆς τέφρας θυμιώμενα. ἢ ὅτι ἀπεπτοτέρα ἐστὶν ἡ ὀσμὴ ἐπὶ τῆς τέφρας· διὸ καὶ πλείω. τὸ δὲ πῦρ ταχὺ πέττον αὐτῶν τὴν δύναμιν, ἀλλοιοῖ τὴν ὀσμήν. ἡ γὰρ πέψις, ἀλλοίωσίς ἐστι τοῦ πεπτομένου.

ζ'. Διὰ τί ἥδιον ὄζει τῶν ῥόδων ὧν ὁ ὀμφαλὸς τραχύς ἐστιν, ἢ ὧν λεῖος. ἢ ὅτι μᾶλλον ὄζει ἡδύ, ὅσα τὴν φύσιν ἀπείληφε τὴν αὐτῶν. ἀκανθῶδες δὲ φύσει τὸ ῥόδον ἐστί· διὸ μᾶλλον ἔχοντα κατὰ φύσιν, ἥδιστα ὄζει.

η'. Διὰ τί αἱ ὀσμαὶ ἐγγύθεν ἧττον εὐώδεις, καὶ θυμιαμάτων καὶ ἀνθῶν. ἢ ὅτι πλησίον μὲν συναποφέρεται τὸ γεῶδες· ὥστε κεραννύμενον, ἀσθενεστέραν ποιεῖ τὴν δύναμιν. εἰς δὲ τὸ πόρρω, καταφέρεται ἡ ὀσμή. διὰ ταῦτα δὲ καὶ τριφθέντα τὰ ἄνθη, ἀπόλλυσι

Cur hyeme minus olfacim(us) & p(er) glacie & gelu minime

Rosas suauius olere quae umbilici asperiores · umbilicu(m) ille uocat aristoteles illa' ueluti spherula' que in Rosis basis uice optinet haec aute' aspera · i. spinulis quibusda' munita & inhorrescens praesertim in rosis albis · unde & rosae albae uehementiori odore flagrant

τὴν ὀσμήν. Πότερον αἱ ὀσμαὶ καπνός, ἢ ἀὴρ ἢ ἀτμίς; διαφέρει γάρ· εἰ τὸ μὲν ὑπὸ τοῦ πυρός, τὸ δὲ καὶ ἄνευ τούτου γίνεται. ἔτι πότερον ἀπὸ τῆς αἰσθήσεώς τι πρὸς ἐκεῖνα, ἢ ἀπ' ἐκείνων πρὸς τὴν αἴσθησιν ἀφικνεῖται, ἀεὶ κινοῦν τὸν πλησίον ἀέρα. καὶ εἰ ἀπ' ἐκείνων ἀπορρεῖ, ἔδει ἔλαττον γίνεσθαι· καίτοι τὰ εὐωδέστατα ὁρῶμεν μάλιστα διαμένοντα.

De odore qd sit & an a sensu aliqd in illud quod est odoratu defluat an ab illo in sensum

ι. Διὰ τί δριμύτερον ὄζει μᾶλλον τῶν ἀρωμάτων ἐπὶ τῆς τέφρας θυμιωμένων, ἢ ἐπὶ τοῦ πυρός; ἢ διότι ἀπεπτοτέρα ἡ ὀσμὴ ἐπὶ τῆς τέφρας· διὸ καὶ πλείων. τὸ λυπηρὸν καὶ τὸ γεῶδες συναναθυμιᾶται, καὶ γίνεται καπνός· τὸ δὲ πῦρ φθάνει ἐκκαῖον τὸ γεῶδες αὐτοῦ. ὥστε ἡ ὀσμὴ καθαρωτέρα καὶ εἰλικρινὴς ἀφικνεῖται ἄνευ τοῦ καπνοῦ. διὸ καὶ τριβόμενα, ἧττον εὐώδη τὰ ἄνθη· τὸ γὰρ γεῶδες [illegible]

Aromata cinere suffita acrius olent quam igne

ια κινεῖ, καὶ ἡ βραδεῖα θερμότης οὐ φθείρει. Διὰ τί τὰ εὐώδη οὐρητικὰ καὶ τὰ σπέρματα καὶ τὰ φυτά; ἢ ὅτι θερμὰ καὶ λεπτά· τὰ δὲ τοιαῦτα, οὐρητικά· ταχὺ γὰρ λεπτύνει ἡ ἐνοῦσα θερμότης. καὶ ἡ ὀσμὴ οὐ σωματώδης· ἐπεὶ καὶ τὰ μὴ εὐώδη, οἷον σκόροδα, διὰ τὴν θερμότητα, οὐρητικά. μᾶλλον μέντοι τηκτικά. θερμὰ δὲ τὰ εὐώδη σπέρματα. διότι ὅλως ἡ ὀσμὴ διὰ θερμότητα γίνεται. ἀλλὰ τὰ δυσώδη, ἄπεπτα. δεῖ δὲ μὴ μόνον θερμὰ εἶναι, ἀλλὰ καὶ εὔπεπτα. εἰ ἔσται οὐρητικά· ὅπως συγκατιόντα, λεπτύνῃ τὰ ὑγρά.

Semina & plante odorate urinam mouent

Odore a caliditate fieri & incocta fetida ~~odore~~ esse

ιβ' Διὰ τί οἱ κεκραμένοι τῶν οἴνων, ἧττον τῶν ἀκράτων ὄζουσιν; ἢ ὅτι ὁ κεκραμένος, ἀσθενέστερος τοῦ ἀκράτου ἐστί· τὸ δὲ ἀσθενέστερον, ὑπὸ πάντων ἐξίσταται τῶν ἰσχυροτέρων. εἶτα ὁ κεκραμένος, ἐστὶ μὲν πεπτότερος τοῦ ἀκράτου· ἀπεπτότερον δέ ἐστιν, ὑπάρξαι ὥστινι οὖν καὶ ἐκλαβεῖν τι τὸ μὴ ὑπάρχον. ὁ μὲν οὖν ἄκρατος, ὀσμώδης ἐστίν· ὁ δὲ κεκραμένος, ἄοσμος.

ἈΡΙΣΤΟΤΈΛΟΥΣ. ὍΣΑ ΠΕΡῚ ΔΥΣΏΔΗ.

Διὰ τί τὸ μὲν οὖρον ὅσῳ ἂν χρονίζηται ἐν τῷ σώματι, δυσωδέστερον γίνεται· ἡ δὲ κόπρος, ἧττον; ἢ ὅτι ἡ μὲν ξηραίνεται μᾶλλον χρονιζομένη. τὸ δὲ ξηρότερον, ἀσηπτότερον· τὸ δὲ οὖρον πα-

Vrinam quo diutius in corpore manserit fetidiorem reddi · Stercus autem e contrario

∴ ἐς αὐτῆς

χύνεται· πρόσφατον δέ τι ὂν ὁμοιότερον τῷ ἐξ ἀρχῆς ἐστὶ πόματι.

β'. Διὰ τί τὰ δυσώδη τοῖς ἐδηδοκόσιν οὐ δοκεῖ ὄζειν; ἢ διὰ τὸ συντετῆσθαι τὴν ὄσφρησιν τῷ στόματι κατὰ τὸν οὐρανόν, πλήρης ἡ αἴσθησις γίνεται ταχύ, καὶ τῆς ἔξω οὐκέθ' ὁμοίως αἰσθάνεται. τὸ γὰρ πρῶτον αἰσθάνονται πάντες. ὅταν δὲ ἅψωνται, οὐκέτι, ὥσπερ συμφυοῦς. καὶ ἡ ἔξωθεν ἡ ὁμοία, ἀφανίζεται ὑπὸ τῆς ἔσω.

Olfactum per unum ad os habemus per palatum

γ'. Διὰ τί θλιβόμενα τὰ ἄνθη δυσωδέστερα; ἢ διότι συμμίγνυται τῇ ὀσμῇ τὸ γεῶδες τὸ ἐν τῷ ἄνθει.

Flores compressos peius olere

δ'. Διὰ τί τῶν μὲν ζῴων οὐθὲν εὐῶδές ἐστιν, ἔξω τῆς παρδάλεως· αὕτη δὲ καὶ αὐτοῖς τοῖς θηρίοις· φασὶ γὰρ καὶ τὰ θηρία ἡδέως ὀσμᾶσθαι· φθειρόμενα δὲ, καὶ δυσώδη ἐστί· τῶν δὲ φυτῶν πολλάκις φθειρόμενα καὶ αὐαινόμενα, ἔτι μᾶλλον εὐώδη γίνεται; πότερον ὅτι τῆς δυσωδίας αἴτιον ἀπεψία τις περιττώματος· διὸ καὶ οἱ ἱδρῶτες ἐνίοις ἐνίοτε, τοιοῦτοι εἰσί· μάλιστα δὲ οἷς μὴ ἀεὶ τοιοῦτοι, ἐκ τῶν νόσων γίνονται. καὶ αἱ φῦσαι δὲ καὶ οἱ ἐρυγμοὶ οἱ τῶν ἀπέπτων, δυσώδεις εἰσί· τὸ αὐτὸ δὲ αἴτιον καὶ τὸ ἐν τῇ σαρκί, κατὰ τὸ ἀνάλογον. λέγω δὲ ἀνάλογον, τὸ ἀντὶ σαρκὸς τοῖς ἀγγείοις ἐν πᾶσι τοῖς ζῴοις. ἔστι γὰρ καὶ ἐνταῦθα περίττωμα ἐν οἷς ἄπεπτον. τοῦτο τοῖς ζῴοις τὸ αἴτιον τῆς δυσωδίας ἐστὶ καὶ φθειρομένων, σηπόμενον. διὸ καὶ τὰ πίονα καὶ ὀστᾶ καὶ τρίχες οὐ δυσώδη ἐστίν· ὅτι τὰ μὲν πέπτεται, τὰ δὲ, οὐκ ἔχει ὑγρότητας. τοῖς δὲ φυτοῖς, οὐκ ἔνι περίττωμα. ἢ ἔστι μὲν τοιοῦτον καὶ τούτοις. ἀλλ' ὅτι θερμὰ καὶ ξηρὰ τὴν φύσιν ἐστὶ τὰ φυτά· ὥστε εὐπεπτοτέρα ἡ ἰκμὰς καὶ οὐ πηλώδης ἐστὶν αὐτῶν. δηλοῖ δὲ καὶ τῆς γῆς ἡ ἐν τοῖς θερμοῖς εὐώδης οὖσα, Συρία καὶ Ἀρραβία. καὶ τὰ εὐώδη τὰ ἐκεῖθεν, ὅτι ξηρὰ καὶ θερμά ἐστι. τὰ δὲ τοιαῦτα ἄσηπτα. τὰ δὲ ζῷα ὑγρὰ τοιαῦτά ἐστι καὶ θερμά. ὥστε αἱ περιττώσεις ἄπεπτοι καὶ δυσώδεις αὐτοῖς εἰσί· καὶ διαφυσήσεις ὁμοίως. καὶ διαφθειρομένων, σήπεται ἡ ὑγρότης. τῶν δὲ, οὐ γὰρ ἔχουσι.

Animal nullum praeter pardalim iucunde olere & id reliquis feris non hominibus

fetidi odoris causa cruditas excrementi

Sudores cur nonnullis nonnumquam fetidi

φῦσαι uentris crepitus

ἐρυγμοί ructus

Pingue · Pilos · ossa cur fedum odorem non reddant

An stirpes habeant excrementum

διαφυσήσεις uentris crepitus

ε'. Διὰ τί τὰ δυσώδη θερμαινόμενα, μᾶλλον δυσώδη ἐστὶν ἢ ἐψυγμένα; ἢ ὅτι ἐστὶν ἡ ὀσμή, ἀτμός καὶ ἀπορροή τις. ὅτι οὖν ἀτμὸς ὑπὸ θερμοῦ γίνεται, καὶ ἡ ἀπορροή· κίνησις γάρ τίς ἐστι.

fetida si recalescant fetidiora reddi · contra si frigeant

Vapor a caliditate fit · & odor ipse uapor quidam est & defluxio

τὸ δὲ θερμὸν κινητικόν, τὸ δὲ ψυχρὸν, τοὐναντίον στατικὸν καὶ συσταλτικόν. φορὰν δὲ κάτω. τὸ δὲ θερμὸν καὶ αἱ ὀσμαὶ πᾶσαι, ἀνωφερεῖς, διὰ τὸ ἀναγκαῖον εἶναι, καὶ τὸ αἰσθητήριον αὐτῶν, ἄνω εἶναι μὴ κάτω. πρὸς γὰρ ἐγκέφαλον περαίνουσα ἡ ὀσμή, αἴσθησιν ποιεῖ.

Ad cerebrum penetrans odor sensum facit

ε'. Διὰ τί ἐάν τις σκόροδα φάγῃ, τὸ οὖρον ὄζει, ἄλλων δὲ ἐχόντων ἰσχυρὰν ὀσμήν, οὐκ ὄζει ἐδεσθέντων. πότερον ὥσπερ τινὲς τῶν Ἡρακλειτιζόντων φασίν, ὅτι ἀναθυμιᾶται, ὥσπερ ἐν τῷ ὅλῳ καὶ ἐν τῷ σώματι, εἶτα πάλιν ψυχθεῖσα συνίσταται. ἐκεῖ μὲν ὑγρόν, ἐνταῦθα δὲ οὖρον, ἡ ἐκ τῆς τροφῆς ἀναθυμίασις. ὄζουσα γίνεται αὐτὴ συμμιγνυμένη, ποιεῖ τὴν ὀσμήν. αὕτη γάρ ἐστιν ὅταν μεταβάλλῃ. ἔδει καὶ τὰ ἄλλα τοῦτο ποιεῖν, ὅσα ἰσχυρὰς ὀσμὰς ἔχει. νῦν δὲ οὐ ποιεῖ. ἔτι συγκειμένη ἐκ τῆς ἀτμίδος οὐκ εἰς τὸ ἀέρ χεῖον ἔρχεται, οἷον οἶνος ὄζοιντο· ἀλλ᾽ εἰς ὕδωρ· ὥστε καὶ τοῦτο ψεῦδος. ἀλλ᾽ ὅτι μόνον φυσητικὸν τῆς κάτω κοιλίας τῶν ὀσμὴν ἐχόντων ἰσχυρὰν οὐρητικὴν ἅμα. τὰ δὲ ἄλλα, ἄνω ποιεῖ. οἷον ἡ ῥάφανος. καὶ τὰ πνεύματα, τὰ μὲν οὐρητικά. κάτω δὲ τρία ὑπάρχει ταῦτα. καὶ γὰρ οὐρητικὸν καὶ πνευματικὸν ποιεῖ καὶ ῥεῖ κάτω. ὁ δὲ ἀνὴρ ὁ ἐπιεικὴς, τὰ αἰδοῖα ἀπὸ τῆς κύστεως τῶν τοιούτων ἀπολαύει, διὰ τὴν [illegible]ρίασιν. καὶ ὅτι πνευματικόν ἐστι. δηλοῖ δὲ καὶ ἡ συντομία τῶν αἰδοίων. δῆλον οὖν ὅτι ἀφικνεῖται τὸ πλεῖστον ἅμα εἰς τὴν κύστιν καὶ αὐτοῦ μάλιστα τῶν τοιούτων ἅμα τῷ πνεύματι ὁμιγνύμενον, ποιεῖ τοῦ ὑγροῦ τὴν ὀσμήν.

Heracleti Zantiui

Heraclit[i]

Vrina eorum qui allia comederunt allium redolere

Raphanidis vis .i. radicule

ϛ'. Διὰ τί τὰ στόματα μηδὲν ἐδηδοκότων ἀλλ᾽ ἀνηστευσάντων, ὄζει μᾶλλον, ὃ καλεῖται νηστείας ὄζειν. φασὶ μὲν γὰρ οὐκέτι, ὅτε ἔδει μᾶλλον. ἢ ὅτι κινουμένης τῆς κοιλίας, θερμότερος ὁ ἀὴρ γινόμενος διὰ τὴν ἀκινησίαν, σήπει τὸ πνεῦμα, καὶ τὰ φλεγματώδη πλείστω μᾶλλον. ὅτι δὲ θερμότερος γίνεται, σημεῖον ὅτι καὶ διψῶσι οἱ νηστεύοντες μᾶλλον. φαγόντων δὲ διὰ τὸ ἐλάττω μὲν εἶναι ἡ ὀσμὴ τῶν σιτίων ποιεῖται. κρατεῖ γὰρ τῆς θερμότητος, ἡ τῶν σιτίων θερμότης. ὥστε μηδὲν πάσχειν.

Cur ieiunorum ora fetet

Calidiorem ieiunium esse docet sitis quoniam concitat ieiunium

ζ'. Διὰ τί ἡ μασχάλη δυσωδέστατον τῶν τόπων. πότερον ὅτι ἀπνευστότατός ἐστιν. ἔστι γὰρ ἡ δυσωδία, ἐν τοῖς τοιούτοις μάλιστα. διὰ τὸ σῆψιν γίνεσθαι

Cur ala locus est omnium fetidissimus

.·. ῥ. ἐάφανις ex theodoro qui interpretatur radiculam

.·. ῥ. ... vetus interpres divellitur. theo. flexus ÷

γίνεσθαι ὑπὸ τῆς ἡσυχίας τῆς ποιότητος. ἢ ὅτι ἥκιστα κινεῖται ἀγύμναστος.

θ'. Διὰ τί οἱ τραγίζοντες, ὅταν ἀλείφωνται μύρῳ, δυσωδέστεροι γίνονται. ἢ διότι τοῦτο ἐπὶ πολλῶν γίνεται. οἷον ὄξυ γλυκὺ συμμιχθὲν τῷ ὄξει, γλυκύτερον ἐγένετο. ἱδρώσαντες εἶτα πάντες δυσωδέστεροι εἰσί. τὸ γὰρ μύρον, θερμότητος ἐστίν. ἱδρῶτας οὖν παρασκευάζει.

τράγου ὄζοντες .i. hircum olentes grauius olere si se unguento perfuderint

Vnguenta calida esse

ι'. Διὰ τί τῶν ἐγκύρτων καὶ κυφοτέρων δυσοσμοτέρα καὶ βαρυτέρα, ἡ ὀσμὴ τοῦ πνεύματος. ἢ διότι συγκέκλεισται ὁ τόπος ὁ περὶ τὸν πνεύμονα, καὶ ἀνέσπασται ἐκ τῆς εὐθυωρίας. ὥστε οὐκ εὔπνους. ἀλλὰ σήπεται ἡ ἰκμάς. καὶ τὸ πνεῦμα εἴσω μᾶλλον ἐγκατακλειόμενον.

Incuruorum gibborumque hominum halitum grauiter olere

ια'. Διὰ τί πολλὰ τῶν μύρων συνεξιδρῶσαι δυσώδη. ἔνια δὲ ἡδίω ἢ χείρω. ἢ ὅσα μὲν τῇ κινήσει ἢ τρίψει μεταβάλλοντα χείρω, τοιαῦτα. ὅσα δὲ μή, τοὐναντίον. ἔστι δ᾽ ἔνια τοιαῦτα. ὥσπερ καὶ τῶν ἀκανθῶν, ὄζων γίνονται αἰῶδαι. τὰ δὲ τριβόμενα καὶ θερμαινόμενα ἢ ξηραινόμενα, φαῦλα. οἷον τὰ λευκόϊα. τὰ δὲ ὅμοια, οἷον τὰ ῥόδα. καὶ τῶν μύρων δὲ ὅσα ἐκ τῶν τοιούτων ἐστὶ μεταβάλλει. τὰ δὲ οὔ. διὸ τὸ ῥόδινον ἥκιστα. καὶ δυσώδη φαίνεται μᾶλλον, ὅσων οἱ ἱδρῶτες δυσώδεις. καὶ διὰ τὸ μίγνυσθαι τοῖς ἐναντίοις. ὥσπερ τὸ μέλι μετὰ τοῦ ἁλός, οὐ μᾶλλον γλυκὺ ἀλλ᾽ ἧττον.

Viole Albe

Rose

Rosaceum unguentum

Mel si sali admisceat non magis sed minus dulce sentimus

ιβ'. Διὰ τί πάντα μᾶλλον ὄζει κινούμενα. ἢ διότι ἀναπίμπλησι τὸν ἀέρα. διαπέμπεται γὰρ πλείων ἡ ὀσμὴ πρὸς τὴν αἴσθησιν. :~

Omnia cum mouentur plenius olent

ἈΡΙΣΤΟΤΕΛΟΥΣ ΦΥΣΙΚᾺ ΠΡΟΒΛΉΜΑΤΑ ὍΣΑ ΠΕΡῚ ΚΡΆΣΕΩΣ·

α'. Διὰ τί θηριώδεις τὰ ἤθη καὶ τὰς ὄψεις, οἱ ἐν ταῖς ὑπερβολαῖς ὄντες, ἢ ψύχους ἢ καύματος. ἢ διὰ τὸ αὐτό. ἡ γὰρ ἀρίστη κρᾶσις, καὶ τῇ διανοίᾳ συμφέρει. αἱ δὲ ὑπερβολαὶ, ἐξιστῶσι καὶ ὥσπερ τὸ σῶμα διαστρέφουσιν, οὕτω καὶ τὴν τῆς διανοίας κρᾶσιν.

β'. Διὰ τί ἐμφερόντων ὅσοι ἐκαθέσθησαν ἐν τῷ ψύχει, πολλὰ ἔτι γίνεται ἄκοπα.

Efferatis moribus & aspectu esse qui in nimio aestu aut frigore degunt

Animi habitum corporis habitum sequi

In ponto frigori expositu frumentum diutius durare

ἢ ὅτι θλίβεται καὶ μάζεται τὸ ἀλλότριον ὑγρὸν μετὰ τοῦ θερμοῦ, ὥσπερ ἐν ταῖς σταφυλαῖς· ἐνίας μὲν γάρ ἐστιν ὑπὸ τοῦ ψυχροῦ· ἐνίας δὲ ἅμα τῷ θερμῷ.

γ'. Διὰ τί ἐν τῇ ψυχροτέρᾳ χώρᾳ οἱ καῦσοι μᾶλλον γίνονται; ἢ διότι ἀντιπεριίστησι τὸ ψύχος εἴσω τὴν θερμότητα. ἐν δὲ τῷ θερμῷ τοὐναντίον συμβαίνει. τὰ εἴσω ψυχρότερα. ὁ δὲ καῦσος πυρετὸς τῶν ἔσω κατεψυγμένων, τῇ ἔσω θερμότητι ὑπερβάλλει.

ἀντιπερίστασις ergo Antiperistasis

In frigida regioe febrium ardores magis fieri

δ'. Διὰ τί οἱ Αἰθίοπες καὶ οἱ Αἰγύπτιοι βλαισοί εἰσιν; ἢ διότι ὑπὸ θερμοῦ, ὥσπερ καὶ τὰ ξύλα διαστρέφεται ξηραινόμενα, οὕτω καὶ τὰ τῶν ζῴων σώματα. δηλοῦσι δὲ καὶ αἱ τρίχες· οὐλοτέρας γὰρ ἔχουσιν. ἡ δὲ οὐλότης ἐστίν, ὥσπερ βλαισότης τῶν τριχῶν.

Aethiopes & aegyptios blesos pedibus esse

ε'. Διὰ τί ἐν τοῖς νοτίοις μᾶλλον θηλυτοκοῦσιν αἱ ὀχεῖαι; ἢ ὅτι τὸ πλεῖον ὑγρὸν, βραδύτερον παχύνεται. ἐν δὲ τοῖς νοτίοις διὰ τὴν ὑγρότητα τῆς κράσεως, ὑγρότερον τὸ σπέρμα γίνεται.

ὀχεῖαι initus

ς'. Διὰ τί ἐν τοῖς ἑλώδεσι, τὰ μὲν ἐν τῇ κεφαλῇ ἕλκη, ταχὺ ὑγιάζεται· τὰ δὲ ἐν ταῖς κνήμαις μόλις; ἢ ὅτι βαρεῖα ἡ ὑγρότης διὰ τὸ ἑλώδης εἶναι. τὰ δὲ βαρέα, εἰς τὸ κάτω ὑποχωρεῖ. τὰ μὲν οὖν ἄνω, εὔπεπτα, διὰ τὸ ὑποκεχωρηκέναι κάτω. τὰ δὲ κάτω, πολλῆς γέμει τῆς περιττώσεως καὶ δυσσήπτου.

Palustribus locis capitis ulcera sanescere facile tibiarum autem uix

ζ'. Διὰ τί οἱ μὲν ἐν τοῖς εὐπνόοις τόποις βραδὺ γηράσκουσιν, οἱ δὲ ἐν τοῖς κοίλοις καὶ ἑλώδεσι, ταχύ; ἢ ὅτι τὸ γῆρας σηπεδών τίς ἐστι. σήπεται δὲ τὸ ἠρεμοῦν. τὸ δὲ ἐν κινήσει ὄν, ἢ ὅλως ἄσηπτον, ἢ ἧττον τοῦτο πάσχει. οἷον τὸ ὕδωρ. ἐν μὲν τοῖς ὑψηλοῖς διὰ τὴν εὔπνοιαν ὁ ἀήρ, ἐν κινήσει ἐστίν. ἐν δὲ τοῖς κοίλοις, μένει. ἔτι δὲ ἐκεῖ μὲν διὰ τὴν κίνησιν ἀεὶ καθαρὸς ὁ ἀήρ, καὶ ἕτερος γίνεται. ἐν δὲ τοῖς ἑλώδεσι μένει.

Qui loca uento exposita colunt tardius senescere qui autem caua & palustria citius

η'. Διὰ τί οἱ μὲν ἐν τοῖς θερμοῖς τόποις δειλοί εἰσιν, ἐν δὲ τοῖς ψυχροῖς ἀνδρεῖοι; ἢ ὅτι ἐναντίως τοῖς τόποις καὶ ταῖς ὥραις ἡ φύσις ἔχει. διὰ τὸ ὁμοίως ἔχοντας ἀνάγκη διακαίεσθαι ταχύ. ἀνδρεῖοι δέ εἰσιν, οἱ τὴν φύσιν θερμοί. δειλοὶ δὲ οἱ κατεψυγμένοι. συμβαίνει δὲ τοὺς μὲν ἐν τοῖς θερμοῖς ὄντας, κατεψύχθαι. τοὺς δὲ ἐν τοῖς ψυχροῖς, ἐκθερμαίνεσθαι τὴν φύσιν. μεγάλοι δὲ ἀμφότεροι εἰσίν. οἱ μὲν ἐν τοῖς ψυχροῖς, διὰ τὴν ἐν αὐτοῖς σύμφυτον θερμότητα. ἐν δὲ τοῖς θερμοῖς, διὰ τὴν ἐν τῷ τόπῳ. ἐν γὰρ τοῖς θερμοῖς καὶ ὑπὸ τοῦ θερμοῦ αὐξάνεται. τὸ δὲ ψύχος πιλητικόν ἐστιν.

Timidos esse q in calidis locis habitant · fortes q in frigidis

Et frigidis & calidis locis homines proceri nascuntur

πιλητικὸν condensatiuum

ἀπ

ἀπ' ὄντων μέν, ἐν αὐτοῖς ἐχόντων τὴν ἀρχὴν τῆς αὐξήσεως σφοδράν, τῶν δὲ οὐ κωλυομένων ὑπὸ τῆς ἔξωθεν ψυχρότητος, εἰκότως ἐπὶ πολὺ τὴν αὔξησιν ἐπιδέχονται. οἱ δὲ περὶ ἡμᾶς, ἧττον, διὰ τὸ ἐλάττω τε ἔχειν τὴν ἀρχὴν ἐν αὐτοῖς, καὶ διὰ τὸ τοὺς ἐν τῷ ψυχρῷ συμπιλεῖσθαι.

θ'. Διὰ τί μακρόβιοι μᾶλλόν εἰσιν, οἱ ἐν τοῖς θερμοῖς τόποις οἰκοῦντες; ἢ διὰ τὸ ξηροτέραν ἔχειν τὴν φύσιν. τὸ δὲ ξηρότερον, ἀσαπέστερον εἶναι καὶ πολυχρονιώτερον. τὸν δὲ θάνατον, οἷον σῆψίν τινα εἶναι. ἢ διότι ὁ μὲν θάνατός ἐστι ψύξις τοῦ ἐν τῷ θερμοῦ. καταψύχεται δὲ πάνυ ὑπὸ τοῦ περιέχοντος καὶ ψυχροτέρου. ἐστὶ δὲ ὁ περιέχων ἀὴρ ἐν μὲν τοῖς ἀλεεινοῖς τόποις, θερμός. ἐν δὲ τοῖς ψυχροῖς, ψυχρός. ὥστε θᾶττον καὶ μᾶλλον φθείρει τὸ ἐν αὐτοῖς θερμόν.

Longioris uitae sunt q in locis calidis degunt

ξηρότερ(ον) ἀσαπέστερον καὶ πολυχρονιώτερον

ι'. Διὰ τί οἱ ἐν τοῖς θερμοῖς τόποις μακροβιώτεροι; ἢ ὅτι μᾶλλον τὸ θερμὸν καὶ ὑγρὸν σώζουσιν. ὁ δὲ θάνατος, ἡ τούτων φθορά.

ια'. Διὰ τί ἐν τοῖς ἑλώδεσι τόποις ὑπνωδέστεροι γινόμεθα; ἢ ὅτι κατεψυγμένοι μᾶλλον ἐν αὐτοῖς ἐσμέν. ἡ δὲ κατάψυξις, ἡσυχία τις οὖσα, παρασκευάζει ὕπνον. ὁ δὲ ὕπνος, ἐν τῷ ἡσυχάζειν παραγίνεται.

In locis palustribus somnolentiores homines esse

ιβ'. Διὰ τί οἱ ἐν τοῖς πλοίοις εὔχροοι, τῶν ὑδαρέσι διαιτώμενοι, μᾶλλον τῶν ἐν τοῖς ἕλεσι; ἢ ὥρα ἂν τὸ μὲν πνεῦμα αἴτιον. ὠχροὺς δὲ τὸ ὕδωρ ποιεῖ, ὅταν σήπεται. ὁ δὲ ταχὺ διὰ κίνησιν. διὸ ἐν τοῖς ἑλώδεσιν ὕπωχροι.

Qui in nauibus uitam agunt coloratiores esse

ιγ'. Διὰ τί ἐν τοῖς χειμερινοῖς χωρίοις πνίγη σφοδρὰ γίνεται πολλά, καὶ μᾶλλον ἢ ἐν τοῖς ἀλεεινοῖς, πρότερον διὰ τὴν ὑγρότητα τοῦ ἀέρος. ἀπὸ γὰρ τῆς αὐτῆς θερμότητος, ὕδωρ θερμότερον γίνεται τοῦ ἀέρος. ὥστε καὶ ὁ ἀὴρ ὑγρότερος τοῦ θερμοῦ. ἢ οὐδέ ἐστι ξηρότερος[⌑] ὁ ἀὴρ ἐν τοῖς τοιούτοις. ἀλλὰ φαίνεται παρὰ τὸ ἐναντίον. ὥσπερ ὁ ἐκ νεφέλης ἥλιος. παρὰ τὸ ἐκ τῆς σκιᾶς θερμαίνεσθαι.

Locis hybernis aestus uehementiores quam calidis

Sol cum e nube exit calidior esse uidetur ob contactum umbrae

ιδ'. Διὰ τί οἱ πρὸς μεσημβρίαν οἰκοῦντες μᾶλλον εἰσὶ μελανόφθαλμοι; ἢ γλαυκὰ μέν ἐστι τὰ ὄμματα τοῦ δι' ὑπερβολὴν τοῦ ἐν τοῖς θερμοῦ. μέλανα δὲ διὰ τὴν τούτου ἀπουσίαν. ὥσπερ καὶ Ἐμπεδοκλῆς φησί. καθάπερ οὖν τῶν πρὸς ἄρκτον οἰκούντων, γλαυκὰ ὄμματά ἐστι, τῷ τὸ ἐντὸς θερμὸν κωλύεσθαι ἐκπίπτειν διὰ τὸ ἐκτὸς ψυχρόν, οὕτω τῶν πρὸς μεσημβρί-

Qui meridiana loca incolunt nigris esse oculis

Empedocles

⌑ rf. θερμότερος · legit theodor(us) ·i· calidior - sec(us) uetus interpres

ἀν οἰκούντων, τὸ μὲν ὑγρὸν διὰ τὸ περιέχον θερμὸν οὐκ ἐκπίπτει· τὸ δὲ λοιπὸν μὲν ὑγρὸν, μέλαν ποιεῖ· τῇ γὰρ τοῦ φωτὸς ἀπουσίᾳ, τὸ λοιπὸν μόνον ἐστὶ σκοτῶδες. ἢ τοῖς τοῦ λοιποῦ σώματος χρώμασιν ὁμοιοῦται τὸ ἐν τῷ ὀφθαλμῷ χρῶμα· διὸ τῶν πρὸς ἄρκτον λευκῶν ὄντων, γλαυκὰ τὰ ὄμματα· τοῦ γὰρ λευκοῦ χροῦ τὸ ἐγγὺς τὸ χρῶμα· καὶ τῶν πρὸς μεσημβρίαν μελάνων ὄντων, μέλανα ἐστὶ τὰ

ιε. ὄμματα. Διὰ τί οἱ ἐν τοῖς θερμοῖς τόποις σοφώτεροί εἰσιν ἢ οἱ ἐν τοῖς ψυχροῖς· πότερον διὰ τὸ αὐτὸ, δι' ὅπερ καὶ οἱ γέροντες τῶν νέων. οἱ μὲν γὰρ, διὰ τὴν ψυχρότητα τοῦ τόπου ἐναντιουμένης τῆς φύσεως αὐτῶν, θερμότεροί εἰσι πολύ· ὥστε λίαν μεθύουσιν ἐοίκασι, καὶ οὐκ εἰσὶ ζητητικοί· ἀλλ' ἀνδρεῖοι καὶ εὐέλπιδες· οἱ δὲ ἐν τοῖς ἀλεεινοῖς, νήφουσι διὰ τὸ κατεψῦχθαι· πανταχοῦ δ' οἱ φοβούμενοι τῶν θαρρούντων μᾶλλον ἐπιχειροῦσι ζητεῖν· ὥστε καὶ εὑρίσκουσι μᾶλλον. ἢ διὰ τὸ πολυχρονιώτερον τὸ γένος εἶναι τοῦτο. τοὺς δ' ὑπὸ τοῦ κατακλυσμοῦ ἀπολέσθαι· ὥστε εἶναι καθάπερ νέους πρὸς γέροντας τοὺς ἐν τοῖς ψυχροῖς τόποις πρὸς τοὺς ἐν τοῖς θερμοῖς οἰ-

ις. κοῦντας. Διὰ τί ἐν μὲν τοῖς θερμοῖς τόποις, δειλοί εἰσιν· οἱ δὲ ἐν τοῖς ψυχροῖς ἀνδρεῖοι. ἢ ὅτι ἐναντίως τοῖς τόποις καὶ ταῖς ὥραις ἡ φύσις ἔχει· διὰ τὸ ὁμοίως ἐχόντων διακναίεσθαι ἂν ταχύ. ἀνδρεῖοι δὲ εἰσὶν, οἱ τὴν φύσιν θερμοί· δειλοὶ δὲ οἱ κατεψυγμένοι· συμβαίνει δὲ τοὺς μὲν ἐν τοῖς θερμοῖς ὄντας κατεψύχθαι· ἀραιουμένων τῶν σωμάτων τὸ θερμὸν αὐτῶν, ἔξω διεκπίπτειν. τῶν δὲ ἐν τῷ ψυχρῷ ἐκτεθερμάνθαι τὴν φύσιν· διὰ τὸ ἐκ τοῦ ψύχους πυκνοῦσθαι τὴν σάρκα· πυκνουμένης δὲ, εἴσω συνελαύνεσθαι τὸ θερμόν.

Sapientiores ee q regiones calidas incolunt

Antiquũ genus esse hominũ q meridianam regionẽ incolunt ceteros .n. diluvio periisse · Notandũ est h°

Frigida loca habitantes nõ timidos esse sed fortes ~~ferẽ~~ calida

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΟΣΑ μαθηματικῆς μετέχει θεωρίας

α. Διὰ τί διάμετρος καλεῖται μόνη τῶν δίχα διαιρουσῶν τὰ εὐθύγραμμα, ἡ ἐκ γωνίας εἰς γωνίαν ἀχθεῖσα γραμμή. ἢ ὅτι διάμετρος δίχα διαιρεῖ, καθάπερ τοὔνομα ὑποσημαίνει, οὐ φθείρουσα τὸ μεριζόμενον. ἡ μὲν οὖν κατὰ τὰς συνθέσεις διαιροῦσα· λέγω δὲ τὰς γωνίας διάμετρος ἔσται· οὐ γὰρ φθείρει, ἀλλὰ διαιρεῖ καθάπερ οἱ τὰ στρατιωτικὰ σκεύη διαιροῦντες· ἡ δὲ κατὰ τὰς γραμμὰς συνθέτως τέμνουσα, φθείρει· σύγκειται γὰρ τὸ εὐθύγραμμον κατὰ τὰς γωνίας.

β. Διὰ τί διάμετρος καλεῖται. ἢ διότι δίχα μόνον διαιρεῖ· ὥσπερ οὖν εἴ τις εἴποι διαμετρός ἐστιν. ἔτι διότι μόνη τῶν δίχα τοῦτο καλεῖται· ἢ ὅτι ἡ κατὰ μέλη ἢ κέκαμπται μόνη διαιρεῖ· αἱ δὲ ἄλλαι κατὰ πλευράς.

γ. Διὰ τί πάντες ἄνθρωποι καὶ βάρβαροι καὶ Ἕλληνες, εἰς τὰ δέκα καταριθμοῦσι, καὶ οὐκ εἰς ἄλλον ἀριθμόν· οἷον β. γ. δ. ε. ὥσπερ ἕνδεκα δώδεκα. οὐδὲ ἐν ἐξωτέρω που σάμενοι τῶν δέκα· εἶτα ἐκεῖθεν ἐπαναδιπλοῦσιν. ἔστι γὰρ ἕκαστος τῶν ἀριθμῶν, ὁ ἔμπροσθεν καὶ ἓν ἢ δύο· καὶ οὕτως ἄλλος τις. ἀριθμοῦσι δ' ὅμως ὁρίσαντες ἄχρι τῶν δέκα. οὐ γὰρ δὴ ἀπὸ τύχης γε αὐτὸ ποιοῦντες φαίνονται, καὶ ἀεί. τὸ δὲ ἀεὶ καὶ ἐπὶ πάντων, οὐκ ἀπὸ τύχης· ἀλλὰ φυσικόν. πότερον ὅτι τὰ δέκα τέλειος ἀριθμός. ἔχων γὰρ πάντα τὰ τοῦ ἀριθμοῦ εἴδη, ἄρτιον· περιττόν· τετράγωνον· κύβον· μῆκος· ἐπίπεδον· πρῶτον· σύνθετον. ἢ ὅτι ἀρχὴ ἡ δεκάς. ἓν γὰρ καὶ δύο καὶ τρία καὶ τέτταρα, γίνεται δεκάς. ἢ ὅτι τὰ φερόμενα σώματα ἐννέα. ἢ ὅτι ἐν δέκα ἀναλογίαις, τέτταρες κυβικοὶ ἀριθμοὶ ἀποτελοῦνται, ἐξ ὧν φασιν ἀριθμῶν οἱ Πυθαγόρειοι τὸ πᾶν συνεστάναι. ἢ ὅτι πάντες ὑπῆρξαν ἄνθρωποι ἔχοντες δέκα δακτύλους. οἷον οὖν ψήφους ἔχοντες τοῦ οἰκείου ἀριθμοῦ, τούτῳ τῷ πλήθει καὶ τἆλλα ἀριθμοῦσι. μόνοι δὲ ἀριθμοῦσι Θρᾳκῶν γένος τι εἰς τέτταρα· διὰ τὸ ὥσπερ τὰ παιδία μὴ δύνασθαι μνημονεύειν ἐπὶ πολύ· μηδὲ χρῆσιν μηδενὸς εἶναι πολλοῦ αὐτοῖς. ὅτι ἡ γῆ κέντρον· ἀεὶ γὰρ ὅμοια τὰ φαινόμενα ἡμισφαίρια. δοκεῖ γὰρ τοῦτο εἶναι, ἐὰν μὴ ἀπὸ τοῦ μέσου τις θεωρῇ· αἰσθητ

Diametros unde sic dicta

Vasa militaria p medium partita

Diametros unde sic vocata

Cur numerant omnes usq: ad denariũ numerum procedentes nõ ultra. & ab eo repetũt preteritos numeros

Denarius numerus pfect9

κύβον .i. cubũ. theodor9 qdrantale uertit

ἐπίπεδον planũ

Quędã thracũ gens ad qttuor numerandi seriẽ tantũ terminat. puerorũ .n. modo amplius meminisse nõ potest neq: usũ habere rerũ multarũ.

μὲν ξηροτέρων· ὅτι δὲ περὶ τὰ πέζια· ὅτι δὲ ἀλλοῖα ἐδόκει ἡ ἐπὶ μέσον ὕδωρ, εἰ ἀπὸ ψύχους ἡμᾶς θερμῶν· ὥσπερ γὰρ σφαιροειδοῦς ὄντος τῆς ταυτὸ κέντρον τούτου καὶ τῆς γῆς ἐστιν· ἡμεῖς δὲ ἐπάνω τῆς γῆς οἰκοῦμεν· ὥστε οὐκ ἀπὸ τούτου, ἀλλὰ τὸ ἥμισυ τῆς διαμέτρου ἀφεστῶσιν ἡμῖν, τοιαῦτα φαίνεται· τί οὖν κωλύει πλείονος γινομένου τοῦ διαστήματος, διαμένειν τὴν τῶν σχημάτων φαντασίαν·

ἈΡΙΣΤΟΤΕΛΟΥΣ· ὍΣΑ ΠΕΡῚ ΟὐΡΆΝΙΑ·

α′ Διὰ τί τοῦ ἡλίου ὁμοταχῶς φερομένου ἐν τῷ ἴσῳ χρόνῳ, οὐκ ἴση αὐτὴ αὔξησις καὶ φθίσις τῶν σκιῶν. ἢ ὅτι ἴσαι γίνονται αἱ γωνίαι πρὸς τοῖς ὁρωμένοις αἱ ἀπὸ τῶν ἀκτίνων ὑπὸ τῶν ἴσων περιφερειῶν· εἰ δ᾽ αὗται καὶ ἐμβαδὸν αἱ τρεῖς ἀκτῖνες ἐν τῷ τριγώνῳ, ὃ περιέχεται ὑπό τε τῆς πρώτης ἀκτῖνος καὶ τοῦ ὁρωμένου καὶ τῆς σκιᾶς· εἰ δὲ αἱ γωνίαι ἴσαι, ἀνάγκη τὴν πορρωτέρω γραμμὴν τοῦ ὁρωμένου μείζω εἶναι τῆς ἐγγυτέρω. τοῦτο γὰρ ἴσμεν· διῃρήσθω οὖν ἡ περιφέρεια εἰς ἴσα, ὅσα οὖν πλῆθος· ὁράσθω δὲ τὸ θ. ὅταν μὲν οὖν ὁ ἥλιος ᾖ ἐπὶ τοῦ α, προσλαβὼν τὸ θ ποιήσει τινὰ σκιὰν ἐν τῷ θα, ἀνάγκη δὴ τὴν ἀκτῖνα ἐπὶ τὸ α πίπτειν· ὅταν δ᾽ ἔλθῃ ἐπὶ τὸ β, ἡ ἀπὸ τοῦ β ἀκτὶς, ἐκτὸς τοῦ θα πεσεῖται· καὶ ὅταν πάλιν ἐπὶ τὸ γ μεταβῇ ὡσαύτως. εἰ δὲ μή, εὐθεῖα εὐθείας δὶς ἅψεται. ἐπεὶ οὖν ἴση ἡ αβ τῇ βγ, καὶ αἱ γωνίαι αἱ ὑπὸ ταύτης αἱ πρὸς τὸ δ ἴσαι ἔσονται· πρὸς τῷ κέντρῳ γάρ· αἱ δὲ τῇ τοῦ δ, καὶ ἐν τῷ τριγώνῳ κατὰ κορυφὴν γὰρ ταύτας· ὥστε ἐπεὶ εἰς ἴσα διῃρεῖται ἡ γωνία, μείζων ἔσται τῇ δε τῆς εζ, τῇ δθ. ὁμοίως δὲ καὶ αἱ ἄλλαι τοῦ σιν αἱ ἀπὸ τῆς περιφερείας ἀκτῖνες. ἅμα δὲ δῆλον καὶ ὅτι κατὰ μεσημβρίαν, ἐλαχίστην ἀναγκαῖον εἶναι τὴν σκιάν. καὶ ὅτι αἱ ἐπιδόσεις τότε ἐλάχισται. μάλιστα γὰρ καθ᾽ ἡμᾶς ὁ ἥλιος τῆς μεσημβρίας ἐστί. καὶ ἐπιλογίζεσθαι δὲ διὰ τὴν εἰρημένην αἰτίαν. καὶ ὅτι ἀπὸ νύ-

ματος

ματος ὅταν διακρίνηται τὸν πρὸς τῇ γῇ ἀέρα, πνεῦμα γίνεται. εἰ οὖν ἅμα ἐν ἀμφοτέροις τοῖς ἡμισφαιρίοις, εἰκότως ἂν αἱ μέσαι νύκτες καὶ ἡ μεσημβρία, ἀπνευματώτεραι εἶεν.

β′ Διὰ τί ὁ ἥλιος διὰ τῶν τετραπλεύρων διέχων οὐκ εὐθύγραμμα ποιεῖ τὰ σχήματα, ἀλλὰ κύκλους, οἷον ἐν τοῖς ῥίψεσιν. ἢ ὅτι τῶν ὄψεων ἡ ἔκπτωσις κῶνός ἐστι· τοῦ δὲ κώνου, κύκλος ἡ βάσις· ὥστε πρὸς ὃ ἂν προσπίπτωσιν αἱ τοῦ ἡλίου ἀκτῖνες, κυκλοτερεῖς φαίνονται. ἀναγκαῖον μὲν γάρ ἐστι καὶ τὸ ὑπὸ τοῦ ἡλίου σχῆμα ὑπὸ εὐθειῶν περιέχεσθαι, εἴπερ αἱ ἀκτῖνες εὐθεῖαι· ὅταν γὰρ εὐθεῖα πρὸς εὐθεῖαν προσπίπτωσιν, εὐθύγραμμον ποιοῦσιν. ἐπὶ δὲ τῶν ἀκτίνων συμβαίνει τοῦτο· πρὸς εὐθεῖαν γὰρ προσπίπτουσι, τὴν τοῦ ῥιπτοῦ γραμμήν, ἡ δὲ οὖν λαμπρὰ καὶ αὗται εὐθεῖαί εἰσιν· ὥστε πρὸς εὐθεῖα γένοιτ᾽ ἂν ἡ ἔκπτωσις· ἀλλὰ διὰ τὸ ἀσθενὲς εἶναι τὰς ἀποσχιζομένας ἀπὸ τῶν ὄψεων πρὸς τὰ ἄκρα τῶν εὐθειῶν, οὐχ ὁρᾶται τὰ ἐν ταῖς γωνίαις· ἀλλ᾽ ὅσον μὲν τῆς εὐθείας ἐν ὑπερέχει ἐν τῷ κώνῳ, ποιεῖ αὐτήν· τὸ δὲ λοιπὸν οὐ ποιεῖ· ἀλλὰ λανθάνουσιν αἱ ὄψεις ἐπιπίπτουσαι· πολλὰ γὰρ οὐχ ὁρῶμεν ἐφ᾽ ἃ διικνεῖται ἡ ὄψις, οἷον τὰ ἐν τῷ σκότει· ὅμοιον δὲ τούτου καὶ τὸ τετράγωνον πολυγωνοειδὲς φαίνεσθαι· ἐὰν δὲ πλέον ἀφιστῆται κύκλον. ὄντος γὰρ κώνου τῆς τῶν ὄψεων ἐκπτώσεως, ἀφισταμένου τοῦ σχήματος εἰς τὸ πόρρω, αἱ μὲν εἰς τὰς γωνίας ἀποσχιζόμεναι τῶν ὄψεων, διὰ τὸ ἀσθενὲς εἶναι καὶ ὀλίγαι, οὐχ ὁρῶσι· πλείονος τοῦ ἀποστήματος γινομένου· αἱ δὲ εἰς τὸ μέσον προσπίπτουσαι, ἀθρόαι καὶ ἰσχυραὶ οὖσαι, διαμένουσιν. ἐγγὺς μὲν οὖν ὄντος τοῦ σχήματος, δύνανται καὶ τὰ ἐν ταῖς γωνίαις ὁρᾶν· πλέον δὲ αὐτοῦ γινομένου, ἀδυνατοῦσι. διὸ καὶ ἡ περιφερὴς ἁπτομένη εὐθεῖα φαίνεται. καὶ ἡ σελήνη ὑπὸ εὐθειῶν περιέχεσθαι δοκεῖ τῇ ὀγδόῃ, ἐὰν μὴ κατὰ πλάτος ἀλλὰ κατὰ τὴν περιέχουσαν γραμμὴν αἱ ὄψεις προσπίπτωσιν. ἐπ᾽ εὐθὺς μὲν γὰρ οὔσης τῆς περιφερείας, δύνανται διακρίνειν αἱ ὄψεις, ὅσῳ ἐπὶ θάτερα ἐστὶ θάτερον θατέρου μέρος τῆς περιφερείας· πόρρω δὲ γινομένης, οὐδὲ αἰσθάνεται, ἀλλὰ δοκεῖ αὐτῇ ἐξ ἴσου· διὸ καὶ εὐθεῖα φαίνεται·

Sol per quadrilatera perfluens non rectis lineis figuram describit sed circulum

ῥίψεσιν cratibus theo.

Conos κῶνος

ῥιπτός

διχότομος semiplena

γ' Διὰ τί τῆς σελήνης σφαιροειδοῦς οὔσης, εὐθεῖαν ὁρῶμεν, ὅταν ᾖ διχότομος; ἢ ὅτι ἐν τῷ αὐτῷ ἐπιπέδῳ ἡ ὄψις γίνεται, καὶ ἡ τοῦ κύκλου περιφέρεια, ἣν ὁ ἥλιος ποιεῖ προσβάλλων τῇ σελήνῃ. ὅτι δὲ τοῦτο γένοιτο, εὐθεῖα γραμμὴ ἐφαίνετο ὁ ἥλιος. ἐπεὶ γὰρ ἀνάγκη τὸ προσβάλλον τὰς ὄψεις πρὸς τὴν σφαῖραν κύκλον ὁρᾶν, ἡ δὲ σελήνη σφαιροειδής, καὶ ὁ ἥλιος ὁρᾷ αὐτήν, κύκλος ἂν εἴη ὁ ὑπὸ τοῦ ἡλίου γινόμενος. οὗτος οὖν ὅταν μὲν ἐξ ἐναντίας ἡμῖν γένηται, ὅλος φαίνεται, καὶ δοκεῖ πανσέληνος εἶναι. ὅταν δὲ παραλλάττῃ διὰ τὴν τοῦ ἡλίου μετάβασιν, ἡ περιφέρεια αὐτοῦ κατὰ τὴν ὄψιν γίνεται, ὥστε εὐθεῖα φαίνεται. τὸ δὲ ἕτερον μέρος περιφερές, ὅτι ἐξ ἐναντίας κεῖται τῆς ὄψεως ἡμισφαίριον. τὸ δὲ τοιοῦτο ἐφαίνετο ἡμικύκλιον. ἀεὶ γὰρ ἡ σελήνη κατάντικρυ ἐστὶ τῆς ὄψεως. ἄλλοτε ὁ ἥλιος ἐπιβάλλει, οὐχ ὁρῶμεν. καὶ ἅμα πληροῦται μετὰ τὴν ὁδὸν ἐκ τοῦ μέσου. ὅτι ἐπιπαρεξιὼν ὁ ἥλιος, ἐκκλινέστερον ἡμῖν ποιεῖ τὸν κύκλον. οὗ τοῦ τιθεμένου πρὸς τὴν ὄψιν ὁ κύκλος, κώνου τομῆς ἐμφερὴς ἐγένετο. μηνοειδὴς δὲ φαίνεται, ὅταν ὁ ἥλιος μεταβῇ. ὅτε γὰρ κατὰ τὰ ἔσχατα σημεῖα καθὰ διχότομος φαίνεται ὁ κύκλος ὁ τοῦ ἡλίου γένηται, περιφέρεια φαίνεται ἡ τοῦ κύκλου. οὐ γὰρ ἔτι κατ' εὐθεῖαν ἐστὶ τῇ ὄψει, ἀλλὰ παραλλάττει. τούτου δὲ γινομένου καὶ διὰ τῶν αὐτῶν σημείων τοῦ κύκλου ὄντος, ἀνάγκη μηνοειδῆ φαίνεσθαι. μέρος γάρ τι τοῦ κύκλου κατὰ τὴν ὄψιν εὐθύ ἐστι τοῦ προτέρου ἐξ ἐναντίας ὄντος. ὥστε τοῦ λαμπροῦ ἀποτέμνεται. εἰ δὲ οὕτως καὶ τὰ ἄκρα μένουσιν ἐν τοῖς αὐτοῖς, ἀνάγκη μηνοειδῆ φαίνεσθαι. μᾶλλον δὲ καὶ ἧττον διὰ τὴν τοῦ ἡλίου κίνησιν. μεταβαίνοντος γὰρ τοῦ ἡλίου, καὶ ὁ κύκλος ὃν ὁρᾷ ἐπιστρέφεται ἐν τοῖς αὐτοῖς σημείοις ὤν. ἄπειροι γὰρ ἐγκλίσεις ἐγχωρεῖ αὐτῷ κλιθῆναι. εἴπερ γραφῆναι τοὺς μεγίστους κύκλους διὰ τῶν αὐτῶν σημείων ἀπείρους ἐνδέχεται.

Cur sol & luna sphærica cum sint plana uidetur

δ' Διὰ τί ὁ ἥλιος καὶ ἡ σελήνη σφαιροειδῆ ὄντα, ἐπίπεδα φαίνεται; ἢ ὅτι πάντων ὅσων τὸ ἀπόστημα ἄδηλον, ὅτι πλέον ἢ ἔλαττον ἀφέστηκεν, ἐξ ἴσου φαίνονται. ὥστε καὶ ἐφεξῆς μέν, μόρια δὲ ἔχοντος, ἂν μὴ τῇ χρόᾳ διαφέρῃ, ἀνάγκη τὰ μόρια

ἐξ

ἐξ ἴσου φαίνεσθαι. τὸ δὲ ἐξ ἴσου, ὁμαλὲς καὶ ἐπίπεδον ἀνάγκη δοκεῖν εἶναι.

Solis umbrę cum egreditur & occidit maiores cum tollitur minores & in meridie minime

ε' Διὰ τί τὰς σκιὰς ποιεῖ ὁ ἥλιος ἀνίσχων καὶ δύνων μακράς, αἰρόμενος δὲ ἐλάττους, ἐπὶ δὲ τῆς μεσημβρίας ἐλαχίστας; ἢ ὅτι ἀνίσχων τὸ μὲν πρῶτον, παραλλήλας ποιήσει τὴν σκιὰν τῇ γῇ, καὶ ἄπειρον ὡς ἀνίσως ὑπερτείνει, ἔπειτα μακράν. ἀεὶ δὲ ἐλάττω, διὰ τὸ ἀεὶ τὴν ἀπὸ τοῦ ἀνωτέρου σημείου εὐθεῖαν ἐντὸς πίπτειν. γνώμων τὸ αβ. ἥλιος οὗ τὸ γ, καὶ οὗ τὸ δ. ἡ δὲ ἀπὸ τοῦ γ ἀκτίς, ἐφ' ἧς τὸ γζ, ἐξωτέρω ἔσται τῆς γε. ἔστι δὲ σκιὰ ἡ μὲν βε, ἀνωτέρω ὄντος τοῦ ἡλίου, ἡ δὲ βζ, κατωτάτω. ἐλαχίστη δέ, ὅσῳ ἀνωτάτω, ἢ καὶ ὑπὲρ τῆς κεφαλῆς.

Lunę umbrę maiores quam solis cum ab eodem perpendiculo prouenient

καθέτου perpendiculo

ϛ' Διὰ τί αἱ ἀπὸ τῆς σελήνης σκιαὶ μείζους τῶν ἀπὸ τοῦ ἡλίου, ὅταν ἀπὸ τῆς αὐτῆς ὦσι καθέτου; ἢ διότι ἀνώτερος ὁ ἥλιος τῆς σελήνης. ἀνάγκη οὖν ἐντὸς πίπτειν τὴν ἀπὸ τοῦ ἀνωτέρου ἀκτῖνα. γνώμων ἐφ' οὗ αδ. σελήνη β. ἥλιος γ. ἡ μὲν ἀπὸ τῆς σελήνης ἀκτίς, βζ. ὥστε ἔσται σκιά, ἡ τὸ δζ. ἡ δὲ ἀπὸ τοῦ ἡλίου, ἡ τὸ γε. ὥστε ἔσται σκιὰ ἐξ ἀνάγκης· ἔσται ἡ τὸ δε.

μηνίσκοι. Lunę non dum completę

διγωνίου

ζ' Διὰ τί ἐν ταῖς τοῦ ἡλίου ἐκλείψεσιν, ἐάν τις θεωρῇ διὰ κοσκίνου ἢ φύλλου, οἷον πλατάνου ἢ ἄλλου πλατυφύλλου, ἢ τοὺς δακτύλους τῆς ἑτέρας χειρὸς ἐπὶ τὴν ἑτέραν ἐπαλλάξας, μηνοειδεῖς αἱ αὐγαὶ ἐπὶ τῆς γῆς γίνονται; ἢ ὅτι ὥσπερ διὸ ὀπῆς ἐὰν λάμπῃ ἐγγωνίου τὸ φῶς, στρογγύλον καὶ κῶνος γίνεται. αἴτιον δέ, ὅτι δύο γίνονται κῶνοι, ὅ τε ἀπὸ τοῦ ἡλίου πρὸς τὴν ὀπήν, καὶ ὁ ἐντεῦθεν πρὸς τὴν γῆν. καὶ συγκόρυφοι. ὅταν οὖν ἐχόντων οὕτως, ἄνωθεν κύκλῳ ἀποτέμνηται, ἔσται μηνίσκος ἐξ ἐναντίας ἐπὶ τῆς γῆς τοῦ φωτός. ἀπὸ τοῦ μηνίσκου γὰρ τῆς περιφερείας, γίνονται αἱ ἀκτῖνες. αἱ δὲ ἐν τοῖς δακτύλοις καὶ κοσκίνοις, οἷον ὀπαὶ γίνονται. διὸ ἐπιδηλότερον γίνεται, ἢ διὰ τῆς μεγάλης ὀπῆς. ἀπὸ δὲ τῆς σελήνης οὐ γίνονται, οὔτε ἐκλειπούσης, οὔτε ἐν αὐξήσει οὔσης, ἢ φθίσει. διὰ τὸ μὴ ἀκριβεῖς τὰς ἀπὸ τῶν ἄκρων αὐγὰς εἶναι, ἀλλὰ τῷ μέσῳ φαίνεσθαι. ὁ δὲ μηνίσκος, μικρὸν τὸ μέσον ἔχει.

μηνίσκος

παρήλιος. facies solis similis. cum soles multi apparent

η' Διὰ τί παρήλιος οὐ γίνεται, οὔτε μεσουρανοῦντος τοῦ ἡλίου, οὔθ' ὑπὲρ τὸν ἥλιον, ἀλλ' ἐκ πλαγίων μόνον; ἢ διότι παρήλιος γίνεται, κλω

∴ rf. ἅλως ·i· area. theo

ΤΜΗ̂ΜΑ

μένης τῆς ὄψεως πρὸς τὸν ἥλιον. αὕτη δὲ τοῦ ἀέρος ἡ στάσις, ἐφ᾽ ἧς ἀνακλᾶται ἡ ὄψις, ὅτε ἐγγὺς ἂν γένοιτο τοῦ ἡλίου, οὔτε πόρρω. ἐγγὺς μὲν γὰρ οὖσαν, ὁ ἥλιος διαλύσει. πόρρω δὲ οὔσης, ἡ ὄψις οὐκ ἀνακλασθήσεται. ἀπὸ γὰρ μικροῦ ἐνόπτρου πόρρω ἀνατεινομένη, ἀσθενὴς γίνεται. διὸ καὶ αἱ ἅλως οὐ γίνονται. ἐξ ἐναντίας τοῦ ἡλίου μὲν οὖν ἐὰν γένηται, ἐγγὺς διαλύσει ὁ ἥλιος. ἐὰν δὲ πόρρω, ἐλάττων ἡ ὄψις προσπεσεῖται. ἐὰν δὲ ἐν τῷ πλαγίῳ, ἔσται τοσοῦτον ἀποστῆναι τὸ ἔνοπτρον ὥστε μήτε τὸν ἥλιον διαλῦσαι, μήτε τὴν ὄψιν ἀθρόαν ἀνελθεῖν, διὰ τὸ ὑπὸ τὴν γῆν φέρεσθαι. ὑπὸ δὲ τὸν ἥλιον οὐ γίνεται, διὰ τὸ πλησίον μὲν τῆς γῆς ὄντος διαλύεσθαι ἂν ὑπὸ τοῦ ἡλίου. ἄνω δὲ μεσουρανοῦντος τὴν ὄψιν διασπᾶσθαι. καὶ ὅλως οὐδὲ ἐκ πλαγίας μεσουρανοῦντος γίνεται. ὅτι ἡ ὄψις ὑπὸ τὴν γῆν ἐὰν λίαν φέρηται, ὀλίγη εἰς τὸ ἔνοπτρον. ὥστε ἀνακλωμένη πάνυ ἔσται ἀσθενής.

θ' Διὰ τί τῆς σκιᾶς τὸ ἄκρον τοῦ ἡλίου τρέμειν φαίνεται; οὐ γὰρ δὴ διὰ τὸ φέρεσθαι τὸν ἥλιον. ἀδύνατον γὰρ κινεῖσθαι εἰς τἀναντία. ὁ δὲ τρόμος, τοιοῦτον. ἔτι δὲ ἄδηλος ἡ μετάβασις. ὥσπερ καὶ ἡ ἡλίου αὐτοῦ. ἢ διὰ τὸ κινεῖσθαι τὰ ἐν τῷ ἀέρι. καλεῖται δὲ ξύσματα. φανερὰ δὲ ἐστὶν ἐν ταῖς ἀκτῖσι ταῖς διὰ τῶν θυρίδων. ταῦτα γὰρ κινεῖται καὶ νηνεμίας. ἐκ τε οὖν τῆς σκιᾶς εἰς τὸ φῶς, ἐκ τε τοῦ φωτὸς εἰς τὴν σκιὰν φερομένων ἀεί, καὶ ὁ ὅρος ὁ κοινὸς τοῦ φωτός τε καὶ τῆς σκιᾶς φαίνεται κινούμενος παρ᾽ ἑκάτερα. ἡ μὲν γὰρ οἷον σκιὰν ποιοῦσιν. ἡ δὲ φῶς ἑκατέρωθεν μεταβάλλοντα ταῦτα. ὥστε ἡ σκιὰ φαίνεται κινεῖσθαι καὶ κινουμένη αὐτὴ δὲ τὰ ἄλλα κινεῖν.

Cur umbrae solis extremum tremore uideatur

ξύσματα ·i· ramenta que alij atomos uocant

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΟΣΑ ΠΕΡΙ ΤΑ ΑΨΥΧΑ.

πομφολύγων bullarū

α' Διὰ τί αἱ μὲν βάσεις τῶν πομφολύγων λευκαὶ ἐν τῷ ὕδατι εἰσίν, ἐὰν ἐν ἡλίῳ τεθῶσι, σκιὰν οὐ ποιοῦσιν. ἀλλ᾽ ἡ μὲν ἄλλη πομφόλυξ, σκιὰν ποιεῖ. ἡ δὲ βάσις, οὐ ποιεῖ. ἀλλ᾽ ἡλιοῦται κύκλῳ. τὸ δὲ ἔτι θαυμαστότερον ὅτι οὐδὲ ἐάν τι τεθῇ ξύλον εἰς τὸ ὕδωρ ἐν τῷ ἡλίῳ

□ rf. μεταβάλλοντα

⊙ rf. ἔχοντα. δηλονότι ξύσματα

□ βάρος ·rf. ex utroq: interprete

∴ rf. δέ ex utroq interprete

λ μὲν. ex utroq: interprete

λίῳ τεμνόμενον, ὑπὸ τοῦ ὕδατος ταὐτό. ἢ οὐ γίνεται σκιά, ἀλλ᾽ ἡλίῳ διῄρηται ἡ σκιά. εἰ δὲ σκιά ἐστι τὸ μὴ ὁρώμενον ὑπὸ τοῦ ἡλίου κύκλῳ ἂν ὁρῷτο ὁ ὄγκος. τοῦτο δέ ἐστιν ἀδύνατον, δείκνυται ἐν τοῖς ὀπτικοῖς. οὐδὲ γὰρ τὸ ἐλάχιστον ὑπὸ τοῦ μείζονος ἐνδέχεται ὅλον περιοφθῆναι.

Optica ·i· perspectiua

β' Διὰ τί αἱ πομφόλυγες ἡμισφαίρια; ἢ διὰ τὸ ὡς ἀπὸ κέντρου πρὸς τὸν ἀέρα φέρεσθαι αὐτῷ ὁμοίως πάντῃ. ἀνάγκη δὲ τοῦτο ἡμισφαίριον εἶναι. τὸ δὲ κάτω ἡμισφαίριον, ἀποτέμνεται ὑπὸ τοῦ ἐπιπέδου τοῦ ὑδατώδους ἐν ᾧ τὸ κέντρον ἐστί.

Cur bullae hemisperii specie surgant

γ' Διὰ τί τοῖς ἀνισοβάρος ἔχουσι μεγέθεσιν, ἐάν τις τὸ κουφότερον κινῇ, κύκλῳ περιφέρεται τὸ βαλλόμενον, οἷον τοῖς μεμολιβδωμένοις ἀστραγάλοις συμβαίνει, ἄν τις βάλλῃ τὸ κουφότερον πρὸς αὑτὸν στρέψας μέρος. ἢ ὅτι τὸ βαρύτερον ἀδύνατον ἰσοδρομεῖν τῷ κουφοτέρῳ ἀπὸ τῆς αὐτῆς ἰσχύος ῥιφθέν. ἐπεὶ δ᾽ ἀνάγκη μὴ πάμπαν κινεῖσθαι, ἐξ ἴσου δὲ ἀδύνατον, ὁμοταχῶς μὲν φερόμενα, τὴν αὐτὴν οἰσθήσεται γραμμήν. θᾶττον δὲ θατέρου φερομένου, κύκλον ἀνάγκη φέρεσθαι. ἐπειδὴ ἐν τούτῳ μόνῳ τῷ σχήματι ταῦτα ἀεὶ κατάλληλα ὄντα σημεῖα ἐν ταυτῷ χρόνῳ ἀνίσους διέρχεται γραμμάς.

Tali oblumbati

δ' Διὰ τί τὰ πίπτοντα ἐπὶ τὴν γῆν καὶ ἀφαλλόμενα ὁμοίας γωνίας ποιεῖ πρὸς τὸ ἐπίπεδον ἐφ᾽ ἑκάτερα τοῦ σημείου, οὗ ἥψατο τοῦ ἐπιπέδου; ἢ ὅτι πάντα μὲν φύσει φέρεται πρὸς ὀρθήν. τὰ μὲν οὖν εἰς ὁμαλὸν πεσόντα, τῇ καθέτῳ καὶ τῇ διαμέτρῳ προσκρούσαντα τῷ ἐπιπέδῳ τοσαύτας ποιεῖ γωνίας ἀφαλλόμενα, διὰ τὸ τὴν μὲν διάμετρον ἴσα διαιρεῖν. τὰ δὲ εἰς τὰ πλάγια πίπτοντα, οὐ τῇ καθέτῳ προσκρούοντα τῷ χωρίῳ, ἀλλὰ τῷ ἀνωτέρω τῆς καθέτου σημείῳ, συμβαίνει πάλιν ἀνωθέντα ὑπὸ τοῦ πεπληγότος τόπου εἰς τοὐναντίον φέρεσθαι. τὰ μὲν στρογγύλα, ὅτι ἐν αὑτῷ φερόμενα, εἰς τοὐναντίον διὰ τῆς ἀπώσεως ἐξελίττεται. ἐάν τε ἠρεμῇ τὸ μέσον αὐτῶν, ἐάν τε καὶ τόπον διαλλάττῃ. τὰ δὲ εὐθύγραμμα, διά τε τὴν κάθετον αὐτὴν εἰς τοὔμπροσθεν προσυνεχῆ ἐκκρούεσθαι. καθάπερ τοῖς τε ξηρουμένοις τὰ σκέλη συμβαίνει, καὶ ὧν τοὺς κολύ-

ἀφαλλόμενα resilientia

πάντα φέρεται πρὸς ὀρθὴν φύσει

κάθετος ~~diametro~~ perpendiculo

εἰς τοὔμπροσθεν ·i· in parte priore

□ rf. ὅμοιαι ·i· similes ex utraq: translatione

∴ f. κῶνος . uetus inter pres conus uertit . theodorus turbo

κολύθρους coleos

εἰς σύμπεραν

θύρσου ὑφαρπάζουσι· πάντα γὰρ οὐχὶ εἰς τοὐναντίον καὶ ὄπι-
σθεν ἐπαναπίπτουσι· διὰ τὸ ἰσάζειν αὐτὰ τὴν κάθετον, μετέωρόν τε
εἶναι καὶ εἰς τοὔμπροσθεν ἐκκρούεσθαι. τὰ γὰρ ἐναντία δῆλον ὅτι
αὐτῶν, ὁπόθεν τε καὶ κάτω συμβαίνει γίνεσθαι. κάτω δὲ φερόμενα,
βαρύτερα ἂν εἴη. ὁ οὖν τούτοις πτῶμα, τοῖς ἀφαλλομένοις φο-
ρὰν συμβαίνει γίνεσθαι. πρὸς ὀρθὴν μὲν οὖν οὐδέτερα αὐτῶν ἀφάλ-
λεται διὰ τὸ τὴν μὲν κάθετον τὸ βάρος διαιρεῖν τὰ φερόμενα. κα-
θέτους δὲ πλείους πρὸς ταὐτὸ ἐπίπεδον μὴ γίνεσθαι τεμνούσας αὐ-
τάς. ὃ συμβήσεται τούτοις καθέτου γινομένης κατὰ τὴν ἄφαλ-
σιν, ἣ προσέκρουσε τῷ ἐπιπέδῳ τὸ φερόμενον, δίχα τέμνεσθαι
πάλιν ὑπ' αὐτῆς αὐτὸ συμβήσεται. ὥστε ἀναγκαῖον τέμνεσθαι ὑ-
π' αὐτῆς τὴν πρώτην κάθετον ὑφ' ἧς ἐφέρετο. ἐπεὶ δὲ εἰς τοὐναν-
τίον μὲν οἰσθήσεται, πρὸς ὀρθὴν δὲ οὐκ οἰσθήσεται, λοιπὸν ὀξεῖαν
γίνεσθαι γωνίαν τὴν ἐπὶ θάτερα τοῦ προσπεσόντος τῷ ἐπιπέδῳ ση-
μείου· ὀρθὴ γάρ ἐστιν ἡ ὀρθὴ τῶν ἐναντίων γωνιῶν. Διὰ τί ὁ μὲν

De Cylindro & turbine

κύλινδρος ὠθηθεὶς, εἰς εὐθύ τε φέρεται, καὶ γράφει εὐθείας τοῖς
ὁρίζουσιν αὐτὸν κύκλοις. ὁ δὲ κῶνος, κύκλῳ περιφέρεται, τῆς κο-
ρυφῆς μενούσης, καὶ γράφει τὸν κύκλον, τῷ ὁρίζοντι κύκλῳ μὲν
ἀμφότερα φέρεται. γράφει δὲ ἐν τῷ ἐπιπέδῳ ὁ μὲν κύλινδρος
εὐθείας, ὁ δὲ κῶνος, κύκλους. διὰ τὸ τοὺς μὲν ἐν τῷ κώνῳ ἀνί-
σους εἶναι κύκλους. φέρεσθαι δὲ ἀεὶ θᾶττον τὸν μείζονα τῶν περὶ τὸ αὐτὸ
κέντρον φερομένων ἢ ἀνίσως πάντων ἅμα τῶν ἐν τῷ κώνῳ κύκλων,
συμβαίνει τοὺς ἔξω τάχιστα πλεῖστον ἐν ταὐτῷ χρόνῳ τρέχειν γραμ-
μὴν φέρεσθαι· διὸ καὶ κύκλῳ φέρονται. γράφονται γὰρ πάντες
τῇ αὐτῇ εὐθείᾳ. καὶ τῆς εὐθείας κύκλῳ μὲν φερομένης, οὐ πάντα
τὰ ἐν αὐτῇ σημεῖα ἴσην ἐν ταὐτῷ χρόνῳ γράφει γραμμήν. εἰς εὐ-
θὺ δὲ φέρει τὴν ἴσην. τοῦ δὲ κυλίνδρου πάντων ὄντων τῶν κύκλων
καὶ περὶ ταὐτὸ κέντρον, συμβαίνει τὰ ἅμα τοῦ ἐπιπέδου ἐν αὐτοῖς πάν-
θ' ἁπτόμενα σημεῖα, φέρεσθαί τε ἰσοταχῶς κυλιομένους. διὰ
τὸ τοὺς κυλίνδρους ἴσους εἶναι καὶ κινεῖν ἐπὶ τὸ ἐπίπεδον πάλιν

κῶνος . Turbo

βάττον ὁμοίως ἀεὶ περὶ τὸ αὐτὸ κέντρον

∴ deest ἢ ὅτι ex theodoro. ἅμα

ἴσων deest ex utroq: interprete

ἅμα ἐκκυλισθέντα ἕκαστον τῶν αὐτοῦ κύκλων. ὥστε καὶ τὰς ἐν τῷ ἐπι-
πέδῳ εὐθείας ἴσας γίνεσθαι. τῇ γὰρ ἁφῇ αὐτῶν ἀφῇ αὐτὰς ἔγραψαν. ὄν-
των ἴσοι τε καὶ ἰσοταχεῖς ἐγίνοντο δὲ εὐθεῖαι, αἱ ὑπὸ τῆς αὐτῆς γρα-
φεῖσαι γραμμῆς, εἰς εὐθὺ φερομένης. ὥστε διὰ ταύτας εἰς εὐθὺ ἀ-
ναφέροιτο ὁ κύλινδρος. διαφέρει γὰρ οὐθὲν ἢ ἡ πρώτη ἅψατο ὁ κύ-
λινδρος τοῦ ἐπιπέδου γραμμή, ταύτῃ ἕλκειν ἐν τῷ ἐπιπέδῳ, ἢ
ἐκκυλίειν αὐτό. ἀεὶ γὰρ ἴσην τε ὁμοίαν γραμμὴν τῶν ἐν τῷ κυλίνδρῳ
συμβήσεται ἅπτεσθαι τοῦ ἐπιπέδου ἑλκομένου τε καὶ κυλιομένου τοῦ
ε' κυλίνδρου. Διὰ τί τοῦ βιβλίου τετμημένου ἡ ἐπίπεδος καὶ εὐθεῖα, ἐὰν
μή τις τέμῃ παρὰ τὴν βάσιν, γίνεται εὐθεῖα ἀνελιττομένη. ἐὰν δὲ
ἐγκλίνας, σκολιά. ἢ ὅτι συμβαίνει τῶν ἐν τῇ ἑτέρᾳ γραμμῇ κύκλων
ἐν ταὐτῷ ἐπιπέδῳ ὄντων, τὴν ἐγκεκλιμένην τομήν, μὴ παρα-
κειμένην εἶναι. ἀλλ' ἐν τῇ μὲν, πλεῖον. τῇ δὲ ἔλαττον αὐτῆς ἀπέ-
χειν. ὥστε ἐξελιττομένου, οἱ μὲν ἐν ταὐτῷ ἐπιπέδῳ ὄντες κύκλοι
καὶ τὴν ἀρχὴν ἔχοντες ἐν ταὐτῷ ἐπιπέδῳ, τὴν ὀξεῖαν αὐτῶν κινήσουσι
γραμμὴν ἐξελιττόμενοι. ὅτι γὰρ ἡ γινομένη γραμμὴ ἐκ τῶν κύκλων
οἳ εἰσιν ἐν ταὐτῷ ἐπιπέδῳ. ὥστε καὶ εὐθεῖα οὖσα ἐν ἐπιπέδῳ, ἥ τε τῆς
λοξῆς τομῆς ἐξελιττομένη γραμμὴ οὐκ οὖσα παρὰ τὴν πρώτην.
ἀλλὰ τῇ μὲν, πλεῖον, τῇ δὲ, ἔλαττον αὐτῆς διεστηκυῖα. διὰ τὸ τὴν το-
μὴν οὕτως ἔχειν πρὸς αὐτήν, οὐκ ἐν ἐπιπέδῳ ἔσται. ὥστε οὐδὲ εὐθεῖα.
ζ' τῆς γὰρ εὐθείας οὐκ ἔστι τὸ μὲν ἐν ἄλλῳ ἐπιπέδῳ, τὸ δὲ ἐν ἄλλῳ. Διὰ τί
διαιρούμενα τὰ μεγέθη ἐλάττω φαίνεται πάντα τοῦ ὅλου. ἢ ὅτι
διαιρούμενα μὲν ἀριθμὸν ἔχει πάντα. μεγέθει δὲ ἐλάττω ἐστὶ τοῦ
ἑνός. τὸ μὲν γὰρ μέγα, τῷ κατὰ συνέχειαν εἶναι καὶ ποσόν τι μέ-
γα λέγεται. ὁ δὲ ἀριθμὸς τι ποσός, παντὸς μεγέθους ἀριθμοῦ μεί-
ζων. διόπερ εἰκὸς τὸ οἷον διαιρεθέντων τῶν μορίων μείζω φαίνε-
σθαι. τῶν αὐτῶν γὰρ ὄντων αὐτῶν, τὸ μὲν ὅλον τὴν τοῦ μεγέθους ἔ-
χει μᾶλλον φύσιν, συνεχὲς ὄν. τὰ δὲ μέρη, τὴν τοῦ ἀριθμοῦ.

De his que in clepsydra accidunt

η' Τῶν περὶ τὴν κλεψύδραν συμβαινόντων, τὸ μὲν ὅλον ἔοικεν αἴ-
τιον εἶναι καθάπερ Ἀναξαγόρας λέγει. ὁ γὰρ ἀήρ ἐστιν αἴτιος. Anaxagoras

hanc lectionē agnoscit uetus interpres uerū magis sto a theodoro q legere uidetur - ἀριθμῷ - sed amplio iudicium

Ω κοιλίας. emendandum ex utroque interprete qui alii converterunt

ἐναπολαμβανόμενος ἐν αὐτῇ τῷ μὴ εἰσιέναι τὸ ὕδωρ ἐπιληφθέντος τοῦ αὐλοῦ. οὐ μὴν ἀλλ' ἁπλῶς γε αἴτιος. εἰ γάρ τις αὐτὴν πλαγίαν ἐν εἰς τὸ ὕδωρ ἐπιλαβὼν τὸν αὐλόν, εἴσεισι τὸ ὕδωρ. διόπερ οὐ λέγεται ὑπ' αὐτοῦ ἱκανῶς ἡ αἰτία ὅσον ἐστίν. ἔστι δὲ αἴτιον μὲν, καθάπερ εἴρηται, ὁ ἀήρ. οὗτος δὲ ὠθούμενός τε καὶ καθ' ἑαυτὸν φερόμενος μὴ βιαζόμενος, ἐπ' εὐθείας πέφυκε φέρεσθαι, καθάπερ καὶ ἄλλα στοιχεῖα. πλαγίας μὲν οὖν βαφείσης τῆς κλεψύδρας, διὰ τῶν ἐναντίων τῶν ἐν τῷ ὕδατι τρυπημάτων ἐπ' εὐθείας μένων ὑπὸ τοῦ ὕδατος ἐξέρχεται. ὑποχωροῦντος δὲ αὐτοῦ, τὸ ὕδωρ εἰσέρχεται. ὀρθῆς δὲ εἰς τὸ ὕδωρ καταβαφείσης τῆς κλεψύδρας, οὐ δυνάμενος πρὸς ὀρθὴν ὑποχωρεῖν, διὰ τὸ πεφράχθαι τὰ ἄνω, μένει περὶ τὰ πρῶτα τρυπήματα. ἀντωθεῖσθαι γὰρ εἰς αὐτὸν οὐ πέφυκε. σημεῖον δ' ἐστὶ τοῦ εἴργειν δύνασθαι τὸ ὕδωρ, ἀκίνητον ὄντα τὸν ἀέρα, τὸ ἐπ' αὐτῆς γινόμενον τῆς κλεψύδρας. ἐὰν γάρ τις αὐτῆς αὐτὴν τὴν καρδίαν ἐμπλήσας ὕδατος, ἐπιλαβὼν τὸν αὐλὸν καταστρέψῃ ἐπὶ τὸν αὐλόν, οὐ φέρεται τὸ ὕδωρ, διὰ τοῦ αὐλοῦ ἐπὶ τὸ στόμα. ἀνοιχθέντος δὲ τοῦ στόματος, οὐκ εὐθὺς ἐκρεῖ κατὰ τὸν αὐλόν, ἀλλὰ μικροτέρῳ ὕστερον, ὡς οὐκ ὂν ἐπὶ τῷ στόματι τοῦ αὐλοῦ, ἀλλ' ὕστερον διὰ τούτου φερόμενον, ἀνοιχθέντος. πλήρους τε καὶ ὀρθῆς οὔσης τῆς κλεψύδρας, ἀνοιχθέντος τοῦ αὐλοῦ, εὐθὺς ῥεῖ διὰ τοῦ ἠθμοῦ, διὰ τὸ ἐκείνου μὲν ἅπτεσθαι, τῶν δὲ ἄκρων τοῦ αὐλοῦ μὴ ἅπτεσθαι. οὐκ εἰσέρχεται μὲν οὖν τὸ ὕδωρ εἰς τὴν κλεψύδραν, διὰ τὴν προειρημένην αἰτίαν. ἐξέρχεται δὲ ἀνοιχθέντος τοῦ αὐλοῦ, διὰ τὸ τὸν ἐν αὐτῷ ἀέρα κινούμενον ἄνω καὶ κάτω, πολλὴν κένωσιν ποιεῖν τοῦ ἐν τῇ κλεψύδρᾳ ὕδατος. ὠθούμενον δὲ κάτω καὶ αὐτὸ ῥέπον εἰς αὐτό, εἰκότως ἐκρεῖ βιαζόμενον, τὸν ἐκτὸς τῆς κλεψύδρας ἀέρα κινούμενόν τε καὶ ὄντα ἴσον τῇ δυνάμει, τῷ ἐπωθοῦντι αὐτὸν ἀέρι. τῇ δὲ ἀντερείσει ἀσθενέστερον ἐκείνου, διὰ τὸ στενοῦ αὐτὸ τοῦ αὐλοῦ ῥέοντος, θᾶττον καὶ σφοδρότερον ῥεῖν, καὶ προσπίπτειν τῷ ὕδατι. τοῦ δὲ πωμασθέντος τοῦ

Clepsydrae ~~cor~~ alvus

αὐλοῦ μὴ συρρεῖν τὸ ὕδωρ, αἴτιον, ὅτι τὸ ὕδωρ εἰσιὸν εἰς τὴν κλε-
ψύδραν, ἐξωθεῖ βίᾳ τὸν ἀέρα ἐξ αὐτῆς. σημεῖον δ' ἐστὶ τὸ γινόμε-
νον ἐν ταύτῃ πνεῦμα καὶ ἐρυγμός. εἰσιόντος δὲ τοῦ ὕδατος, βίᾳ ὠ-
θούμενος ἐμπίπτει εἰς τὸν αὐλὸν αὐτοῦ, καθάπερ τὰ ἐκπιεστὰ ξύ-
λα ἢ χαλκὸς τῇ διαιρέσει πιεζόμενον μένει ἄνευ παντὸς ἄλλου
συνδέσμου ἐκκρουσθῇ ἐκ τοῦ ἐναντίου, καθάπερ τοὺς κατε-
αγότας ὀπτούρους ἐν τοῖς ξύλοις ἐκκρούουσι. συμβαίνει δὲ τοῦ-
το ἀνοιχθέντος τοῦ αὐλοῦ γίνεσθαι, διὰ τὰ προειρημένα. εἰ οὖν
διὰ ταῦτα εἰκός ἐστιν αὐτὸν μὴ ἐκρεῖν, ἢ ἐξιόντος βιαίου ἀέρος
καὶ πνεύματος μένου, δῆλον δὲ ὁ ψόφος ἐπισπᾶσθαι τῷ πνεύ-
ματι τὸ ὕδωρ ἄνω, ὥσπερ ἐπὶ πολλῶν συμβαίνει γίνεσθαι. ἐπι-
σπώμενον δὲ καὶ συνεχὲς ὄν, αὐτῷ πᾶν τὸ ὕδωρ μένει πιεζο-
μένου ὑπὸ τοῦ ἀέρος, ἕως ἂν ἀποστῇ πάλιν ὑπ' αὐτοῦ. τῆς δὲ ἀρ-
χῆς μενούσης, καὶ τὸ ἄλλο ἐξ αὐτῆς κρέμαται ὕδωρ ἓν καὶ συνε-
χές. εὔλογον δὲ τοῦτο γίνεσθαι. τοῦ γὰρ αὐτοῦ ἐστι κινῆσαι τὸ ἐκ τῆς
οἰκείας χώρας τι, καὶ τοῦτο ἴσχειν ὡς ἐκείνης. ἐν πλείονι δὲ χρό-
νῳ ἐὰν ᾖ ὅμοια τῇ δυνάμει, τότε ἔχον καὶ τὸ ἐχόμενον, ἢ τὸ ἴσον
κρεῖττον. ὅπερ ἐνταῦθα συμβαίνει. πνεῦμα γὰρ ὕδατός ἐστι κρεῖτ-
θ' τον τῇ δυνάμει. Διὰ τί τὰ μόρια τῶν φυτῶν καὶ τῶν ζώ-
ων ὅσα μὴ ὀργανικὰ, πάντα περιφερῆ. τῶν μὲν φυτῶν τὸ στέλε-
χος καὶ οἱ πόρθοι, τῶν δὲ ζώων, κνῆμαι, μηροὶ, βραχίονες, θώραξ.
τρίγωνον δ' οὐ δὲ πολύγωνον, οὔτε ὅλον οὐδὲ μόριόν ἐστι. πότερον
ὥσπερ Ἀρχύτας ἔλεγε, διὰ τὸ ἐν τῇ κινήσει τῇ φυσικῇ ἐνεῖναι
τὴν τοῦ ἴσου ἀναλογίαν. κινεῖσθαι γὰρ ἀνάλογον πάντα. ταύτην
δὲ μόνην εἰς αὐτὴν ἀνακάμπτειν, ὥστε κύκλους ποιεῖν καὶ στρογ-
ι' γύλα, ὅταν ἐγγένηται. Διὰ τί ἐν τοῖς ἐσχάτοις ἀεὶ γίνεται
περιφερῆ; ἢ ὅτι ἡ φύσις ἐκ τῶν ἐνδεχομένων πάντα ποιεῖ, ὡς δυ-
νατὸν ἄριστα καὶ κάλλιστα. τὸ δὲ σχῆμα τοῦτο κάλλιστον, τὸ αὐτὸ αὐτῷ
ια' ὁμοιότατον. Διὰ τί ἐὰν κύκλος ῥιφῇ, τὸ μὲν
πρῶτον εὐθεῖαν γράφει, παυόμενος δὲ ἕλικα, ἕως ἂν πέσῃ.

ἐρυγμός ructus

ὀπτούρους cuneos

Spiritus maior est quam aqua potentia

Organicae partes i. instrumentariis officiis deputatae

Archytas

Extrema in orbem formari a natura solere

ἕλικα cocleam sive claviculam

ἢ εὐθεῖαν μὲν τὸ πρῶτον, ὅτι ὁμοίως ἔνθεν καὶ ἔνθεν ὁ ἀὴρ ἀποῤῥεῖ· ἴσης οὖν οὔσης τῆς ῥοπῆς ἔνθεν καὶ ἔνθεν, ἀνάγκη καὶ τὴν γραμμὴν τοιαύτην εἶναι, ἣ ἴσον διαιρεῖ τὸν τόπον ἔνθεν καὶ ἔνθεν. τοιαύτη δέ ἐστιν εὐθεῖα. ὅταν ῥέψῃ ἐπὶ θάτερον μέρος διὰ ἀνωμαλίαν τοῦ περιϊσταμένου ἀέρος, οὐκέτι ἴσην γράφει τῶν τε ἐντὸς καὶ τῶν ἐκτὸς μέρος, ἀλλὰ ἀνάγκη περιφερῆ.

ιβ' Διατί τοῖς ἄνισον τὸ βάρος ἔχουσι μεγέθεσιν, ἐάν τις κουφότερον κινῇ τῶν μερῶν, κύκλῳ περιφέρεται τὸ βαλλόμενον, οἷον τοῖς μεμολιβδωμένοις ἀστραγάλοις συμβαίνει, ἐάν τις βάλλῃ τὸ κουφότερον πρὸς αὐτὸν στρέψας μέρος. ἢ ὅτι τὸ βαρύτερον ἀδύνατον ἰσοδρομεῖν τῷ κουφοτέρῳ ἀπὸ τῆς αὐτῆς ἰσχύος ῥιφθέν. ἐπεὶ δὲ ἀνάγκη μὲν κινεῖσθαι, ἐξ ἴσου δὲ καὶ ἐπ' εὐθείας ἀδύνατον, ἀνάγκη εἰς τὸ ἐντὸς φερόμενον κύκλῳ φέρεσθαι, οἷον εἰ ὅλως τι ἦν αὐτοῦ ἀκίνητον διὰ βάρος ἐν μέσῳ. τὸ μὲν πρὸς τῷ ἀφιέντι εἰς τὸ πρόσθεν ἂν ἐκινήθη αὐτοῦ μέρος, τὸ δὲ ὑπ' ἐκεῖνα, πρὸς τὸν ἀφιέντα. ἐπεὶ δὲ κινεῖται μὲν τὸ πᾶν, ἔχει δὲ ἐν μέσῳ τὸ βάρος φερόμενον, ἀνάγκη καὶ ταυτὸ τοῦτο ποιεῖν.

ιγ' Διατί τὰ φερόμενα, ὅταν ἀντιπέσῃ, ἀφάλλεται εἰς τοὐναντίον ᾗ πέφυκε φέρεσθαι, καὶ πρὸς ὁμοίας γωνίας. ἢ ὅτι οὐ μόνον ἐκείνην φέρεται τὴν φορὰν ἣν φέρεται κατὰ τὸ οἰκεῖον μέρος, ἀλλὰ καὶ τὴν ὑπὸ τοῦ ἀφιέντος γινομένην. ἡ μὲν οὖν οἰκεία παύεται, ὅταν εἰς τὸν οἰκεῖον ἔλθῃ τόπον· ἅπαν γὰρ ἠρεμεῖ ἐλθὸν εἰς ὃν φέρεται τόπον κατὰ φύσιν. καθ' ἣν δ' ἔχει ἀλλοτρίαν, ἀνάγκη ἔτι κινεῖσθαι. οὐκ εἰς τὸ πρόσθεν δέ, διὰ τὸ κωλύεσθαι, ἀλλ' ἢ εἰς τὸ πλάγιον, ἢ εἰς τὸ ὀρθόν. ἅπαντα δὲ ἀποπηδᾷ πρὸς ὁμοίας γωνίας, διὰ τὸ φέρεσθαι μὲν ἐνταῦθα, οὗ ἡ κίνησις φέρει, ἣν ἐποίησεν ὁ ἀφείς. ἐκεῖ δὲ πρὸς ὀξεῖαν, ἢ πρὸς ὀρθὴν φέρεσθαι συμβαίνει. ἐπεὶ οὖν τὸ ἀντικροῦσαν κωλύει τὴν εἰς εὐθὺ κίνησιν, ὁμοίως κωλύει τὸ φερόμενον καὶ τὴν φορὰν αὐτοῦ. ὥσπερ οὖν ἐν τοῖς κατόπτροις τὸ ἄκρον τῆς εὐθείας οὗ ξυνέπεσεν ἡ ὄψις φαίνεται, καὶ ἐν τοῖς φερομένοις οὕτω τὸ

ἐναντίον

Tali opplumbati

□ cf. μεῖζ· ex utroq: interprete

ἐναντίον γίνεται. τοσαύτην γὰρ γωνίαν ἀπέωσται, ὅσην γίνεται κατὰ τὴν κορυφήν. δεῖ δὲ νοῆσαι μετακινουμένην τὴν γωνίαν ἐκ τῆς φορᾶς. τούτου δὲ γινομένου, φανερὸν ὅτι ὁμοίως πρὸς γωνίας ἀφάλλεται.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΟΣΑ ΠΕΡΙ ΕΜΨΥΧΑ.

α' Διατί οἱ ἀσύμμετροι παρ' ἀλλήλους θεωρούμενοι μείζους φαίνονται ἢ καθ' αὑτοὺς μόνοι. ἢ ὅτι τὸ σύμμετρόν ἐστιν ἕν. καὶ ἡ συμμετρία ἐστὶν ἕν, ὅτι μάλιστα, ἓν ποιεῖ. τὸ δὲ ἓν ἀδιαίρετον βούλεται εἶναι, τὸ δὲ ἀδιαίρετον, ἔλαττόν ἐστιν. ἡ δὲ συμμετρία κατὰ τὴν διαφορὰν πολλὰ ποιεῖ. καθ' αὑτὰ μὲν οὖν θεωρούμενα μᾶλλον λανθάνει ὅτι πολλὰ τὰ μεγέθη ἐστί. παρ' ἄλληλα δὲ τὸ μὲν οὖν ἀδιαίρετον, ἓν φαίνεται, καὶ ἡ θεωρία μία ἐστὶν αὐτοῦ διὰ τὴν συμμετρίαν. τὸ δὲ ἀσύμμετρον ὡς πολλὰ ὄν, θεωρίαν ποιεῖ πλειόνων καὶ μείζων φαίνεται, τὸ ἓν ὂν πολλὰ φαίνεσθαι. ἔχει γὰρ τήν τε τοῦ μεγέθους καὶ τὴν συνέχειαν φύσιν, καὶ τὴν τοῦ ἀριθμοῦ κατὰ τὸ ἀνώμαλον τῶν μερῶν. διόπερ εἰκότως τὴν ἐξ ἀμφοῖν αὔξησιν ἔχον μεῖζον φαίνεται παρὰ τὸ ἁπλοῦν ἢ ἕν.

β' Διατί ἐπὶ μῆκος μᾶλλον τὰ ζῶα καὶ τὰ φυτὰ φύεται. ἢ ὅτι τὸ μῆκος μὲν τρὶς αὔξεται, τὸ δὲ

γ' πλάτος δίς, τὸ δὲ βάθος ἅπαξ. ἔστι γὰρ μῆκος τὸ ἀπὸ τῆς ἀρχῆς πρῶτον, ὥστε μόνον τε αὔξεται, καὶ ἅμα τῷ πλάτει πολλαπλάσιον γινόμενον. ἔτι δὲ ἅμα τῷ βάθει. τὸ δὲ πλάτος δίς, καθ' ἑαυτό τε καὶ ἅμα τῷ μεγέθει.

Πῶς τὸ πρότερον καὶ ὕστερον δεῖ λαβεῖν. πότερον ὥσπερ ἡμῶν οἱ ἐπὶ Τροίας, κἀκείνων οἱ πρὸ αὐτῶν, καὶ ἀεὶ οἱ ἐπάνω πρότεροί εἰσιν. ἢ εἴπερ ἀρχή τίς ἐστι καὶ μέσον καὶ τέλος τοῦ παντός, καὶ ὅταν γηράσκων τις ἐπὶ τὸ πέρας ἔλθῃ, καὶ πάλιν ἐπαναστρέψῃ ἐπὶ τὴν ἀρχήν, τὰ δὲ ἐγγυτέρω τῆς ἀρχῆς πρότερα, τί κωλύει ἡμᾶς εἰς τῶν πρὸς τὴν ἀρχὴν εἶναι μᾶλλον. εἰ δὲ πρὸς τοῦτο, κἂν πρότεροι εἴημεν. ὥσπερ ἐπὶ τοῦ οὐρανοῦ καὶ ἑκάστου τῶν ἄστρων φορὰ κύκλος τίς ἐστι, τί κωλύει καὶ τὴν γένεσιν καὶ τὴν ἀ-

⌐ negatio deest. ὅτι.
^ si Theodori traducti
oni fides adhibetur.

□ Sic legit uetus interpres at Theodor. ἀσυμμετρία legere uidetur
uertens res immodica.

Cur & animalia & plantae in longitudinem crescant

∴ πλείων καὶ μεῖζον · ex
utroq: interprete.
^ deest ὅτι. ex uete. in.
□ φαίνεσθαι ex ue. in

φθορὰν τῶν φθαρτῶν τοιαύτην εἶναι· ὥστε ταῦτα πά-
λιν γίνεσθαι καὶ φθείρεσθαι· καθάπερ καὶ φασὶ κύκλον εἶ-
ναι τὰ ἀνθρώπινα· τὸ μὲν δὴ τῷ ἀριθμῷ τοὺς αὐτοὺς ἀξι-
οῦν εἶναι ἀεὶ τοὺς γινομένους, εὔηθες· τὸ δὲ τῷ εἴδει, μᾶλλον ἄν
τις ἀποδέξαιτο· ὥστε καὶ αὐτοὶ πρότεροι ἂν εἶμεν, καὶ θείη ἄν
τις τὴν τοῦ εἱρμοῦ τάξιν τοιαύτην εἶναι, ὥστε πάλιν ἐπανα-
κάμπτειν ἐπὶ τὴν ἀρχήν, καὶ συνεχὲς ποιεῖν, καὶ ἀεὶ κατὰ ταυτὰ
ἔχειν· τοὺς γὰρ ἀνθρώπους φησὶν Ἀλκμαίων διὰ τοῦτο ἀπόλλυσθαι
ὅτι οὐ δύνανται τὴν ἀρχὴν τῷ τέλει προσάψαι, κομψῶς εἰρηκώς,
εἴ τις ὡς τύπῳ φράζοντος αὐτοῦ δέχοιτο, καὶ μὴ διακριβοῦν ἐ-
θέλοι τὸ λεχθέν· εἰ δὴ κύκλος ἐστί, τοῦ δὲ κύκλου μήτε ἀρχὴ μήτε πέ-
ρας, οὐδ' ἂν πρότεροι εἶεν, τῷ ἐγγύτερον τῆς ἀρ-
χῆς εἶναι, οὔθ' ἡμεῖς ἐκείνων, οὔτ' ἐκεῖ-
νοι ἡμῶν·

Circulum esse res humanas

εἱρμοῦ conformationis ue int.

Alcmaeon

Alcmaeon pulcherrime dicebat homines ideo perire quod nequeant finem principio coniungere

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΟΣΑ ΠΕΡΙ ΦΙΛΟΛΟΓΙΑΝ.

α' Διὰ τί τοὺς μὲν, ἐὰν ἄρξωνται ἀναγινώσκειν, ὕπνος λαμβά-
νει μὴ βουλομένους· τοὺς δὲ βουλομένους ἐγρηγο-
ρέναι, ὅταν λάβωσι βιβλίον, ἢ ὅσοις μὲν εἰσὶ πνευματικαὶ κινή-
σεις διὰ ψυχρότητα τῆς φύσεως, ἢ μελαγχολικῶν χυμῶν, οἷς πνεῦ-
μα ἐν σώματι γίνεται πνευματικὸν ἄπεπτον διὰ ψυχρότητα, τού-
τοις ὅταν μὲν κινῆται ἡ διάνοια καὶ μὴ νοήσῃ ἐπιστήσασά τι, ἐκ-
κρούεται τῇ ἑτέρᾳ κινήσει οὔσῃ καταψυκτικῇ· διὸ μᾶλλον
καθεύδουσιν· ὅταν δὲ ἐρείσωσι πρός τι τὴν διάνοιαν, ὥσπερ ἡ ἀ-
νάγνωσις ποιεῖ, κινοῦνται ὑπὸ τῆς θερμαντικῆς κινήσεως οὐκ
ἐκκρουομένης ὑπ' οὐδενός· ὥστε οὐ δύνανται καθεύδειν· τῶν δὲ
κατὰ φύσιν ἐχόντων, ὅταν στῇ πρὸς ἓν ἡ διάνοια καὶ μὴ μετα-
βάλλῃ πολλαχῇ, ἰσχυροτάτη οὖσα, ἴσχεται, καὶ τὰ ἄλλα ὅσα
ἐστὶ

ἐστὶ περὶ τὸν τόπον τοῦτον· ὧν ἠρέμησις ὁ ὕπνος ἐστίν· ὅταν δὲ
στῇ, καὶ οἷον κοπιάσῃ ὁ νοῦς, βαρύνει τὴν κεφαλὴν τὴν ἐν αὐτῇ, ἢ
ποιεῖ τὸν ὕπνον· κινουμένης δὲ τῆς ψυχῆς κατὰ φύσιν, ὃ καθεύ-
δει· ζῇ γὰρ ὅτι μάλιστα· τὸ δὲ ἐγρηγορέναι, τοῦ ζῆν αἴτιόν ἐστιν, ἢ τὸ κα-
θεύδειν.

β' Διὰ τί οἱ ἐριστικοὶ λόγοι γυμναστικοί εἰσιν; ἢ
ὅτι ἔχουσι τὸ νικᾶν ἢ ἡττᾶσθαι πυκνόν· φιλονείκους οὖν εὐθὺς
ποιοῦσι· καὶ γὰρ νικῶντες διὰ τὸ χαίρειν προάγονται μᾶλ-
λον ἐρίζειν· καὶ ἡττώμενοι, ὡς ἅμα ἀναμαχούμενοι· καὶ οἱ ἐν τοῖς
ἄλλοις ἀγῶσι τοῦτο· διὸ καὶ μαχόμενοι καὶ ἥττους ὄντες πολ-
λάκις οὐ βούλονται διαλύεσθαι.

γ' Διὰ τί τοῖς παραδείγ-
μασι χαίρουσιν οἱ ἄνθρωποι ἐν ταῖς ῥητορείαις καὶ τοῖς λόγοις
μᾶλλον τῶν ἐνθυμημάτων; ἢ ὅτι τῷ τε μανθάνειν χαίρουσι, καὶ
τῷ ταχύ· ῥᾷον δὲ διὰ τῶν παραδειγμάτων καὶ τῶν λόγων μαν-
θάνουσιν· ἃ γὰρ ἴσασιν, ἐστὶ ταῦτα καὶ ἐπὶ μέρους· τὰ δὲ ἐνθυ-
μήματα ἀπόδειξίς ἐστιν ἐκ τῶν καθόλου· ἃ ἧττον ἴσμεν ἢ τὰ
μέρη· ἔτι οἷς ἂν μαρτυρῶσι πλείους, μᾶλλον πιστεύομεν· τὰ δὲ
παραδείγματα καὶ οἱ λόγοι, μαρτυρίαις ἐοίκασιν· αἱ δὲ διὰ
τῶν μαρτύρων ῥᾴδιοι πίστεις· ἔτι τὸ ὅμοιον μανθάνουσιν ἡδέως·
τὸ δὲ παράδειγμα καὶ οἱ μῦθοι, τὸ ὅμοιον δεικνύουσι.

δ' Διὰ τί ῥήτορα μὲν καὶ χρηματιστὴν καὶ στρατηγὸν λέγομεν δεινούς,
αὐλητὴν δὲ καὶ ὑποκριτὴν οὐ λέγομεν; ἢ ὅτι τῶν μὲν, ἡ δύναμις
ἄνευ πλεονεξίας· ἡδονῆς γὰρ στοχαστική ἐστι· τῶν δὲ πρὸ τοῦ πλεο-
νεκτεῖν· ῥήτωρ γὰρ καὶ στρατηγὸς καὶ χρηματιστής, ἀγαθός ἐστιν, ὁ
δυνάμενος πλέον ἔχειν· ἡ δὲ δεινότης μάλιστα ἐν τῷ πλεονε-
κτεῖν ἐστίν.

ε' Διὰ τί τὸν φιλόσοφον τοῦ ῥήτορος οἴ-
ονται διαφέρειν; ἢ ὅτι, ὁ μὲν, τί ἐστιν ἀδικία· ὁ δὲ ὡς ἄδικος ὁ δεῖ-
να· καὶ ὁ μὲν, ὅτι τύραννος· ὁ δὲ οἷον τυραννίς.

ς' Διὰ τί
ἅπερ ἄν τινες προέλωνται, ἐν διατρίβουσι τούτοις, ἐνίοτε
φαύλοις οὖσι μᾶλλον, ἢ ἐν τοῖς σπουδαιοτέροις· οἷον θαυματο-
ποιὸς, ἢ μῖμος, ἢ συρικτὴς μᾶλλον, ἢ ἀστρονόμος ἢ ῥήτωρ.

∴ Ἰύσχυνας ἐστ ex utro q: interprete

Cur homines magis gaudeant exemplis orationum quam commentis i. enthymematis

Per exempla & fabulas facilius discitur

λόγοι i. fabule nota pro Seneca

Enthymema quid

χρηματιστὴς i. rimpatore . theo .

δεινούς i. callidos quos nocemus

Cur putetur philosophus ab rhetore differre

Cur unusquisque trahatur voluptate suorum studiorum etiam si pravorum

εἶναι ἂν βούλοιντο ὃ ταῦτα εἰλόμενος· ἢ ὅτι βουλόμενοι μὲν ἔνιοι τὰ σπουδαιότατα μετέχειν εἴξεσθαι· διὰ δὲ τὸ μὴ πιστεύειν ἑαυτοῖς ὡς δυνησομένοις, διὰ τοῦτο οὐ πράττουσιν. ἢ ὅτι ἐν οἷς οἴεται ἕκαστος κρατιστεύειν, ταῦτα προαιρεῖται· ὃ δὲ αἱρεῖται, καὶ ἐπὶ τοῦτ' ἐπείγεται, νέμων τὸ πλεῖστον ἡμέρας αὐτῷ μέρος· ἵν' αὐτὸς αὑτοῦ τυγχάνῃ κράτιστος ὤν. ὅ τι δ' ἄν τινες ἐξ ἀρχῆς ἕλωνται, καὶ οἷς ἂν συνεθισθῶσιν, οὐδ' ἐκεῖνα δύνανται τὰ βελτίω. διέφθαρται γὰρ ἡ διάνοια διὰ φαύλας προαιρέσεις. Διὰ τί τοὺς μέν, ἂν ἄρξωνται ἀναγινώσκειν, ὕπνος λαμβάνει καὶ μὴ βουλομένους· τοὺς δὲ βουλομένους ποιεῖ ἀδυνάτους ὅταν λάβωσι βιβλίον. ἢ ὅσοις μὲν εἰσὶ πνευματικαὶ κινήσεις διὰ ψυχρότητα φύσεως, ἢ μελαγχολικῶν χυμῶν, ἐξ ὧν περίττωμα γίνεται πνευματικὸν ἄπεπτον διὰ ψυχρότητα, τούτοις ὅταν μὲν κινῆται ἡ διάνοια, καὶ μὴ νοῇ ἐπιστήσασά τι, ἐκκρούεται ἡ ἑτέρα κίνησις· διὸ μᾶλλον μεταβάλλοντες πολὺ τὴν διάνοιαν, καθεύδουσιν. ἡττᾶται γὰρ ἡ πνευματική· ὅταν δὲ ἐρείσωσι πρός τι τὴν διάνοιαν, ὅπερ ἡ ἀνάγνωσις ποιεῖ, κινοῦνται ὑπὸ τῆς πνευματικῆς κινήσεως, οὐκ ἐκκρουομένοις ὑπ' οὐδενός· ὥστε οὐ δύνανται καθεύδειν. τῶν δὲ κατὰ φύσιν ἐχόντων, ὅταν στῇ πρός τι ἡ διάνοια καὶ μὴ μεταβάλλῃ πολλαχῇ, ἵσταται καὶ τὰ ἄλλα ὅσα περὶ τὸν τόπον, ὧν ἠρέμησις ὁ ὕπνος ἐστίν. ἑνὸς γὰρ κυριοῦ στάντος ὥσπερ ἐν τροπῇ, στάντα τὰ ἄλλα μόρια, πέφυκεν ἵστασθαι. φύσει γὰρ ἄνω τὸ κοῦφον φέρεται· τὸ δὲ βαρύ, κάτω. ὅταν οὖν ἡ ψυχὴ κινῆται κατὰ φύσιν, οὐ καθεύδει. οὕτω γὰρ ἔχει. ὅταν δὲ στῇ καὶ οἷον κοπιάσῃ, ὁ μὲν νοῦς μεταβάλλει· καὶ ἄνω τὸ σωματῶδες πρὸς τὴν κεφαλὴν ἰόντα, ποιεῖ τὸν ὕπνον. ὅσοις δ' οὖν ἡ ἀνάγνωσις, κωλύει καθεύδειν. ἐστὶ δὲ οὐδὲ τὸ νοεῖν. ὠφελεῖ γὰρ ἡ ψυχὴ τότε μᾶλλον· ἀλλὰ διὰ τὸ μεταβάλλειν καὶ ἀγρυπνία· ἐπεὶ καὶ νοήσεις αἱ τοιαῦται, ἀγρυπνοῦσιν· ἐν αἷς ζητεῖ

ἡ ψυχὴ

διέφθαρται ἡ διάνοια διὰ φαύλας προαιρέσεις

Cur alij legere librum adorti dormiunt · alij uigilant

ἡ ψυχὴ καὶ ἀπορεῖ, ἀλλ' οὐκ ἐν αἷς θεωρεῖ· ἐκεῖ μὲν γὰρ ἀοριστεῖν ποιοῦσιν, αὗται δὲ οὔ.

η' Διὰ τί ἐν τοῖς ἐριστικοῖς οὐκ ἔνεστιν ἀδολεσχία, ἢ ὅτι συλλογισμὸς ἐστὶ φαινόμενος, ἐν ὀλίγοις δὲ ὁ συλλογισμός· καὶ ἐὰν μακροῦ χρόνου γινομένου, ὁ παραλογισμὸς δῆλος· καὶ ἐστὶν ὃ ἔδωκεν ἀναλαβεῖν.

θ' Διὰ τί ποτε τῶν ἱστοριῶν ἥδιον ἀκούομεν τῶν περὶ ἓν συνεστηκυιῶν, ἢ τῶν περὶ πολλὰ πραγματευομένων. ἢ διότι τοῖς γνωριμωτέροις μᾶλλον προσέχομεν, καὶ ἥδιον αὐτῶν ἀκούομεν. γνωριμώτερον δὲ ἐστὶ τὸ ὡρισμένον τοῦ ἀορίστου. τὸ μὲν οὖν ἓν ὥρισται· τὰ δὲ πολλά, τοῦ ἀπείρου μετέχει.

ι' Διὰ τί ἡδόμεθα ἀκούοντες τὰ μήτε λίαν παλαιά, μήτε κομιδῇ νέα. ἢ διότι τοῖς μὲν πόρρω ἀφεστῶσιν ἀπιστοῦμεν· ἐφ' οἷς δὲ ἀπιστοῦμεν, οὐχ ἡδόμεθα, τὰ δὲ ὥσπερ ἔτι αἰσθανόμεθα. καὶ περὶ τούτων ἀκούοντες οὐχ ἡδόμεθα.

In disputationibus contentiosis nunquam incidere nugationem · uult Aristoteles significare quod uulgo dici solet respondendum esse ad punctum

Historias iucundiores esse que circa unam rem uersantur quam que circa plures

Oblectamur audientes res que nec nimium antique nec nimium recentes sunt

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΟΣΑ ΠΕΡΙ ΑΡΜΟΝΙΑΝ.

α' Διὰ τί οἱ πονοῦντες καὶ οἱ ἀπολαύοντες αὐλοῦσιν. ἢ ἵνα οἱ μὲν ἧττον λυπῶνται, οἱ δὲ μᾶλλον χαίρωσι.

β' Διὰ τί πορρώτερον ὁ αὐτὸς τῇ αὐτῇ φωνῇ γεγωνεῖ, μετὰ πλειόνων ᾄδων καὶ βοῶν, ἢ μόνος. ἢ ὅτι τὸ ἀθρόως τι ποιεῖν, ἢ θλίβειν ἢ ὠθεῖν, οὐ τοσαυταπλάσιον ἐστὶν ὅσος ὁ ἀριθμός, ἀλλ' ὥσπερ ἡ γραμμὴ ἡ δίπους οὐ διπλάσιον, ἀλλὰ τετραπλάσιόν τι γράφει, οὕτω συντιθέμενα, πλέον ἰσχύει κατὰ τὸν ἀριθμόν, ἢ ὅταν ᾖ διῃρημένα. ἀθρόως οὖν ὄντων, μία γίνεται ἡ τῆς φωνῆς ἰσχύς· ἢ ἅμα ὠθεῖ τὸν ἀέρα, ὥστε πολλαπλάσιον προϊέναι· καὶ γὰρ ἡ ἐκ πάντων φωνή, μιᾶς ἑκάστης πολλαπλάσιος.

γ' Διὰ τί τὴν παρυπάτην ᾄδοντες μάλιστα ἀπορρήγνυνται, οὐχ ἧττον ἢ τὴν νήτην καὶ τὰ ἄνω· μετὰ δὲ διαστάσεως πλείονος. ἢ ὅτι χαλεπώτατα ταύτην ᾄδουσι·

Cur utroque tempore & laeto & tristi musica nos oblectat ·

Parypate chorda

Nete

.: sic legendu(m) secundu(m) ueterem interpretem. Theodor(us) aute(m) καλεῖ φύλαττον legit · i · seruabant

ἢ αὐτὴ ἀρχή. τὸ δὲ χαλεπὸν διὰ τὴν ἐπίτασιν τῆς φωνῆς. ἐν
δ' τοῖς δὲ τόνοις πονοῦντα δὲ μᾶλλον διαφθείρεται. Διὰ τί δὲ
ταύτην χαλεπῶς, τὴν δὲ ὑπάτην ῥᾳδίως. καίτοι δίεσις ἑκατέ-
ρας. ἢ ὅτι μετὰ ἀνέσεως ἡ ὑπάτη. καὶ ἅμα μετὰ τὴν σύστασιν ἐλα-
φρὸν τὸ ἄνω βάλλειν. διὰ ταὐτὸ δὲ ἔοικε καὶ τὰ πρὸς μίαν λεγό-
μενα πρὸς ταύτην ἢ παραμέσην. δεῖ γὰρ μετὰ συννοίας καὶ κα-
τασάσεως οἰκειοτάτη τῶν ἠθῶν πρὸς τὴν κούλησιν. τὸ δὲ δὴ μετὰ
ε' συμφωνίας, τίς ἡ αἰτία. Διὰ τί ἥδιον ἀκούουσιν ᾀδόν-
των, ὅσα προεπιστάμενοι τυγχάνωσι τῶν μελῶν, ἢ ὧν μὴ ἐπίστανται.
πότερον ὅτι μᾶλλον δῆλος ὁ τυγχάνων, ὥσπερ σκοποῦ, ὅταν γνω-
ρίζωσι τὸ ᾀδόμενον, τοῦτο δὲ ἡδὺ θεωρεῖν. ἢ ὅτι ἡδὺ τὸ μανθά-
νειν. τούτου δὲ αἴτιον τὸ μὲν, λαμβάνειν τὴν ἐπιστήμην. τὸ δὲ, χρῆ-
σθαι καὶ ἀναγνωρίζειν. ἔστι μέντοι τὸ σύνηθες, ἡδὺ μᾶλλον τοῦ ἀσυνή-
ϛ' θους. Διὰ τί ἡ παρακαταλογὴ ἐν ταῖς ᾠδαῖς, τραγικόν. ἢ διὰ
τὴν ἀνωμαλίαν. παθητικὸν γὰρ τὸ ἀνώμαλες, καὶ ἐν μεγέθει
τύχης ἢ λύπης. τὸ δὲ ὁμαλὲς, ἔλαττον γοῶδες.
ζ' Διὰ τί οἱ ἀρχαῖοι ἑπταχόρδους ποιοῦντες τὰς ἁρμονίας, τὴν ὑ-
πάτην, ἀλλ' οὐ τὴν νήτην κατέλιπον. πότερον τοῦτο ψεῦδος. ἀμ-
φοτέρας γὰρ κατέλιπον, τὴν δὲ τρίτην ἐξῄρουν. ἢ οὔ. ἀλλ' ὅτι ἡ
βαρυτέρα ἰσχύει τὸν τῆς ὀξυτέρας φθόγγον. ὥστε μᾶλλον ἡ ὑ-
πάτη ἀπεδίδου τὸ ἀντίφωνον, ἢ ἡ νήτη. ἐπεὶ τὸ ὀξὺ δυνάμεως μᾶλ-
η' λον. τὸ δὲ βαρὺ, ῥᾷον φθέγξασθαι. Διὰ τί ἡ βαρεῖα τὸν τῆς ὀ-
ξείας ἰσχύει φθόγγον. ἢ ὅτι μεῖζον τὸ βαρύ. τῇ γὰρ ἀμβλείᾳ ἔοικε
θ' τὸ δὲ τῇ ὀξείᾳ γωνίᾳ. Διὰ τί ἥδιον τῆς μονῳδίας ἀκούο-
μεν, ἐάν τις πρὸς αὐλὸν ἢ λύραν ᾄδῃ. καίτοι πρὸς χορδὰς καὶ τὸ
αὐτὸ μέρος ἐκ δυεῖν ἀμφοτέρως. εἰ γὰρ ἔτι μᾶλλον τὸ αὐτὸ, πλέ-
ον ἔδει πρὸς πολλοὺς αὐλητὰς, ἔτι ἥδιον εἶναι. ἢ ὅτι τυγχάνων δῆ-
λος τοῦ σκοποῦ μᾶλλον, ὅταν πρὸς αὐλὸν ἢ λύραν. τὸ δὲ πρὸς
πολλοὺς αὐλητὰς ἢ λύρας πολλὰς, οὐχ ἡδύ. ὅτι ἀφανίζει τὴν ᾠδήν.
ι' Διὰ τί εἰ ἥδιον ἡ ἀνθρώπου φωνὴ, ἡ ἄνευ λόγου ᾄδοντος οὐχ ἡδίων ἐστίν.

οἷον

:: μῆλος. s(ed). ex utroq(ue) interprete

πονοῦσα μᾶλλον διαφθείρεται

Hypate.

Diesis · δίεσις · theodorus relinq(ui)t intactu(m) no(m)e(n) / uet(us) · in · diuiso

Paramete

Consuetu(m) dulce magis q(uam) inconsuetum

παρακαταλογή mutatio & uarietas

Septe(m) fidibus concent(us) disponebant antiqui

Trite · Tertia uertit uetus int(erpres) · theodor(us) graecu(m) nome(n) intactu(m) reliquit

ἀντίφωνον antiphonu(m) theod. uertit & ite(m) uetus interpres

Grauis sonu(s) ualet acute

Monodie · i · solitarie cantilene · theo ·

οἷον τερετιζόντων, ἀλλ' αὐλὸς ἢ λύρα. ἢ οὐδ' ἐκεῖ, ἐὰν μὴ μιμῆται, ὁ-
μοίως ἡδύ. οὐ μὴν ἀλλὰ καὶ διὰ τὸ ἔργον αὐτό. ἡ μὲν γὰρ φωνὴ ἡδίων ἡ τοῦ
ἀνθρώπου. κρουστικὰ δὲ μᾶλλον τὰ ὄργανα τοῦ στόματος. διὸ ἥδιον ἀ-
ια' κούειν ἢ τερετίζειν. Διὰ τί ἡ ἀποχοῦσα ὀξυτέρα. ἢ ὅτι ἐλάττον ἀ-
ιβ' σθενεστέρα γινομένη. Διὰ τί τῶν χορδῶν ἡ βαρυτέρα ἀεὶ τὸ μέλος
λαμβάνει. ἂν γὰρ δέηται ᾆσαι τὴν παραμέσην, σὺν ψιλῇ τῇ μέ-
σῃ, γίνεται τὸ μέσον οὐθὲν ἧττον. ἐὰν δὲ τὴν μέσην, δέον ἄμφω, ψιλὰ οὐ γίνε-
ται. ἢ ὅτι τὸ βαρὺ μέγα ἐστίν, ὥστε κρατερόν. καὶ ἔνεστιν ἐν τῷ μεγά-
λῳ τὸ μικρόν. καὶ τῇ διαλήψει δύο νῆται ἐν τῇ ὑπάτῃ γίνονται.
ιγ' Διὰ τί ἐν τῇ διὰ πασῶν, τοῦ μὲν ὀξέος ἀντίφωνον γίνεται τὸ
βαρύ. τοῦ δὲ τὸ ὀξύ, οὔ. ὅτι μάλιστα μὲν ἐν ἀμφοῖν ἐστι τὸ ἀμφοῖν
ιδ' μέλος. εἰ δὲ μή, οὔ τοῦ βαρέος. μεῖζον γάρ. Διὰ τί λανθάνει τὸ διὰ πα-
σῶν, καὶ δοκεῖ ὁμόφωνον εἶναι. οἷον ἐν τῷ φοινικίῳ, καὶ ἐν τῷ ἀνθρώπῳ.
τὰ γὰρ ἐν τοῖς ὀξέσι τονοῦντα, οὐχ ὁμόφωνα, ἀλλ' ἀνάλογον ἀλλήλοις διὰ πα-
σῶν. ἢ ὅτι ὥσπερ ὁ αὐτὸς εἶναι δοκεῖ φθόγγος, διὰ τὸ ἀνάλογον ἰσό-
της ἐστὶ τῶν φθόγγων. τὸ δὲ ἴσον τοῦ ἑνός. ταὐτὸ δὲ τοῦτο καὶ ἐν ταῖς σύριγξιν ἐξα-
ιε' πατῶνται. Διὰ τί οἱ μὲν νόμοι οὐκ ἐν ἀντιστρόφοις ἐποιοῦντο. αἱ δὲ
ἄλλαι ᾠδαὶ αἱ χορικαί. ἢ ὅτι οἱ μὲν νόμοι, ἀγωνιστῶν ἦσαν, ὧν ἤδη
μιμεῖσθαι δυναμένων καὶ διατείνεσθαι, ἡ ᾠδὴ ἐγίνετο μακρὰ καὶ
πολυειδής. καθάπερ οὖν καὶ τὰ ῥήματα, καὶ τὰ μέλη τῇ μιμήσει ἠκολούθει
ἀεὶ ἕτερα γινόμενα. μᾶλλον γὰρ τῷ μέλει ἀνάγκη μιμεῖσθαι, ἢ τοῖς
ῥήμασι. διὸ καὶ οἱ διθύραμβοι ἐπειδὴ μιμητικοὶ ἐγένοντο, οὐκ ἔτι ἔ-
χουσιν ἀντιστρόφους. πρότερον δὲ εἶχον. αἴτιον δὲ, ὅτι τὸ παλαιὸν οἱ ἐ-
λεύθεροι ἐχόρευον αὐτοί. πολλοὺς οὖν ἀγωνιστικῶς ᾄδειν, χαλεπὸν ἦν.
ὥστε ἐναρμόνια μέλη ἐνῆδον. μεταβάλλειν γὰρ πολλὰς μεταβολὰς τῷ ἑνὶ
ῥᾷον ἢ τοῖς πολλοῖς. καὶ τῷ ἀγωνιστῇ ἢ τοῖς τὸ ἦθος φυλάττουσι. διὸ ἁπλού-
στερα ἐποίουν τὰ μέλη. ἡ δὲ ἀντίστροφος, ἁπλοῦν. ἀριθ-
μὸς γάρ ἐστι καὶ ἑνὶ μετρεῖται. τὸ δὲ αὐτὸ αἴτιον καὶ διότι τὰ μὲν ἀπὸ τῆς
σκηνῆς οὐκ ἀντίστροφα. τὰ δὲ τοῦ χοροῦ ἀντίστροφα. ὁ μὲν γὰρ ὑποκρι-
ιϛ' τὴς, ἀγωνιστής. ὁ δὲ χορὸς, ἧττον μιμεῖται. Διὰ τί ἥδιον τὸ ἀντί

.: s(ed). ἀπὸ σώ · ex theodoro uetus interpres impresse lectioni assentitur · & hominem uertit

τερετίζοντες teretantium. theodor(us).

ἀποχοῦσα defines theodor(us)

Paramese

ἔνεστι ἐν τῷ μεγάλῳ τὸ μικρόν.

Antiphonu(m)

Punicu(m)

Atropu(m)

Species cantilene que nomos · i · lex uocabatur no(n) p(er) antistrophos olim agebatur & in ceteris choreicu(m) canticis antistrophi usu(s) no(n) deerat

Dithyrambi

Antistrophos

φωνον τοῦ συμφώνου· ἢ ὅτι μᾶλλον διάδηλον γίνεται τὸ σύμφωνον, ἢ ὅ-
ταν πρὸς τὴν συμφωνίαν ᾄδῃ· ἀνάγκη γὰρ τὴν ἑτέραν ὁμόφωνον εἶναι, ὥστε δύο πρὸς
ιζ'. μίαν φωνὴν γινόμεναι, ἀφανίζουσι τὴν ἑτέραν. Διὰ τί διὰ πέντε οὐκ ᾄδου-
σιν ἀντίφωνα; ἢ ὅτι οὐχ ἡ αὐτὴ ἡ τῆς συμφώνου τῇ συμφωνίᾳ, ὥσ-
περ ἐν τῷ διὰ πασῶν· ἐκείνη γάρ ἐστιν ἐν τῷ βαρεῖ ἀνάλογον ὡς ἡ ὀ-
ξεῖα ἐν τῷ ὀξεῖ· ὥσπερ οὖν ἡ αὐτή ἐστιν ἅμα καὶ ἄλλη. αἱ δὲ ἐν τῷ διὰ
πέντε καὶ διὰ τεσσάρων οὐκ ἔχουσιν οὕτως, ὥστε οὐκ ἐμφαίνεται ὁ τῆς
ιη'. ἀντιθέτου φθόγγος αὐτός. Διὰ τί ἡ διὰ πασῶν συμ-
φωνία ᾄδεται μόνη; μαγαδίζουσι γὰρ ταύτην, ἄλλην δὲ οὐδεμί-
αν. ἢ ὅτι μόνη ἐξ ἀντιφώνων ἐστὶ χορδῶν· ἐν δὲ ταῖς ἀντιφώνοις τὴν
ἑτέραν ἐὰν ᾄδῃ, τὸ αὐτὸ ποιεῖ· ἡ γὰρ μία φωνὴ ἔχει πως τὴν ἀμ-
φοτέρων φωνάς, ὥστε καὶ μιᾶς ᾀδομένης, ἐν ταύτῃ τῇ συμ-
φωνίᾳ ᾄδεται ἡ συμφωνία, καὶ ἀμφοτέρας ᾀδόντων· ἢ τῆς μὲν ᾀ-
δομένης, τῆς δὲ αὐλουμένης, ὥσπερ καὶ μίαν ἀμφοῖν ᾄδουσι. διὸ
μόνη μελῳδεῖται, ὅτι μιᾶς ἔχει χορδῆς τὰ ἀντίφωνα φωνήν.
ιθ'. Διὰ τί δὲ τοῖς ἀντιφώνοις τοῦτο μόνοις ὑπάρχει; ἢ ὅτι μόναι
ἴσον ἀπέχουσι τῆς μέσης· ἡ οὖν μεσότης ὁμοιότητά τινα ποιεῖ τῶν
φθόγγων, καὶ ἐκεῖνο ἡ ἀκοὴ λέγει ὅτι ταὐτὸν τι καὶ ὅτι ἀμφότεραι ἔ-
κ'. σχαται. Διὰ τί ἐὰν μέν τις τὴν μέσην κινήσῃ ἡμῶν, ἁρμόσας τὰς
ἄλλας χορδάς, καὶ χρῆται τῷ ὀργάνῳ, οὐ μόνον ὅταν κατὰ τὸν τῆς
μέσης γένηται φθόγγον, λυπεῖ καὶ φαίνεται ἀνάρμοστον, ἀλλὰ
καὶ κατὰ τὴν ἄλλην μελῳδίαν· ἐὰν δὲ τὴν λιχανὸν ἤ τινα ἄλλον φθόγ-
γον, τότε φαίνεται διαφέρειν μόνον, ὅταν κἀκείνῃ τις χρῆται; ἢ εὐ-
λόγως τοῦτο συμβαίνει; πάντα γὰρ τὰ χρηστὰ μέλη πολλάκις τῇ
μέσῃ χρῆται, καὶ πάντες οἱ ἀγαθοὶ ποιηταὶ πυκνὰ πρὸς τὴν μέσην ἀ-
παντῶσι, κἂν ἀπέλθωσι, ταχὺ ἐπανέρχονται, πρὸς δὲ ἄλλην οὕτως οὐ-
δεμίαν. καθάπερ ἐκ τῶν λόγων ἐνίων ἐξαιρεθέντων συνδέσμων οὐκ ἔστιν ὁ λό-
γος ἑλληνικός, οἷον τὸ τέ καὶ τὸ τοί, ἔνιοι δὲ οὐδὲν λυποῦσι, διὰ τὸ τοῖς μὲν ἀ-
ναγκαῖον εἶναι χρῆσθαι πολλάκις, εἰ ἔσται λόγος, τοῖς δὲ μή, οὕτω καὶ τῶν φθόγ-
γων ἡ μέση, ὥσπερ σύνδεσμός ἐστι, καὶ μάλιστα τῶν καλῶν, διὰ τὸ πλειστάκις
ἐνυπάρχειν

μαγαδίζειν· magadare theodorus uertit

Lichanos

Τέ & τοί in frequenti usu apud graecos

κα'. ἐνυπάρχειν τὸν φθόγγον αὐτῆς. Διὰ τί τῶν ᾀδόντων οἱ βαρύτερον
ᾄδοντες τῶν ὀξὺ ᾀδόντων, ἐὰν ἀπᾴδωσι, σημαίνονται μᾶλλον ἢ κατάδηλοι γίνονται; ὁμοί-
ως δὲ καὶ ἐν τῷ ῥυθμῷ οἱ ἐν τῷ βαρυτέρῳ πλημμελοῦντες, κατάδηλοι
μᾶλλον. πότερον ὅτι πλείων ὁ χρόνος ὁ τοῦ βαρέος, οὗτος δὲ μᾶλλον
αἰσθητός· ἢ ὅτι ἐν πλείονι χρόνῳ πλείω αἴσθησιν παρέχει· τὸ δὲ τα-
κβ'. χὺ καὶ ὀξὺ λανθάνει διὰ τὸ ταχύ. Διὰ τί οἱ πολλοὶ μᾶλλον ᾄδον-
τες τὸν ῥυθμὸν μᾶλλον σώζουσιν ἢ οἱ ὀλίγοι; ἢ ὅτι μᾶλλον πρὸς ἕνα τὸν ἡγε-
μόνα βλέπουσι, καὶ βραδύτερον ἄρχονται, ὥστε ῥᾷον τοῦ αὐτοῦ
κγ'. τυγχάνουσιν· ἐν γὰρ τῷ τάχει ἡ ἁμαρτία πλείων. Διὰ τί διπλα-
σία ἡ νήτη τῆς ὑπάτης; ἢ πρῶτον μέν, ὅτι ἐκ τοῦ ἡμίσεος ἡ χορδὴ
ψαλλομένη καὶ ὅλη συμφωνοῦσι διὰ πασῶν· ὁμοίως δὲ ἔχει ἐπὶ
τῶν συρίγγων· ἡ γὰρ διὰ τοῦ μέσου τῆς σύριγγος τρήματος φωνὴ τῇ
δι᾽ ὅλης τῆς σύριγγος συμφωνεῖ διὰ πασῶν. ἔτι ἐν τοῖς αὐλοῖς τῷ
διπλασίῳ διαστήματι λαμβάνεται τὸ διὰ πασῶν, καὶ οἱ αὐλοτρυπαὶ
οὕτω λαμβάνουσιν. ὁμοίως δὲ καὶ τὸ διὰ πέντε τῷ ἡμιολίῳ. οἱ τὰς
σύριγγας ἁρμοττόμενοι, εἰς μὲν τὴν ὑπάτην ἄκραν τὸν κηρὸν ἐμ-
πλάττουσι, τὴν δὲ νήτην μέχρι τοῦ ἡμίσεος ἀναπληροῦσιν. ὁμοί-
ως δὲ καὶ τὴν διὰ πέντε τῷ ἡμιολίῳ, καὶ διὰ τεσσάρων τῷ ἐπι-
τρίτῳ διαστήματι λαμβάνουσιν. ἔτι οἱ ἐν τοῖς τριγώνοις ψαλ-
τηρίοις, τῆς ἴσης ἐπιτάσεως γινομένης, συμφωνοῦσι διὰ πασῶν,
κδ'. ἡ μὲν διπλασία οὖσα, ἡ δὲ ἡμίσεια τῷ μήκει. Διὰ τί ἐάν τις
ψήλας τὴν νήτην ἐπιλάβῃ, ἡ ὑπάτη μόνη δοκεῖ ἀντηχεῖν; ἢ ὅτι
σύμφωνος μάλιστα γίνεται τῷ φθόγγῳ ὁ ἀπὸ ταύτης ἦχος, διὰ τὸ
σύμφωνος εἶναι· τῷ οὖν συναύξεσθαι τῷ ὁμοίῳ, φαίνεται μό-
κε'. νος· οἱ δὲ ἄλλοι διὰ μικρότητα ἀφανεῖς. Διὰ τί μέση καλεῖται
ἐν ταῖς ἁρμονίαις, τῶν δὲ ὀκτὼ οὐκ ἔστι μέσον; ἢ ὅτι ἑπτάχορδοι
ἦσαν αἱ ἁρμονίαι τὸ παλαιόν· τὰ δὲ ἑπτὰ ἔχει μέσον.
κς'. Διὰ τί ἐπὶ τὸ ὀξὺ ἐπᾴδουσιν οἱ πλεῖστοι; πότερον ὅτι ῥᾷον ὀξὺ
ᾆσαι ἢ βαρύ; ἢ ὅτι χεῖρον τὸ βαρέος ἁμαρτία δέ ἐστι τὸ χεῖρον πρά-
κζ'. ξις. Διὰ τί τὸ ἀκουστὸν μόνον ἔχει τῶν αἰσθητῶν ἦθος; καὶ γὰρ ἐὰν ᾖ ἄνευ

ἀπᾴδειν absonare

ἐν τῷ τάχει ἡ ἁμαρτία πλείων

Nete ad hypatē dupla

αὐλοτρυπαι q tibias perforant uerg: in.

Mese chorda unde dic

Peccare nō aliud est q̄ rem agere deteriore

λόγου μέλος, ὅμως ἔχει ἦθος· ἀλλ' οὐ τὸ χρῶμα, οὐδὲ ἡ ὀσμή, οὐδὲ ὁ χυμός. ἢ ὅτι κίνησιν ἔχει μόνον οὐχ ἣν ὁ ψόφος ἡμᾶς κινεῖ· τοιαύτη μὲν γὰρ καὶ τοῖς ἄλλοις ὑπάρχει· κινεῖ γὰρ καὶ τὸ χρῶμα καὶ τὴν ὄψιν· ἀλλὰ τῆς ἑπομένης τῷ τοιούτῳ ψόφῳ αἰσθανόμεθα κινήσεως. αὕτη δὲ ἔχει ὁμοιότητα, ἔν τε τοῖς ῥυθμοῖς καὶ ἐν τῇ τῶν φθόγγων τάξει τῶν ὀξέων καὶ βαρέων, οὐκ ἐν τῇ μίξει. ἀλλ' ἡ συμφωνία οὐκ ἔχει ἦθος. ἐν δὲ τοῖς ἄλλοις αἰσθητοῖς τοῦτο οὐκ ἔστιν. αἱ δὲ κινήσεις αὗται πρακτικαί εἰσιν, αἱ δὲ πράξεις ἤθους σημασία ἐστί.

Cur nomi .i. leges ple[re]que cantilene appellatur

κη'. Διὰ τί νόμοι καλοῦνται οὓς ᾄδουσιν; ἢ ὅτι πρὶν ἐπίστασθαι γράμματα ᾖδον τοὺς νόμους, ὅπως μὴ ἐπιλάθωνται, ὥσπερ ἐν τοῖς Ἀγαθύρσοις ἔτι εἰώθασι; καὶ τῶν ὑστέρων οὖν ᾠδῶν τὰς πρώτας, τὸ αὐτὸ ἐκάλεσαν ὥσπερ τὰς πρώτας.

Agathyrsi leges cantabant aristotelis tpe ne illas oblivioni mandarent

κθ'. Διὰ τί οἱ ῥυθμοὶ καὶ τὰ μέλη φωνὴ οὖσα ἤθεσιν ἔοικεν, οἱ δὲ χυμοὶ οὔ, ἀλλ' οὐδὲ τὰ χρώματα καὶ αἱ ὀσμαί; ἢ ὅτι κινήσεις εἰσὶν ὥσπερ καὶ αἱ πράξεις; ἤδη δὲ ἡ μὲν ἐνέργεια ἠθικὸν καὶ ποιεῖ ἦθος, οἱ δὲ χυμοὶ καὶ τὰ χρώματα οὐ ποιοῦσιν ὁμοίως.

Agathyrsi pop.

λ'. Διὰ τί οὔθ' ἡ ὑποδωριστὶ οὔθ' ἡ ὑποφρυγιστὶ οὐκ ἔστιν ἐν τραγῳδίᾳ χορικόν; ἢ ὅτι οὐκ ἔχει ἀντίστροφον· ἀλλ' ἀπὸ σκηνῆς, μιμητικὴ γάρ.

Hypodoriu

Hypophrygiu

λα'. Διὰ τί οἱ περὶ Φρύνιχον ἦσαν μᾶλλον μελοποιοί; ἢ διὰ τὸ πολλαπλάσια εἶναι τότε τὰ μέλη ἐν ταῖς τῶν μέτρων τραγῳδίαις.

Phrynich)

Diapaso consonantia unde sic dicta

λβ'. Διὰ τί διὰ πασῶν καλεῖται, ἀλλ' οὐ κατὰ τὸν ἀριθμὸν δι' ὀκτώ, ὥσπερ καὶ διὰ τεσσάρων καὶ διὰ πέντε; ἢ ὅτι ἑπτὰ ἦσαν αἱ χορδαὶ τὸ ἀρχαῖον· εἶτ' ἐξελὼν τὴν τρίτην Τέρπανδρος τὴν νήτην προσέθηκε, καὶ ἐπὶ τούτου ἐκλήθη διὰ πασῶν, ἀλλ' οὐ δι' ὀκτώ· δι' ἑπτὰ γὰρ ἦν.

Terpander

Nete a terpandro addita tertia exempta

λγ'. Διὰ τί εὐαρμοστότερον ἀπὸ τοῦ ὀξέος ἐπὶ τὸ βαρὺ ἢ ἀπὸ τοῦ βαρέος ἐπὶ τὸ ὀξύ; πότερον ὅτι τὸ ἀπὸ τῆς ἀρχῆς γίνεται ἄρχεσθαι· καὶ γὰρ μέση καὶ ἡγεμὼν ὀξυτάτη τοῦ τετραχόρδου· τὸ δὲ οὐκ ἀπ' ἀρχῆς, ἀλλ' ἀπὸ τελευτῆς. ἢ ὅτι τὸ βαρὺ ἀπὸ τοῦ ὀξέος γενναιότερον καὶ εὐφωνότερον.

Διὰ τί δὶς μὲν δι' ὀξειῶν ἢ δὶς διὰ τεττάρων οὐ συμφωνεῖ, δὶς δὲ διὰ πασῶν; ἢ ὅτι ἡ δὶς δι' ὀξειῶν, οὐδὲ δὶς διὰ τεττάρων ἐστίν· τὸ δὲ διὰ τεττάρ.

Diapaso optima symphonia

λδ'. καὶ διὰ πέντε. Διὰ τί ἡ διὰ πασῶν καλλίστη συμφωνία; ἢ ὅτι ἐν

ὅλοις

ὅλοις ὅροις οἱ λόγοι εἰσίν· οἱ δὲ τῶν ἄλλων οὐκ ἐν ὅλοις. ἐπεὶ γὰρ ἡ μὲν νήτη διπλασία τῆς ὑπάτης, ὅσα ἡ νήτη δύο, ἡ ὑπάτη ἕν· καὶ ὅσα ἡ ὑπάτη δύο, ἡ νήτη τέσσαρα· καὶ ἀεὶ οὕτως. τῆς δὲ μέσης ἡμιόλια· τὸ γὰρ διὰ πέντε ἡμιόλιον, οὐκ ἐν ὅλοις ἀριθμοῖς ἐστίν· οἷον γὰρ ἐν τὸ ἔλαττον, τὸ μεῖζον τοσοῦτον καὶ ἔτι τὸ ἥμισυ· ὥστε οὐχ ὅλα πρὸς ὅλα συγκρίνεται, ἀλλ' ἐπιστε μόρια. ὁμοίως δὲ καὶ ἐν τῷ διὰ τεσσάρων ἔχει· τὸ γὰρ ἐπίτριτόν ἐστιν, ὅσον τὸ μεῖον, καὶ ἔτι ἓν τῶν τεσσάρων ἐπίτριτόν ἐστιν. ἢ ὅτι τελεωτάτη ἐξ ἀμφοτέρων οὖσα, καὶ ὅτι μέτρον τῆς μελῳδίας, διὰ παντὸς τὸ φερόμενον, ἢ κατὰ μέσον κίνησις σφοδροτάτη· ἀρχομένου δ' ἀλήγοντος, μαλακωτέρα· ὅτε δὲ σφοδροτάτη ἡ κίνησις, καὶ ἡ φωνὴ ὀξυτέρα τοῦ φερομένου. διὸ καὶ χορδαὶ ἐπιτεινόμεναι, ὀξύτερον φθέγγονται· θᾶττον γὰρ ἡ κίνησις γίνεται. ἡ δὲ φωνή, ἢ ἀέρος, ἢ ἄλλου τινὸς φορά. τὴν ἀνὰ μέσον τὸ ὕστερον, ὀξυτάτην δεῖ ἵεσθαι· ὥστε εἰ τοῦτο μὴ συμβαίνει, οὐκ ἂν εἴη τινὸς φορά.

λϛ'. Διὰ τί ἐὰν μὲν ἡ μέση κινηθῇ, καὶ αἱ ἄλλαι χορδαὶ ἠχοῦσι φθειρόμεναι· ἐὰν δὲ αὐτὴ μένῃ, τῶν δ' ἄλλων τις κινηθῇ, αὐτὴ μόνη φθέγγεται; ἢ ὅτι τὸ ἡρμόσθαι ἐστὶν ἁπάσαις· ἡ τάξις ἡ ἑκάστης, ἤδη δὲ ἐκείνην· ἀρθέντος οὖν τοῦ αἰτίου τοῦ ἡρμόσθαι καὶ τοῦ συνέχοντος, οὐκέτι ὁμοίως φαίνεται ὑπάρχειν. μιᾶς δὲ ἀναρμόστου οὔσης, τῆς δὲ μέσης μενούσης, ἐν λόγῳ τὸ κατ' αὐτὴν ἐκλειπόμενον· ταῖς γὰρ ἄλλαις ὑπάρχει τὸ ἡρμόσθαι.

Notandu hoc

λζ'. Διὰ τί τῆς μὲν φωνῆς ὀξέος ὄντος κατὰ τὸ ὀλίγον, τοῦ δὲ βαρέος κατὰ τὸ πολύ, τὸ μὲν γὰρ βαρὺ διὰ τὸ πλῆθος ἐστί, τὸ δὲ ὀξὺ δι' ὀλιγότητα, τάχιον δ' ὃν μᾶλλον ᾄδειν τὰ ὀξέα ἢ τὰ βαρέα, καὶ ὀλίγοι τὰ ἄνω ᾄδειν· καὶ οἱ νόμοι ὄρθιοι καὶ οἱ ὀξεῖς χαλεποὶ ᾆσαι διὰ τὸ ἀνατεταμένοι εἶναι. καίτοι ἔλαττον ἔργον τὸ ὀλίγον κινεῖν, ἢ τὸ πολύ· ὥσπερ ἀέρα. ἢ οὐ ταὐτό γε ὀξύφωνον εἶναι φύσει, καὶ τὸ ὀξὺ ᾄδειν· ἀλλὰ φύσει μὲν ὀξύφωνα πάντα διὰ ἀσθένειαν, τὸ μὴ δύνασθαι πολὺν κινεῖν ἀέρα, ἀλλ' ὀλίγον· ὀλίγος δὲ ταχὺ φέρεται. ἐν δὲ τῷ ᾄδειν τὸ ὀξύ, δυνάμεως σημεῖον· τὸ μὲν γὰρ σφοδρῶς φερόμενον, ταχὺ φέρεται, διὸ τὸ ὀξὺ δυνάμεως σημεῖον. διὸ καὶ οἱ ἐκτικοὶ ὀξύφωνοι. καὶ ἔργον τὰ ἄνω ᾄδειν· τὰ δὲ βαρέα, κάτω.

:. κινήσεως f. ex utroq: .m.

□ f. ἀντιφώνου ex theo.

ῥυθμὸς Numerus
μέλος Modulus
συμφωνία canticu(m)

λη'. Διὰ τί ῥυθμῷ καὶ μέλει καὶ ὅλως ταῖς συμφωνίαις χαίρουσι πάντες; ἢ ὅτι ταῖς κατὰ φύσιν κινήσεσι χαίρομεν κατὰ φύσιν. σημεῖον δὲ, τὸ τὰ παιδία εὐθὺς γενόμενα χαίρειν αὐτοῖς. διὰ δὲ τὸ ἔθος, τρόποις μελῶν χαίρομεν. ῥυθμῷ δὲ χαίρομεν, διὰ τὸ γνώριμον καὶ τεταγμένον ἀριθμὸν ἔχειν, καὶ κινεῖν ἡμᾶς τεταγμένως. οἰκειοτέρα γὰρ ἡ τεταγμένη κίνησις φύσει τῆς ἀτάκτου, ὥστε καὶ κατὰ φύσιν μᾶλλον. σημεῖον δέ· πονοῦντες γὰρ καὶ πίνοντες καὶ ἐσθίοντες τεταγμένα, σώζομεν καὶ αὔξομεν τὴν φύσιν καὶ τὴν δύναμιν. ἀτάκτως δὲ, φθείρομεν καὶ ἐξίσταμεν αὐτήν. αἱ γὰρ νόσοι τῆς τοῦ σώματος οὐ κατὰ φύσιν τάξεως κινήσεις εἰσί. συμφωνίᾳ δὲ χαίρομεν, ὅτι κρᾶσίς ἐστι λόγον ἐχόντων ἐναντίων πρὸς ἄλληλα. ὁ μὲν οὖν λόγος τάξις, ὃ ἦν φύσει ἡδύ. τὸ δὲ κεκραμένον τοῦ ἀκράτου πᾶν ἥδιον. ἄλλως τε καὶ αἰσθητὸν ὂν ἀμφοῖν τοῖν ἄκροιν ἐξ ἴσου τὴν δύναμιν ἔχει ἐν τῇ συμφωνίᾳ λόγος.

Rythmus qd fit hic optime exponit Aristoteles

λθ'. Διὰ τί ἥδιόν ἐστι τὸ σύμφωνον τοῦ ὁμοφώνου; ἢ καὶ τὸ μὲν ἀντίφωνον, σύμφωνόν ἐστι διὰ πασῶν. ἐκ παίδων γὰρ νέων καὶ ἀνδρῶν, γίνεται τὸ ἀντίφωνον. οἳ διεστᾶσι τοῖς τόνοις ὡς νήτη πρὸς τὴν ὑπάτην. συμφωνία δὲ πᾶσα, ἥδιον ἁπλοῦ φθόγγου. δι᾽ ἃ δ᾽ εἴρηται, καὶ τούτων ἡ διὰ πασῶν ἡδίστη. τὸ ὁμόφωνον ἁπλοῦν ἔχει φθόγγον. μαγαδίζουσι δὲ ἐν τῇ διὰ πασῶν συμφωνίᾳ. ὅτι καθάπερ ἐν τοῖς μέτροις οἱ πόδες ἔχουσι πρὸς αὐτοὺς λόγον ἴσον πρὸς ἴσον, ἢ δύο πρὸς ἕν, ἢ καί τινα ἄλλον, οὕτω καὶ οἱ ἐν τῇ συμφωνίᾳ φθόγγοι, λόγον ἔχουσι κινήσεως πρὸς τοὺς αὐτούς. τῶν μὲν οὖν ἄλλων συμφωνιῶν, ἀτελεῖς αἱ θατέρου καταστροφαί εἰσιν, εἰς ἥμισυ τελευτῶσαι. διὸ τῇ δυνάμει οὐκ ἴσαι εἰσίν. ἀνίσοις δὲ οὔσαις, διαφορὰ τῇ αἰσθήσει. καθάπερ ἐν τοῖς χοροῖς ἐν τῷ καταλύειν μεῖζον ἄλλων φθεγγομένοις ἐστίν. ἔτι ἡ ὑπάτη συμβαίνει τὴν αὐτὴν τελευτὴν τῶν ἐν τοῖς φθόγγοις περιόδων ἔχειν. ἡ γὰρ δευτέρα τῆς νεάτης πληγὴ τοῦ ἀέρος, ὑπάτη ἐστί. τελευτῶσαι δ᾽ εἰς ταὐτὸν, ἓν καὶ κοινὸν τὸ ἔργον συμβαίνει γίνεσθαι. καθάπερ τοῖς ὑπὸ τὴν ᾠδὴν κρούουσι. καὶ γὰρ οὗτοι τὰ ἄλλα οὐ προσαυλοῦντες, ἐὰν εἰς

ταὐτὸν

μαγαδίζουσι magadant theodo.

□ f principium diversi problematis secundum theodorum.

ταὐτὸν καταστρέφωσιν, εὐφραίνουσι μᾶλλον τῷ τέλει, ἢ λυποῦσι ταῖς πρὸ τοῦ τέλους διαφοραῖς. τῷ τὸ ἐκ διαφόρων τὸ κοινὸν ἥδιστον ἐκ τῆς διὰ πασῶν γίνεσθαι. τὴν δὲ μάγαδιν ἐξ ἐναντίων φωνῶν. διὰ ταῦτα ἐν τῇ διὰ πασῶν μαγαδίζουσιν.

μαγαδίζειν magadare
μαγαδίζουσι

μ'. Διὰ τί ἥδιον ἀκούουσιν ᾀδόντων, ὅσα ἂν προεπιστάμενοι τύχωσι τῶν μελῶν, ἢ ἐὰν μὴ ἐπίστωνται; πότερον ὅτι μᾶλλον δῆλός ἐστιν ὁ τυγχάνων ὥσπερ σκοπὸν, ὅταν γνωρίζωσι τὸ ᾀδόμενον. γνωριζόντων δὲ, ἡδὺ θεωρεῖν. ἢ ὅτι συμπαθής ἐστιν ὁ ἀκροατὴς, τῷ τὸ γνώριμον ᾄδοντι. συνᾴδει γὰρ αὐτῷ. ᾄδει δὲ πᾶς χαίρων, ὁ μὴ διά τινα ἀνάγκην τοῦτο ποιῶν.

Suavior ÷ nobis cantus quē audiv nouimus q(ua)m quē ignoramus

μα'. Διὰ τί δὶς μὲν δι᾽ ὀξειῶν, ἢ δὶς διὰ τεττάρων, οὐ συμφωνεῖ, δὶς δὲ διὰ πασῶν; ἢ ὅτι τὸ μὲν διὰ πέντε ἐστὶν ἐν ἡμιολίῳ λόγῳ, τὸ δὲ διὰ τεττάρων ἐν ἐπιτρίτῳ. ὄντων δὲ ἡμιολίων ἐφεξῆς ἀριθμῶν, ἢ ἐπιτρίτων, οἱ ἄκροι πρὸς ἀλλήλους οὐδένα λόγον ἕξουσιν. οὔτε γὰρ ἐπιμόριοι, οὔτε πολλαπλάσιοι ἔσονται. τὸ δὲ διὰ πασῶν, ἐπειδή ἐστιν ἐν διπλασίῳ λόγῳ, δὶς τούτου γινομένου, ἐν τετραπλασίονι λόγῳ ἂν ἔχοιεν οἱ ἄκροι πρὸς ἀλλήλους. ὥστε ἐπεὶ συμφωνία ἐστὶ λόγον ἐχόντων φθόγγων πρὸς ἀλλήλους, ἔστι λόγον οἱ μὲν τὸ δὶς διὰ πασῶν διάλλαμα ἔχοντες πρὸς ἀλλήλους φθόγγοι ἔχουσιν. οἱ δὲ τὸ δὶς διὰ τεττάρων, ἢ δὶς διὰ πέντε, οὐκ ἔχουσιν. οἱ μὲν δὴ δὶς διὰ πασῶν, σύμφωνοι εἶεν ἄν. οἱ δ᾽ ἕτεροι, οὐ διὰ τὰ εἰρημένα.

De diapason consonantia adverte

μβ'. Διὰ τί ἐάν τις ψήλας τὴν νήτην ἐπιλάβῃ, ἡ ὑπάτη μόνη δοκεῖ ὑπηχεῖν; ἢ ὅτι ἡ νεάτη λήγουσα καὶ μαραινομένη, ὑπάτη γίνεται. σημεῖον δὲ τὸ ἀπὸ τῆς ὑπάτης τὴν νεάτην δύνασθαι ᾄδειν. ὡς γὰρ οὔσης αὐτῆς ὁδηγεῖ νεάτης τὴν ὁμοιότητα λαμβάνουσιν ἀπ᾽ αὐτῆς. ἐπεὶ δὲ καὶ ἡ ἠχὼ ᾠδή τίς ἐστιν, ἀφ᾽ ἧς ἐστι φωνῆς τῆς νεάτης ληγούσης, ἢ χροῶν ὃ ἂν τὸ αὐτὸς, τῷ τῆς ὑπάτης φθόγγου κινεῖ, εἰκότως τῇ ὁμοιότητι τὴν ὑπάτην ἠχεῖν δοκεῖ. τὴν μὲν γὰρ νεάτην ἴσμεν οὐ κινεῖσθαι ἐπιληφθεῖσαν. τὴν δ᾽ ὑπάτην αὐτὴν ὁρῶντες ἀκατάληπτον οὖσαν, καὶ φθόγγου αὐτῆς ἀκούοντες, ταύτην οἰόμεθα ἠχεῖν. ὅπερ ἐπὶ πολλῶν ἡμῖν συμβαίνει ἐφ᾽ ὧν μήτε τῷ λογισμῷ, μήτε τῇ αἰσθήσει δυνάμεθα εἰδῆσαι τὸ ἀ-

κειβόν. Ἔτι ἡ πληγεῖσα τῆς νεάτης μάλιστα ἐντέταται μόνης.
συμβαίνει τὸ ξυνὸν κινεῖσθαι, οὐθὲν ἂν εἴη θαυμαστόν. κινηθέντος δὲ
πάσας τὰς χορδὰς, συγκινεῖσθαι. καὶ τὸ μὲν ἦχον ποιεῖν οὐκ ἄλογον. τῆς
μὲν οὖν ἄλλης ἀπὸ τῆς νεάτης φθόγγος, ἀλλ' ὀξύς ἐστι καὶ λήγων καὶ
ἀρχόμενος. τῇ δὲ ὑπάτῃ λήγων ὁ αὐτὸς, ὃ προστιθέντος, τῇ ἰδίᾳ
αὐτῆς κινήσει, ἐκείνης δόξαι πάντα ταὐτὸν εἶναι, οὐθὲν μαρτυρεῖ. ἔσται δὲ
μείζων ἢ ὁ κοινὸς τῶν λοιπῶν χορδῶν ἦχος. ὅτι αἱ μὲν, ὑπὸ τῆς νεά-
της καθάπερ ὠθεῖσαι, μαλακῶς ἤχησαν. ἡ δὲ νεάτη, πάσῃ τῇ αὐ-
τῆς δυνάμει ἐφοῦσα αὐτῶν σφοδροτάτη· ὥστε εἰκότως καὶ τὸ δεύτε-
ρον αὐτῆς κρεῖττον ἂν εἴη ἢ τὸ τῶν ἄλλων. ὥστε καὶ βραχείας κινεῖ-
μγ'. σθαι, ὡς αὐτῆς τεταγμένης μόνης. Διὰ τί ἥδιον τῆς μονῳδίας ἐστὶν,
ἐὰν πρὸς αὐλὸν ἢ λύραν ᾄδῃ; ἢ ὅτι πᾶν τὸ ἥδιον μιχθὲν ἡδίω, ᾠδή ἐστιν.
ὁ δὲ αὐλὸς ἡδίων τῆς λύρας· ὥστε καὶ ἡ ᾠδὴ τούτῳ μιχθεῖσα ἢ λύρᾳ
ἡδίων ἂν εἴη, ἐπεὶ τὸ μεμιγμένον τοῦ ἀμίκτου, ἥδιόν ἐστιν ἐ-
ὰν ἀμφοῖν ἅμα αἴσθησίν τις λαμβάνῃ. οἶνος γὰρ ἡδίων τοῦ ὀξυ-
μέλιτος, διὰ τὸ μεμῖχθαι μᾶλλον αὐτοῦ τὰ ὑπὸ τῆς φύσεως μιχθέν-
τα, ἢ ὑφ' ἡμῶν. ἔστι γὰρ καὶ οἶνος ὁ μικτὸς, ἐξ ὀξέος καὶ γλυκέος χυμοῦ.
δηλοῦσι δὲ καὶ αἱ οἰνώδεις ῥόαι καλούμεναι. ἡ μὲν οὖν ᾠδὴ καὶ ὁ αὐλὸς,
μίγνυνται αὑτοῖς δι' ὁμοιότητα. πνεύματι γὰρ ἄμφω γίνεται.
ὁ δὲ τῆς λύρας φθόγγος ἐπειδὴ οὐ πνεύματι γίνεται, ἧττον αἰσθη-
τὸν, ἢ ὁ τῶν αὐλῶν, ἀμικτότερός ἐστι τῇ φωνῇ· ποιῶν δὲ διαφορὰν τῇ
αἰσθήσει, ἧττον ἡδὺ, καθάπερ ἐπὶ τῶν χυμῶν εἴρηται. ἔτι ὁ μὲν αὐ-
λὸς, πολλὰ τῷ αὑτοῦ ἤχῳ καὶ τῇ ὁμοιότητι συγκρύπτει τῶν τοῦ ᾠδοῦ
ἁμαρτημάτων. οἱ δὲ τῆς λύρας φθόγγοι ὄντες ψιλοὶ καὶ ἀμικτότεροι
τῇ φωνῇ καθ' αὑτοὺς θεωρούμενοι καὶ ὄντες αὐτοῖς, συμφανῆ ποι-
οῦσι τὴν τῆς ᾠδῆς ἁμαρτίαν, καθάπερ κανόνες ὄντες αὐτῆς. πολλῶν
δὲ ἐν τῇ ᾠδῇ ἁμαρτανομένων, τὸ κοινὸν ἐξ ἀμφοῖν ἀναγκαῖον χεῖ-
μδ'. ρον γίνεσθαι. Διὰ τί τῶν μὲν ἑπτὰ μέση καλεῖται, τῶν δὲ ὀκτὼ
οὐκ ἔστι μέσον; ἢ ὅτι ἑπτάχορδοι ἦσαν αἱ ἁρμονίαι τὸ παλαιόν.
τὰ δὲ ἑπτὰ ἔχει μέσον. ἔτι ἐπειδὴ τῶν μεταξὺ τῶν ἄκρων, τὸ μέσον

μόνον

Vinu esse mistu ex acido & dulci sapore

Mala punica uinosa

μόνον ἀρχή τίς ἐστιν. ἔστι γὰρ τῶν ἑτέρων τῶν ἄκρων νενευόντων ἔν τινι δια-
στήματι ἀνὰ μέσον, ὃ ἀρχὴ τοῦ εἶναι μέσον. ἐπειδὴ δὲ ἔσχατα μέσον
ἐστὶν ἁρμονίας νεάτη καὶ ὑπάτη, τούτων δὲ ἀνὰ μέσον οἱ λοιποὶ
φθόγγοι, ὧν ἡ μέση καλουμένη μόνη ἀρχή ἐστι θατέρου τετραχόρδου,
δικαίως μέση καλεῖται. τῶν γὰρ μεταξύ τινων ἄκρων, τὸ μέσον ἦν ἀρχὴ μόνον.
με'. Διὰ τί πολλοὶ ᾄδοντες σώζουσι μᾶλλον τὸν ῥυθμὸν, ἢ οἱ ὀλίγοι; ἢ
ὅτι μᾶλλον πρὸς ἕνα τε καὶ ἡγεμόνα βλέπουσι, καὶ βραδύτερον ἄρ-
χονται· ὥστε ῥᾷον τοῦ αὐτοῦ τυγχάνουσιν. ἐν μὲν γὰρ τῷ τάχει, πλεί-
ων γίνεται ἡ ἁμαρτία. συμβαίνει δὲ τῷ ἡγεμόνι προσέχειν τοὺς πολ-
λούς. ἰδιαζόμενος δὲ, οὐδεὶς ἂν αὐτῶν διαλάμψειεν ὑπεραίρων τὸ
πλῆθος. ἐν δὲ τοῖς ὀλίγοις μᾶλλον διαλάμπουσι. διὸ καθ' αὑτοὺς,
ἐν αὐτοῖς μᾶλλον ἀγωνίζονται, ἢ πρὸς τὸν ἡγεμόνα.
μς'. Διὰ τί ὑπὲρ τὸ ὀξὺ ἀπᾴδουσιν οἱ πλεῖστοι; ἢ ῥᾷον ὀξὺ ᾆσαι, ἢ βαρύ.
ᾄδουσι γοῦν ὀξὺ μᾶλλον. καὶ ἐν ᾧ ᾄδουσιν ἁμαρτάνουσιν.
μζ'. Διὰ τί οἱ ἀρχαῖοι ἑπταχόρδους ποιοῦντες τὰς ἁρμονίας, τὴν
ὑπάτην ἀλλ' οὐ τὴν νήτην κατέλιπον; ἢ οὐ τὴν ὑπάτην, ἀλλὰ τὴν νῦν καλου-
μένην παραμέσην, ἀφῄρουν, καὶ τὸ τριαῖον διάστημα. ἐχρῶντο δὲ τῇ ἐ-
σχάτῃ μέσῃ, τῆς ἐπὶ τὸ ὀξὺ πυκνοῦ. διὸ καὶ μέσην αὐτὴν προσηγόρευσαν. ἢ
ὅτι ἦν τοῦ μὲν ἄνω τετραχόρδου τελευτή, τοῦ δὲ κάτω ἀρχή, καὶ μέσον
μη'. εἶχε λόγον τόνῳ τῶν ἄκρων. Διὰ τί οἱ ἐν τραγῳδίᾳ χοροὶ, οὔθ' ὑπο-
δωριστὶ, οὔθ' ὑποφρυγιστὶ ᾄδουσιν; ἢ ὅτι μέλος ἥκιστα ἔχουσιν αὗται αἱ
ἁρμονίαι, οὗ δεῖ μάλιστα τῷ χορῷ. ἦθος δὲ ἡ μὲν ὑποφρυγιστὶ πρα-
κτικόν. διὸ καὶ ἔν τε τῷ Γηρυόνῃ ἡ ἔξοδος καὶ ἡ ἐξόπλισις ἐν ταύτῃ πε-
ποίηται. ἡ δὲ ὑποδωριστὶ, μεγαλοπρεπὲς καὶ στάσιμον. διὸ καὶ κι-
θαρῳδικωτάτη ἐστὶ τῶν ἁρμονιῶν. ταῦτα δ' ἄμφω, χορῷ μὲν ἀνάρ-
μοστα. τοῖς δ' ἀπὸ σκηνῆς οἰκειότερα. ἐκεῖνοι μὲν γὰρ, ἡρώων μιμηταί.
οἱ δ' ἡγεμόνες τῶν ἀρχαίων, μόνοι ἦσαν ἥρωες. οἱ δὲ λαοὶ, ἄνθρωποι. ὧν ἐστὶν ὁ χο-
ρός. διὸ καὶ ἁρμόζει αὐτῷ τὸ γοερὸν καὶ ἡσύχιον ἦθος καὶ μέλος. ἀν-
θρωπικὰ γάρ. ταῦτα δ' ἔχουσιν αἱ ἄλλαι ἁρμονίαι. ἥκιστα δὲ αὐτῶν
ἡ ὑποφρυγιστί. ἐνθουσιαστικὴ γὰρ καὶ βακχική. κατὰ μὲν οὖν ταύτην

Hypodoriu

Hypophrygiu

Geryones concet)

Hypophrygia melodia homines lymphatos reddit debacchariq: cogit

πάσχομεν δέ τι· παθητικοὶ γὰρ οἱ ἀκροαταὶ μᾶλλον τῶν δυνατῶν εἰσί· διὸ καὶ αὕτη ἁρμόττει τοῖς χοροῖς. κατὰ δὲ τὴν ὑποδωριστὶ καὶ ὑποφρυγιστὶ πράττομεν, ὃ οὐκ οἰκεῖόν ἐστι χορῷ. ἔστι γὰρ ὁ χορὸς κηδευτὴς ἄπρακτος· εὔνοιαν γὰρ μόνον παρέχεται, οἷς πάρεστι.

Chorus est curator ocio sus · nam benevolentiam duntaxat his exhibet q(ui)bus adest

μθ'. Διὰ τί τῶν συμφωνιῶν περιεχόντων φθόγγων ἐν τῷ βαρυτέρῳ τὸ μαλακώτερον; ἢ ὅτι μέλος τῇ μὲν αὐτοῦ φύσει, μαλακόν ἐστι καὶ ἠρεμαῖον· τῇ δὲ τοῦ ῥυθμοῦ μίξει, τραχὺ καὶ κινητικόν. ἐπεὶ δὲ ὁ μὲν βαρὺς φθόγγος, μαλακὸς καὶ ἠρεμαῖός ἐστιν, ὁ δὲ ὀξὺς κινητικός, καὶ τῶν ταὐτὸ μέλος ἐχόντων, εἴη ἂν μαλακώτερος ὁ βαρύτερος ἐν ταὐτῷ μέλει μᾶλλον· ἦν γὰρ τὸ μέλος αὐτῷ μαλακόν.

ν'. Διὰ τί ἴσων πίθων καὶ ὁμοίων, ἐὰν μὲν ὁ ἕτερος κενὸς ᾖ, ὁ δὲ ἕτερος, εἰς τὸ ἥμισυ διάμεσος, διὰ πασῶν συμφωνεῖ ἡ ἠχώ; ἢ ὅτι διπλασία γίνεται καὶ ἡ ἐκ τοῦ ἡμίσεος τῆς ἐκ τοῦ κενοῦ. τί γὰρ διαφέρει τοῦτο, ἢ ὡς ἐπὶ τῶν συρίγγων; δοκεῖ γὰρ ἡ θάττων κίνησις, ὀξυτέρα εἶναι. ἐν δὲ τοῖς μείζοσι, βραδύτερον ὁ ἀὴρ ἀπαντᾷ· καὶ ἐν τοῖς διπλασίοις τοσούτῳ· καὶ ἐν τοῖς ἄλλοις ἀνάλογον. συμφωνεῖ δὲ διὰ πασῶν, ὁ διπλάσιων ἀσκός, πρὸς τὸν ἥμισυ.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΟΣΑ ΠΕΡΙ ΘΑΜΝΟΥΣ ΚΑΙ ΛΑΧΑΝΩΔΗ

A(quam) salsam apio co(n)venire porro minime

α'. Διὰ τί τὸ ἁλυκὸν ὕδωρ τὰ μὲν σέλινα δέχεται, τὸ δὲ πράσον, οὔ; ἢ ὅτι τοῦ μὲν, ἀσθενεῖς αἱ ῥίζαι· τοῦ δέ, ἰσχυραί. τὸ δὲ ἰσχυρότερον, ἀπαθέστερον.

Proverbiu(m) — Mentam in bello neq(ue) edito neq(ue) serito

β'. Διὰ τί λέγεται μίνθην ἐν πολέμῳ μήτε ἐσθίειν, μήτε φυτεύειν; ἢ ὅτι καταψύχει τὰ σώματα· δηλοῖ δὲ ἡ τοῦ σπέρματος φθορά. τοῦτο δὲ ὑπεναντίον πρὸς ἀνδρείαν καὶ θυμόν, ταὐτὸν ὂν τῷ γένει.

Cucumer · Cucurbita · malus punica fructu vacant cu(m) flore habeat

γ'. Διὰ τί ἔνια ἄνθος ἔχοντα, ἄκαρπά ἐστιν, οἷον σικύα καὶ κολοκύνθη καὶ ῥόα; ἢ οὐκ ἄκαρπα, ἀλλὰ ταῦτα καρπός ἐστι· περικάρπιον

σίκυος — περικάρπιον

καρπίου πῶς ἐστι τὸ ἀνθοῦν· ὁ δὲ σίκυος περικάρπιον.

δ'. Διὰ τί τῶν φυομένων τὰ μέν, ἑφθά, τὰ δέ, ὠμὰ βρωτά; ἢ ὅσων οἱ χυμοὶ μὴ ἐδώδιμοι εὐθύς, τούτων πυρωθέντων, γλυκύτεροι γίνονται ὑπὸ τοῦ θερμοῦ· ὅσων δὲ εὐθὺς καὶ ὠμά, ἐδώδιμα.

ἑφθά — elixa; ὀπτά — Assa

ε'. Διὰ τί τὰ μέν, ἑφθά· τὰ δέ, ὀπτά; ἢ ὅτι τὰ μὲν ὑγρότερα οὐ τοσοῦτον· τὰ δὲ ξηρότερα, ὥστε μᾶλλον ξηρανθῆναι δεῖ. ἑψόμενα δὲ πάντα, ὑγρότερα καὶ μαλακώτερα· τὰ δὲ ἧττον ὑγρά, ἂν πυρωθῇ, γίνεται ξηρά.

Cur alia elixa meli(us) alia assa melius edi queant

ϛ'. Διὰ τί δὲ τὰ μέν, ἄβρωτά ἐστι· τὰ δὲ βρωτά; ἢ διὰ τοὺς χυμούς· ὅσα γὰρ καὶ ὠμὰ ἀπέπτους ἔχει, καὶ πυρούμενα μὴ μεταβάλλει, ἄβρωτα· ὅσων δὲ βρωτὸς ὁ χυμός, ἰσχυρότερος δέ, ταῦτα ἡδύσματά ἐστι· τὰ γὰρ ἐν μικρῷ ἔχοντα πολλὴν δύναμιν τῶν βρωτῶν, ἡδυντικὰ πολλῶν.

Cur alia esculenta alia inesculenta sunt

ἥδυσμα condimentu(m)

ζ'. Διὰ τίνα αἰτίαν τὰ μὲν μέχρι σπέρματος τῶν φυτῶν ζῇ· εἶτα ἐνεγκόντα αὐαίνεται, οἷον ἡ πόα, καὶ τὰ καλούμενα λάχανα· τὰ δὲ οὔ, ἀλλὰ πολλάκις φέρει. ἢ τῶν μέχρι σπέρματος ζώντων, τὰ μὲν πολλαετῆ, τὸ δὲ ἱπποσέλινον τῷ ὑστέρῳ ἔτει φέρει καρπόν· καὶ ἐνέγκαν, ξηραίνεται. ἢ ἅπαντα μὲν μέχρι τούτου ἀκμάζει, ἕως ἂν ἐξενέγκῃ τὸ σπέρμα ἀκμάζει. ἐπεὶ καὶ οἱ ἄνθρωποι μέχρι τριάκοντα ἐτῶν ἐπιδιδόασιν, ὁτὲ μὲν τῷ πλήθει, ὁτὲ δὲ τῇ παχύτητι· ὅταν δὲ μηκέτι δύνηται φέρειν, ὥσπερ ἐκεῖ αὐαίνεται καὶ καταγηράσκει. τὰ δὲ βραδέως καὶ κατὰ λόγον. δι' ἣν μὲν οὖν αἰτίαν τὰ μέν, βραχύβια, τὰ δὲ μακρόβιά ἐστιν, ἄλλος ἔστω λόγος. ἐπεὶ δὲ ἐστὶ πᾶσιν ὅρος ἡ τοῦ σπέρματος τελείωσις, ἀνάγκη τοῖς μὲν βραχυβίοις ἅπαξ ἢ ὀλιγάκις τὸ ἐνεγκεῖν καρπόν· τοῖς δὲ μακροβίοις, πολλάκις. ὥστε τὰ μὲν ἀσθενέστατα, ἅπαξ ἐνέγκοι· διὸ ἀνάγκη αὐαίνεσθαι. καὶ τούτων τὰ μὲν ἐνιαυτῷ ἐπιτελεῖ· τὰ δέ, ὥσπερ τὸ ἱπποσέλινον τῷ ὑστέρῳ ἔτει, ὥσπερ τὰ δένδρα καὶ τὰ φυτά.

Hyposelino(n)

Usq(ue) ad annos 30 homo p(ro)ficit aut copia aut crassitudine

η'. Διὰ τί σέλινον ἐάν τις περιορύξας μέχρι κάτω πρὸς τὰς ῥίζας, εἶτα περιβάλῃ τῆς καχρύος, εἶτα ἐπαμήσηται τῇ γῇ, καὶ ἀρδεύῃ, παμμεγέθεις γίνονται αἱ ῥίζαι; ἢ διότι τὸ καχρύδιον θερμὸν ὂν ἐπισπᾶται, καὶ τίκτει συνολκὴν τῆς τροφῆς, καὶ τοῦ προ-

De Apio notandu(m)

καχρύδιον · pani cu(m)

συνολκὴν τῆς τροφῆς / attrahit pabulu(m)

∴ ἤ. τὸ καχρύδιον ex theodoro ·

∴ cf. χύθρας ex theodoro qui uertit ollas. uet. m. uasis.

ΤΜΗΜΑ

σίεται ἄνω· πέττει δὲ θερμὸν ὄν· ὥστε πολλὴν τὴν αὔξησιν γίνεσθαι.

Colocynthe cucurbite

θ. Διὰ τί ἐάν τις τὰς κολοκύνθας εὐθὺς μικρὰς οὔσας κρύψῃ τῇ γῇ, ἢ τοὺς σικύους, μείζους γίνονται; ἢ διότι τὰ πνεύματα καὶ ὁ ἥλιος ξηραίνοντα, ἀφαιρεῖται τὴν αὔξησιν· καὶ τοὺς ὄγκους ἐλάττους μὲν ποιοῦσι πάντων· στιφνοτέρους δέ· ὥσπερ καὶ τῶν δένδρων, τά τε προσηνέμοις καὶ ἑλώδεσι καὶ τὰ ἐν κοίλοις καὶ ἐφύδροις· τὰ μὲν γὰρ μεγάλα γίνονται καὶ σομφά· τὰ δὲ, μικρὰ καὶ πυκνά· ἐν δὲ τῇ γῇ κρυφθέντα, ἐναντία πάσχοντα, ἐναντίως ἀποβαίνει· ὁμοίως δὲ καὶ τὰ εἰς ἀγγεῖα τιθέμενα· σίκυοι εἰς μαράθηκας κοίλους ἢ καλύπτρας· καὶ ῥόαι καὶ μῆλα, εἰς κύθρας· τὰ μὲν μεγάλα· σομφὰ δέ· οἱ δὲ μικροὶ στερροὶ αὐξανόμενοι, μὴ εἰς τοιοῦτόν τι τεθέντες· αἰτία δὲ ἡ τροφὴ πλείων γινομένη· διὰ τὸ μήτε ἀποπνεῖσθαι, μήτε ξηραίνεσθαι· τὸ γὰρ ἀποστέγειν, κωλύει ταῦτα πάσχειν.

σικύους cucumeres

στιφνοτέρους crispiores

De plantis que in locis palustribus & perflatis & que in cauis & aquosis

καλύπτρας tegulas theo. uelamina ue. in.

ι. Διὰ τί τὰ σπέρματα τῶν δριμέων φυτῶν δριμύτερά ἐστιν ἢ αἱ ῥίζαι καὶ τὰ φύλλα; ἢ διότι ἐκ τοῦ σπέρματος γίνονται ἅπαντα· καὶ εἰς τὰ ἄλλα δίδοται μέρη ἐκ τούτου, οἷον ἐνυπάρχον, ὥσπερ φασί τινες καὶ οἱ χυμοὶ καὶ αἱ ὀσμαί· ἐπεὶ καὶ ὀσμαὶ ἡδεῖαι γίνονται ἅμα τοῖς σπέρμασιν ἅπασιν· εἰ οὖν ἐκ τούτου καὶ τοῖς ἄλλοις ἡ δριμύτης ὑπάρχει, εὔλογον καὶ αὐτὸ ὑπάρχειν μάλιστα.

Ex semine oriuntur omnia & ex eo in ceteras omnes partes

ια. Διὰ τί αἱ ῥαφανῖδες αἱ λεπταὶ δριμύτεραι; ἢ ὅτι αἱ μείζους διὰ τὸν χρόνον πεπεμμέναι μᾶλλον.

ιβ. Διὰ τί ἡ κάππαρις οὐκ ἐθέλει ῥᾳδίως ἐν τοῖς ἐργασίμοις γίνεσθαι χωρίοις; πολλοὶ γὰρ πεπείρανται, ῥίζας μεταφέροντες καὶ σπέρματα καταβάλλοντες, ἐν ἐνίοις λυσιτελεῖ μᾶλλον τῶν ῥόδων· ἀλλὰ φύεται μάλιστα ἐν τοῖς τάφοις· ὅτι ἀβάτω παρὰ τὸ τοιοῦτό ἐστι· ἐπεὶ δὲ δὴ τρύγου καὶ ὅσα ἄλλα τοιαῦτα δεῖ λαβεῖν, ὅτι οὐχ ἅπαντα ἐκ τῆς αὐτῆς ὕλης γίνεται, οὐδ' αὔξεται, ἀλλ' ἔνια ἐξ ἀλλοίων φθορᾶς καὶ ἐξ ἀέρος χεῖρον γίνεται καὶ αὔξεται· οἷον οἱ φθεῖρες καὶ αἱ τρίχες ἐν τῷ σώματι, διαφθειρομένης τῆς τροφῆς καὶ ἀεὶ τὸ χεῖρον ἐχούσης· ὥσπερ δὴ ἐν τῷ σώματι ἔνια γίνεται ἐκ περιττώματος τροφῆς, τοῦτο δ' ἐστὶν ἀπεψία, καὶ ὃ μὴ ἐδυνήθη κρατῆσαι ἡ φύσις, τὰ μὲν προχειρότατα εἰς

Capparis

Pediculi & pili ex alimento corrupto in corpore proueniunt

κύστιν

∴ cf. τάφων .i. sepulchris ex theodoro. uallib. ue. int.

κύστιν καὶ κοιλίαν ἀποκρίνεται· ὅθεν ἔνια ζῷα γίνεται· διὸ καὶ αὐξάνονται ταῦτα ἐν γήρᾳ καὶ νόσοις, οὕτως ἐν τῇ γῇ· τὰ μὲν, ἐκ τῆς πεπεμμένης τροφῆς γίνεται καὶ αὐξάνεται· τὰ δὲ ἐκ περιττωμάτων καὶ ἐναντίως ἐχόντων· ἡ δὲ γεωργία πέττει καὶ ἐργάζεται τὴν τροφήν, ὅθεν συνίστανται οἱ ἥμεροι καρποί· ἃ μὲν οὖν ἐκ τοιαύτης γίνεται ἡμερότητος, ἥμερα καλεῖται· διὰ τὸ ἀπὸ τέχνης ὠφελεῖσθαι· ὥσπερ παιδευόμενα· ὅσα δὲ μὴ δύναται, ἢ καὶ ἐξ ἐναντίως ἔχοντος συνίσταται, ταῦτα ἄγριά ἐστι, καὶ οὐκ ἐθέλει γίνεσθαι ἐν γεωργησίμῳ· ἡ γὰρ γεωργία φθείρει αὐτὰ παιδεύουσα· ἐκ γὰρ φθορᾶς γίνεται· ὧν καὶ ἡ κάππαρις ἐστίν.

ιγ. Διὰ τί ἐάν τις ῥαφανίδων ὅταν μάλιστα ἀκμάζωσι τοῦ χειμῶνος, ἀποτεμὼν τὰ φύλλα ἐπισάξῃ τὴν γῆν καὶ καταπατήσῃ ὥστε ἀποστέγειν τὸ ὕδωρ, αὗται ἐν τῷ θέρει γίνονται ἄπλετοι τὸ πάχος; ἢ ὅτι τὸ μὲν μὴ φθείρεσθαι, τὸ περισεσάχθαι αἴτιον, κωλῦον τὸ ὕδωρ σήπειν· ἡ δὲ τροφὴ ἣν ἄνω ἀφίει εἰς τὸν βλαστὸν, εἰσέρχεται εἰς αὐτήν· ὥστε ἀνάγκη αὐτὴν μείζω γίνεσθαι, ἢ ἀφιέναι παραβλαστάνουσαν ἄλλας· ὥσπερ τὰ κρόμμυα· καὶ γὰρ ταῦτα ἐάν μή τις ἐκτίλῃ ἐπέτεια, ἀλλ' ἐάσῃ τὸν χειμῶνα, πολλαπλάσια γίνεται· τὰ μὲν οὖν κρόμμυα, τῶν παραβλαστανόντων ἐστίν· ἡ δὲ ῥάφανος, οὔ· ὥστε ἀνάγκη αὐτὴν γίνεσθαι παχεῖαν, διὰ τὸ πᾶσαν λαμβάνειν τὴν τροφήν.

Radiculę

βλαστὸν germe

Cepe. ort

ιδ. Διὰ τί ἐάν τις σικύους ἢ κολοκύνθας περὶ φρέαρ φυτεύσας, ὅταν ὡραῖοι ὦσι καθεὶς εἰς τὸ φρέαρ ἀποστεγάσῃ, γίνονται δι' ἔτους χλωροί; ἢ διότι ἥ τε ἀπὸ τοῦ ὕδατος ἀτμὶς ψύχουσα κωλύει ξηραίνεσθαι· καὶ παρέχει θάλλοντα· καὶ τὸ ἀποστέγειν τοῦτο, καὶ τὰ πνεύματα τρέφει τὰ ηὐξημένα· τοῦ δὲ διαμένειν, αἴτιον, τὸ ἔχειν τροφὴν ἐωμένων τῶν ῥιζῶν· καὶ γὰρ ἐάν τις ἀφελὼν τὴν βλάστην ὁπόταν καρποφορήσωσι καὶ ἀποτεμὼν περισάξῃ καὶ καταπατήσῃ τὴν γῆν περὶ τὰς ῥίζας, πρωΐμους οἴσει σικύους· ὡς δυναμένων σῴζεσθαι τῶν ῥιζῶν· οὐ γάρ ἐστιν ὁ σίκυος τῶν προετίων, διπλοῦν δὲ αὐτοῖ τῶν σπει-

Cucumeres

Colocynthe

ὡραῖοι tempestiui

πρωΐμους

□ cf. ῥαφανίς ex theo. q uertit radiculā

a. cf. [illegible]

ρομένων οἷς οὐκ ἐστὶ καρπόν· διὰ τὸ πολὺ προϋπάρχειν τοῦ ἔργου τῇ φύσει τὰς ῥίζας· τοῖς δ' ἀπειρομένοις δεῖ ἐν γίνεσθαι τοῦ χρόνου τὸ πρῶτον. ἐν ᾗ περισσὰ ἐξ ὧν ἀλλ' ἄντρει ἐν ᾧ ὥστε σώζεσθαι πλεῖστον ἐν εἶναι βλαστόν. διὸ καὶ ἐάν τις χειμῶνος φυτεύσῃ σπέρμα σικύου ἐν ταλαρίσκοις καὶ ἄρδῃ θερμῷ καὶ εἰς τὸν ἥλιον ἐκφέρῃ καὶ παρὰ πῦρ τιθῇ, πρώϊμοι σφόδρα ἔσονται· ἐὰν οὕτως ἔχῃ ἐν τοῖς ταλαρίσκοις εἰς τὴν

ιε'. ἱκνουμένην ὥραν εἰς τὴν γῆν φυτεύσῃ. Διὰ τί ἀρδεύουσιν ἕωθεν ἢ νύκτωρ ἢ δείλης; πότερον ἵνα μὴ ὁ ἥλιος ἀναλώσῃ· ἢ ὅτι ἐὰν ᾖ θερμὸν τὸ ὕδωρ, διαφθείρεται τὰ ἀρδόμενα.

Cur rigant mane aut noctu aut crepusculo

ιϛ'. Διὰ τί τὰ εὐώδη οὐρητικά, καὶ σπέρματα καὶ φυτά; ἢ ὅτι θερμὰ καὶ εὔπεπτα· τὰ δὲ τοιαῦτα οὐρητικά· ταχὺ γὰρ λεπτύνει ἡ ἐνοῦσα θερμότης. ἔστι δὲ ἡ ὀσμή, οὐ σωματώδης. ἐπεὶ καὶ τὰ μὴ εὐώδη, οἷον σκόροδα, διὰ τὴν θερμότητα οὐρητικά. μᾶλλον μέντοι συντηκτικά. θερμὰ δὲ τὰ εὐώδη σπέρματα. διότι ὅλως ἡ ὀσμή, διὰ θερμότητά τινα γίνεται. ἀλλὰ τὰ δυσώδη ἄπεπτά ἐστι. δεῖ δὲ μὴ μόνον εἶναι θερμά, ἀλλὰ καὶ εὔπεπτα, εἰ ἔσται οὐρητικά, ὅπως συγκαταπίνοντα λεπτύνῃ τὰ ὑγρά.

Semina seu plante odorate urinam cient

Odorem carere corpulentia

Allium urinam mouere

Odoris naturam ex calore prouenire

ιζ'. Διὰ τί βέλτιον ἐκκαυλεῖ τῶν λαχάνων τὰ ἐκ παλαιοτέρου σπέρματος, οἷον τριετοῦς ἢ διετοῦς, ἢ τὰ ἐκ τῶν προσφάτων; ἢ ὅτι ὥσπερ ἐπὶ τῶν ζώων βέλτιον σπέρμα φέρει τὸ ἀκμάζον, οὕτω καὶ τῶν σπερμάτων· τὰ μὲν λίαν παλαιά, ἐξίκμασται τὴν δύναμιν· τὰ δὲ ἀσθενέστερα διὰ τὸ ἔτι ἔχειν περίττωμα μὴ οἰκεῖον· τὰ δὲ μέσα τῷ χρόνῳ, ἰσχυρότατα, ἀπεληλυθότος τοῦ ὑγροῦ. θᾶττον οὖν σπέρμα φέρει. τὸ δὲ ἐκκαυλεῖν

ἐκκαυλεῖ excaulescit

Olera λάχανα

ιη'. τοῦτό ἐστιν οὐχ ἀπὸ τοῦ καυλοῦ τὸ σπέρμα. Διὰ τί τὸ πήγανον κάλλιστον καὶ πλεῖστον γίνεται, ἐάν τις ἐκφυτεύσῃ εἰς συκῆν; ἐκφυτεύεται δὲ περὶ τὸν φλοιόν, καὶ περιπλάττεται πηλῷ. ἢ ὅτι θερμότητος δέονται ἀνεῖξαι τοῦ πηγάνου καὶ ἀλέας. διὸ δὲ τῇ τέφρᾳ ἐάν τις περιβάλλῃ, ὀνίναται. ἡ δὲ συκῆ, θερμή ἐστι. δηλοῖ δὲ καὶ ὁ ὀπὸς πάντων δριμύτατος ὤν. καὶ ὁ πολὺς καπνὸς ἔχει ἐν τοιαύτῃ θερμότητι ἰκμάδα, οἵαν ἡ τέφρα· ὥστε εἰ ἐκεῖ ὀνίνησιν, ἀναγκαῖον

De Ruta insita in fico

ὀνίναται

Ficum calidissimam esse quibus argumentis constet

ὀνίνησιν

□ f. ἐχ- ex utroque interprete

καὶ

καὶ ἐν τῇ συκῇ μάλιστα εὐθενεῖν. ὅσῳ μὲν τέφρα οὐκ ἐπιρρεῖ. τὸ δὲ ἐπὶ τῆς συκῆς ἀεὶ ἐπιρρεῖ. οὐκ ἀναλισκόμενος οὖν ὑγροῦ τῆς συκῆς.

ιθ'. Διὰ τί ἔνια τῶν φυτῶν ἀεὶ κάτω φέρει τὸν καυλόν; ἢ ὧν ἀνάγκη ἄλ-

κ'. λο φύειν. Διὰ τί ἐν τῇ ἀττικῇ οἱ μὲν ἄλλοι καρποὶ γλυκύτατοι γίνονται, τὸ δὲ θύμον δριμύτατον· καίτοι τὰ τῆς χώρας ξηρότερά ἐστιν· ὥστε οὐ πολὺ ὑγρὸν τὰ φυόμενα ἔχει. ὅσα μὲν οὖν φύσει γλυκέα ἐστί, διὰ μετριότητα τοῦ ἐνυπάρχοντος ὑγροῦ, ὅταν ἀπάγῃ ὁ ἥλιος τὸ πλεῖστον, τοῦ πολλοῦ τὸ μέτριον ῥᾳδίως πέττεται· τὸ γὰρ πολύ, ἔργον πεπανθῆναι· τὸ δὲ μέτριον, ῥᾷον. ὥστε γίνονται οἱ φύσει γλυκεῖς, γλυκύτεροι. ἐν δὲ τοῖς φύσει ξηροῖς τε καὶ μὴ γλυκέσι καρποῖς, λείπεται διὰ ὀλιγότητα τὸ οἰκεῖον· τοῦ γὰρ ἐστὶν ἥκιστα γλυκύ· ἀφαιρεῖται ὁ ἥλιος τὸ γλυκύτατον, ὅτι κουφότατον. οὗτοι δὲ οὐκ ἔχουσι περισσὸν ὥσ-

κα'. περ οἱ ἄλλοι καρποί. Διὰ τί γλήχων ἐπὶ τὰ λείρια καὶ τὰ κρόμμυα τὰ κρεμάμενα, ὑπὸ τὰς τροπὰς ἀνθεῖ; ἢ ἐνυπάρχει αὐτοῖς τροφὴ ἄπεπτος. ἣ τὸ μὲν χειμῶνος οὐ πέττεται διὰ ψῦχος· ὑπὸ δὲ τροπὰς πεττομένης διὰ τὴν ὥραν, ἡ αὔξησις γίνεται. αὕτη δὲ διὰ τὸ μὴ ἔχειν ἐπίρρυσιν, ταχὺ μαραίνεται. οὐ γὰρ ἔτι ἰκμάδα ἔχουσα ἀρχήν. οὐδέ τινα ἐπίρρυσιν, ἀποξηραίνεται. ὥσπερ σκύθαις, διὰ τὸ πολλὴν τὴν χιόνα γίνεσθαι συμβαίνει τὸν σῖτον μένειν καὶ ταχὺ ἀνα-

κβ'. τρέχειν. Διὰ τί τὸ κρόμμυον οὕτω περιττῶς δάκνει τοὺς ὀφθαλμούς· διὸ καὶ τοὔνομά φασι τοῦτ' ἔχειν αὐτό, ὡς τὴν κόρην ποιεῖν συμμύειν. ἡ δὲ ὀρίγανος οὔ· τῆ ἄλλα δριμέα ὄν· οὐδὲ τὸ ἀνάρρινον μᾶλλον δάκνον οὐ ποιεῖ ὁμοίως δακρύειν προσφερόμενον. τὸ δὲ προσφερόμενον καὶ κατατρωγόμενον. ἢ ὅτι διαφοραὶ πολλαὶ ἀκολουθοῦσιν ἑκάστοις τῶν δριμέων· ἃ ποιεῖ τὴν ἰδίαν ἑκάστου δύναμιν. τὸ μὲν οὖν ἀνάρρινον διὰ τὸ θερμότερον εἶναι, ξηραντικώτερόν ἐστι τῶν γινομένων ὑπ' αὐτοῦ συντήξεως. ἐπεὶ τοί γε δακρύειν ἐθέλουσι προσφερομένου δέ, ὅτι οὐ καπνοῦ μίξις ἀπ' αὐτοῦ λεπτόν τι. ξηρότερον γάρ ἐστι καὶ θερμότερον. ἡ δὲ ὀρίγανος καὶ τὰ τοιαῦτα, ξηραίνει ἠρέμα. ἔδει δὲ τὸ μέλλον δακρύειν

Quedam stirpes caule semper edunt mane

Cur in attica thymum acerrimum cum ceteri fructus dulcissimi fiant

Agrum atticum tenuem siccumque esse

Pulegium. Lilium & cepe suspensa florent solstitij tempore

Pulegium γλήχων

Apud scythas quid contingat aduerte ob ingentes niues

κρομμύου pulcherrima etymologiam attende

ὀρίγανος

ἀνάρρινον. nasturtium

□ desunt hec uerba. An quod ager ille tenuis siccusque est. ex utroque interprete

οὐκ deest ex theodoro sec(undum) ex ue(teri) in(terprete)

καὶ deest ex utroque interprete ut referatur ad nasturtium

∴ s. πήγνυντοι ex utroq: interp. q uertunt Sebiens inceptans intrās

Oleum cur lachrymas cieat

τρίψεσιν, δηκτικὸν τὸ ὑγρὸν εἶναι καὶ γλίσχρον· διὸ καὶ τὸ ἔλαιον ποιεῖ δακρύειν, ἀσθενῆ ἔχον δῆξιν· διὰ γλισχρότητα δὲ καὶ λεπτότητα τὰ ἐξαδύνατα ποιεῖ τὸν πόνον καὶ τὴν τῆξιν διὰ τὸν πόνον. τὸ δὲ κρόμμυον, τοιαύτην ἔχει τὴν δύναμιν· ὥστε καὶ τὸ ὑγρὸν καὶ τὴν ἀτμίδα αὐτοῦ θερμὴν καὶ λεπτὴν καὶ γλίσχραν εἶναι· ὥστε προσφερόμενον μὲν διὰ τὴν ἀτμίδα τοιαύτην εἶναι καὶ συναφθεῖσαν ὑγρότητα λεπτὴν, ποιεῖ δακρύειν· ἐσθιομένου δὲ καὶ ἀναθυμίασιν δίδωσι. τὸ δὲ σκόροδον, θερμὸν μὲν καὶ δριμύ ἐστι· καὶ ὑγρότητα ἔχει ἀλλ' οὐ γλίσχραν· διὸ οὐ ποιεῖ δακρύειν.

Alliū cur nō faciat lachrymari

Myrta

κγ'. Διὰ τί τὰ μύρτα ἐν τῇ χειρὶ θλιβέντα, γλυκύτερα ἢ μὴ ἐνδοκεῖ εἶναι τῶν μὴ τεθλιμμένων· ἢ καθάπερ καὶ αἱ ῥᾶγες τετρυγημέναι τῶν βοτρύων γλυκύτεραί εἰσιν, ἢ ἀτρυγήτων· ὑπὸ γὰρ τοῦ πολλὰ κινοῦντος ἡδέος φύσει, αἱ μὲν τετρυγημέναι ῥᾶγες, ὥσπερ ἐοίκασιν ἡδυσμέναι· ἀνάπλεω γάρ εἰσι καὶ ἔξωθεν· αἱ δὲ ἐπὶ τῶν βοτρύων ἀνήδυστοι. ὁμοίως οὖν καὶ ἐπὶ τῶν μύρτων φύσει γλυκέων, καὶ τὴν γλυκύτητα ἐχόντων ἐντός· ὥσπερ αἱ ῥᾶγες ἐν ὅταν θλιφθῇ, ἀναπίμπλαται ἀπὸ τῆς ἐντὸς γλυκύτητος, καὶ ἔξωθεν διαφαίνεται, γλυκύτερα ὄντα.

Myrta collisa in manu dulciora

Acini racemorū uindemiati dulciores q̄m nō uindemiati

Myrta

κδ'. Διὰ τί τῶν μύρτων τὰ ἐλάττω ἀπυρηνότερά ἐστι; καὶ ἐν τοῖς φοίνιξι καὶ ἐπὶ τῶν βοτρύων, ὧν αἱ μικραὶ ῥᾶγες, οὐκ ἔχουσιν ἢ ἐλάττους πυρῆνας· ἢ διὰ τὸ ἀτελέστερα εἶναι, οὐκ ἔχει ἀποκεκριμένον· τέλος γὰρ ὁ πυρὴν ἔχει τὸ σπέρμα. διὰ τοῦτο δὲ καὶ ἐλάττους εἰσὶν, ὡς ὄντα παραφυάδες καὶ ἀτελῆ. καὶ ἧττον δὲ γλυκέα τῶν ἐχόντων πυρῆνας· ἀπεπτότερα γάρ ἐστιν. ἡ δὲ πέψις, τελείωσίς ἐστιν.

Pyren .i. nucle(us)

περικαρπίων fructuū theo. & net. interpres

κε'. Διὰ τί τῶν περικαρπίων τὰ μὲν, πικρότερα τὰ πρὸς τὴν ῥίζαν ἔχει· οἷον σίκυοι. τὰ δὲ πρὸς τὸ ἄκρον τὸ ἄνω· οἷον αἱ βάλανοι. ἢ ὅτι τὰ μὲν, ταύτῃ ἄπεπτος ἡ τροφὴ διὰ τὸ ἐπιρρεῖν κατὰ τὴν ῥίζαν ἀεί. τὰ δ' ὅτι ξηρὰ φύσει ἐστίν· ὥστε ἀπαγομένου γλυκέος ἐκ τοῦ ἄκρου καὶ πεπεμμένου, ἤδη ξηραίνεται καὶ λείπεται τὸ πικρὸν, ὥσπερ οἱ ἅλες. ξηραινόμενον δὲ, μᾶλλον πικρὸν γίνεται καθάπερ ἐλαῖαι. βάλανοι παλαιούμεναι, πικραὶ γίνονται.

Cucumeres

Glandes

Quod exsiccatur magis amarescit

κς'. Διὰ τί ἔνια βλαστάνει οὐκ ἐν τῇ γῇ ὄντα ἀλλ' ἐκτετμημένα· τὰ

δὲ

δὲ κείμενα· οἷον οἱ τῶν κρίνων καυλοὶ καὶ κρόμμυα. ἢ ὅτι ἔχουσι τροφὴν πάντα ἐν αὐτοῖς· ἀλλ' οὐκ ἐν ἀφωρισμένῳ τόπῳ οὐδὲν φυτόν. αὔξεται δὲ ὅταν ἡ ὥρα ἔλθῃ· καὶ ἐν ᾗ τοῦτο γίνεται περιιούσης ὥρας. οἷον καὶ τὰ τῶν κροκοδείλων ὠά. συνεχὲς δὲ οὐκ ἔτι· ὅτι οὐκ ἐπιρρεῖ ἄλλη τροφή.

κείμενα . recōdita

Crocodilorū oua

ut

κζ'. Διὰ τί ποτε τὰ σκόροδα καὶ τὰ κρόμμυα ὅσῳ ἂν ξηρότερα φυτεύηται, τοσούτῳ βελτίω γίνεται· τὰ δὲ ἄλλα χείρω. ἢ ὅτι πάντα τὰ τοιαῦτα μάλιστα, ὑγρασίας ἐστὶ πλήρη. εὔκρατα οὖν γίνεται τοῦτον τὸν τρόπον φυτευθέντα. καὶ ὅτι ἧττον σήπεται, ὅταν ξηρανθέντα φυτευθῇ.

Allia &

Cepe

κη'. Διὰ τί ποτε τὰ σκόροδα καὶ τὰ κρόμμυα μόνα τῶν φυτῶν κείμενα βλαστάνει. ἢ διότι ὑγρασίας ἐστὶ πλήρη καὶ τροφῆς. ἡ περιουσία οὖν ἐστι τῆς τροφῆς, ἡ ποιοῦσα βλαστάνειν. δῆλον δέ· καὶ γὰρ αἱ σκίλλαι καὶ βολβοὶ, ταυτὸ ποιοῦσιν. αὔξεται δὲ ὅταν ἡ ὥρα ἔλθῃ ἑκάστῳ.

Allia

Cepe

κείμενα recondita

Scillę

Bulbi

κθ'. Διὰ τί τῷ ψυχρῷ ὕδατι ἀρδόμενα γλυκύτερα ἢ τὰ τῷ θερμῷ. πότερον ὅτι ἐγκατακλειόμενον τὸ θερμὸν ἁλμυρώτερον. ὥσπερ καὶ τὸ ἁλμυρώτερον θερμότερον, τὸ δὲ γλυκὺ ἐναντίον ὥσπερ ψυχρόν. τροφὴ δὲ τοῖς λαχάνοις τὸ ὑγρὸν καὶ οἱ χυμοὶ ἐν τῷ θιμ.

Ea quę rigantur frigida dulciora q̄m quę feruida

λ'. Διὰ τί τὰ σκόροδα ὄζει μᾶλλον ἐγκαυλοῦντα, ἢ νέα ὄντα. ἢ ὅτι νέων μὲν ὄντων, ἔτι πολὺ ὑγρὸν ἀλλότριον ἐνὸν, ἀφαιρεῖται τὴν δύναμιν αὐτῶν. ὅταν δὲ πεπανθῇ ἐκκεκριμένου ἤδη τούτου, τότε τὴν οἰκείαν ἔχει ὀσμήν· αὕτη δ' ἐστὶ φύσει δριμεῖα. ὁμοίως δὲ καὶ ἄλλοι καρποὶ οἱ πρόσφατοι ὄντες, ὑδαρέστεροι. διὸ καὶ τὰ κρόμμυα ἧττον δριμέα τὰ νεώτερα.

Allia

Cepe

λα'. Διὰ τί τῶν μυρρίνων μὲν μὴ ταριχευομένων, τὰ μύρτα ἀπορρεῖ μᾶλλον τῶν φύλλων· ταριχευομένων δὲ τῷ φύκει, τὰ μὲν φύλλα ἀπορρεῖ, τὰ δὲ μύρτα οὐκ ἀπορρεῖ. ἢ ἀταριχεύτων μὲν ὄντων, οὕτως ἔχει διὰ τὴν φύσιν· ὅταν γὰρ πεπανθῇ, ἀπορρεῖν πέφυκε τὰ μύρτα. τοῦτο δὲ οὐ συμβαίνει κειμένων, ἀλλὰ μόνον κωλύει ἡ ἰκμὰς τοῦ φύκους μεταβάλλειν τὸ ἐν τῷ μύρτῳ ὑγρόν· τὰ δὲ φύλλα ἀποπίπτει τοὐναντίον, αὐτῶν ξηραινομένων· τὸ γὰρ

ταριχευομένων .i. conditarū reseruatarū

μυρρίνων nō μύρρων aduerte

Myrta alga condita

φύλλα ξηραίνει ἡ ἅλμη οὖσα· τὸ αὐτὸ δὲ συμβαίνει ὥστε τῆς μυρρίνης
λδʹ ὅσοις ἢ κεχυμένοις τοῖς φύλλοις. Διὰ τί οἱ σίκυοι πέπονες ἄριστοι
γίνονται ἐν τοῖς ἑλώδεσι πεδίοις τοῖς συνενύγροις· οἷον περὶ Ὀρχόμενον καὶ
ἐν Αἰγύπτῳ· δοκεῖ δὲ ἔνυδρος αὕτη ἡ χώρα εἶναι· ὅσοι δὲ τὰ ἑλώδη ἔνυδρα·
οἱ δὲ σίκυοι αὐτοὶ ὑγρότεροι. διὸ καὶ οἱ κηπαῖοι φαῦλοι εἰσίν. ἢ τὸ τὸν
ὅτι εἰς βάθος διὰ σκληρότητα τῆς γῆς ἀναγκάζεται φυτεύεσθαι, ἡ δὲ
πηλώδης καὶ πεδιὰς μάλιστα γίνεται σκληρά. οἱ δὲ εἰς βάθος φυτευ-
θέντες, βελτίους. ἢ διότι ξηρὰν δεῖ εἶναι τὴν γῆν. διὰ τὸ αὐτὸ εἶναι ὑ-
γρὸν φύσει. οὕτω γὰρ ἀντισπώμενον, ἐν μέσον ἥξει. ἡ δὲ ἑλωδεστέρα μὲν
βαθεῖα δέ, τροφὴν ἔχει. καὶ διὰ τὸ βάθος τῆς γῆς, καὶ διὰ τὸν τόπον δὲ
λγʹ οὐχ ὑπερβάλλουσαν διὰ τὸ ξηραίνεσθαι τὴν γῆν πάλιν. Διὰ τί
τὸ πήγανον δυσώδεις τοὺς ἱδρῶτας ποιεῖ, καὶ ἔνια τῶν μύρων, ἢ ὅ-
τι ὅσων ἐν τῇ ὀσμῇ βαρύτης ἔνι καὶ δριμύτης, ταῦτα κεραννύμε-
να ταῖς περιττωματικαῖς ὑγρότησι, κακωδεστέραν ποιεῖ τὴν ὀ-
λδʹ σμήν. Διὰ τί τὸ πήγανον βασκανίας φασὶ φάρμακον εἶναι.
ἢ διότι βασκαίνεσθαι δοκοῦσι λάβρως ἐσθίοντες, ἢ ὑφορώμενοί τι-
νας δυσχερείας· καὶ περὶ τὰ προσφερόμενα αὐτοπτῶς ἔχοντες· ὧν
λέγουσι γοῦν, ὅταν τι ἀπὸ τῆς τραπέζης ἰδίᾳ τι προσφέρωνται
μεταδιδόντες, ἵνα μή με βασκάνῃς με. ἅπαντες οὖν μετὰ ταρα-
χῆς τῶν βρωμάτων προσοίσονται τὸ διδόμενον ὑγρὸν ἢ σιτίον. ὑ-
φ' ὧν ἢ καταλαμβανομένων ἢ ἀπεμουμένων μετεωρισθέντα
τὰ σιτία, συνεξέπεσε τὰ πνεύματα ὑπὸ τῶν ὑγρῶν καὶ πόνους
καὶ στρόφους παρέχει. τὸ πήγανον οὖν προεδεσθὲν θερμαντικὸν ὂν
τῇ φύσει, ἠραίωσε τὸ δεχόμενον ἀγγεῖον τὰ σιτία καὶ τὸ ἄλλο σῶμα·
διὸ ἐξωθεῖν τὸ ἐγκαταλαμβανόμενον πνεῦμα συμβαίνει.
λεʹ Διὰ τί ἡ ὀρίγανις ἐμβαλλομένη τῷ γλεύκει, γλυκὺν ποιεῖ τὸν οἶνον.
ἐμβάλλονται δὲ δύο κοτύλαι εἰς τὸν ἀμφορέα. ἢ ὅτι ἐξαίρει δι' ὧν
ἡ αὐστηρότης γίνεται, τὸ ὑδατῶδες καὶ τὸ τρυγῶδες ἀναδεχομένη
εἰς αὐτήν. σημεῖον δέ, ὅτι ἐκ τούτων τὸ αὐστηρόν. οἱ γὰρ οἶνοι ἧττον
μαλακοὶ ἐὰν ὕδωρ παραχυθῇ. καὶ ἐὰν τῇ τρυγίᾳ πλείω χρόνον

ἐάσῃ

Cucumeres cognomento pepones optimi proueniunt in palustrib(us) locis
Orchomenus
Aegyptus
Pepones ortenses ac irrigui illaudati
Ruta
Humores excrementitij
Rutam pharmacum esse aduersus fascinationes
ἵνα μὴ βασκάνῃς με porque no me maldigays vulgo
Origanus musto iniecta dulce reddit uinum
ὀρίγανις origanus
τρυγία fece

ἐάσῃ τις. καὶ ὅταν ποιῶσι γλυκύ, ἡλιῶσι τὰς σταφυλὰς πολὺν
χρόνον, καὶ ὁ ἥλιος ἀφαιρεῖ τὸ ὑδατῶδες. καὶ τὸ λοιπὸν συμπέτ-
τει. ταὐτὸ δὲ τοῦτο ποιεῖ καὶ ἡ ὀρίγανις. ξηρὰ γὰρ καὶ θερμή. ὥστε
λϛʹ εἰκότως δαπανᾷ. Διὰ τί αἱ μέλαιναι μυρρίναι πυκνοφυλ-
λότεραί εἰσι τῶν λευκῶν μυρρινῶν. ἢ ὅτι ἀγριώτεραι τὸ γένος. σημεῖ-
ον δέ, ὅτι γίνονται ἐν τοῖς ἀγροῖς, καὶ ἥκιστα μεταβάλλουσιν
ὑπὸ τῆς ἐπιμελείας. τὰ δὲ ἄγρια πάντα πυ-
κνοφυλλότερα. διὰ γὰρ τὸ ἧττον πέτ-
τειν τὸν καρπόν, εἰς τὰ φύλ-
λα ἡ τροφὴ τρέπεται.

ἈΡΙΣΤΟΤΈΛΟΥΣ ὍΣΑ ΠΕΡῚ ἌΛΦΙΤΑ ΚΑῚ ΜΆΖΑΝ ΚΑῚ ΤᾺ ὍΜΟΙΑ.

αʹ Διὰ τί ἡ πτισάνη καὶ τὸ ἄλευρον ἐλαίῳ ἀναχρωμένα, λευκότερα
γίνεται. καίτοι τὸ ἔλαιον πυρρόν. ἢ ὅτι πέφυκε μιγνύμενον
τῷ ὑγρῷ ἀφρίζειν. τοῦτο δὲ ἡ λευκότης. ἡ δὲ μίξις τρίψει καὶ κι-
νήσει. μίγνυται δὲ μᾶλλον τοῖς σωματικοῖς. ἐν δὲ τοῖς ἑψήμασι τοῦ-
βʹ το συμβαίνει. διὸ καὶ λευκότερα ποιεῖ. Διὰ τί ἡ ἐκ τοῦ
πυροῦ τροφὴ μάλιστα ἁρμόττει τοῖς σώμασι, καὶ μᾶλλον τρόφι-
μος ἢ ἡ ἐκ τῶν κριθῶν. ἢ διότι μετρίαν ἔχει γλισχρότητα. δεῖ δὲ τὴν
τροφὴν ἔχειν τοῦτο. προσφῦναι γὰρ δεῖ καὶ προσκολληθῆναι τῷ σώ-
ματι οὗ αἴτιον τὸ γλίσχρον. ἀλλὰ ψαθυρώτερον. διὸ αἱ τρίμμεναι
γʹ σφόδρα μᾶζαι, τροφιμώτεραι τῶν ἀτρίπτων. Διὰ τί τῶν
μὲν ἀλεύρων τὰ πρῶτα, τῶν δὲ ἀλφίτων τὰ τελευταῖα, λαμ-
πρότερα. ἢ διότι τὸ μὲν κάπυρον ὄν, περιθραύεται. τὸ δὲ μαλακὸν
ὂν θλίβεται. λαμπρότερον δὲ ἐν ἀμφοτέροις τὸ ἐντός.
δʹ Διὰ τί οἱ ἄρτοι λευκότεροι φαίνονται, ψυχροὶ ὄντες ἢ θερμοί. ἢ
διὰ τὴν αὐτὴν αἰτίαν τρόπον τινὰ καὶ τὸ ἔλαιον λευκότερον τοῦ
προσφάτου τὸ παλαιόν. αἴτιον γὰρ τῆς μελανίας τὸ ὕδωρ. τοῦ το

si theodoro fidem adhiberem ordeum desideratur. ut sit ἡ δὲ ἐκ τῶν κριθῶν vel αἱ δὲ ἐκ κριθῶν ψαθυρώτεραι

ὀρίγανις
Vinu dulce quomodo fiat
ἡλιῶσι soli exponunt theo. ego insolant
Myrti nigre frondosiores & cur.
Ptisana
ἄλευρον farina triticea - τὸ πυρρὸν τὸ ἔλαιον nota quae colorem significet πυρρόν
ἑψήμασι polentis theodor. elixationi;
Cur triticeus panis sit competens corpori humano
ἄλευρα Triticea
ἄλφιτα ordeacea
λαμπρότερον candidius
κάπυρον durius theo. friabile uet. in.
Panes candidiores uideri frigidos quam calidos

δὲ ἐν ἀμφοτέροις πλεῖον προσφάτοις οὖσι· χρονιζομένοις δὲ διὰ
τὸ ἐξατμίζειν, λείπεται ἔλαττον τὸ ἐπιπολῆς· ἐξατμίζει δὲ τὸ μὲν
ἐλαίου, ὁ χρόνος ἢ ὁ ἥλιος· ἐκ δὲ τῶν ἄρτων ψυχομένων τὸ θερμὸν ἐξι-
όν, ψυχρῶν γινομένων ἐξελήλυθεν· ἐν δὲ θερμοῖς οὖσιν, ἔτι ἔνεστιν.
ε' Διὰ τί οἱ ἄναλοι ἄρτοι πλείονα σταθμὸν ἔχουσι τῶν ἡλισμένων·
τῶν ἁλῶν μὲν αὐτοῖς ἴσων ὑπαρχόντων; εἰκὸς δὲ ἦν τοὐναντίον· οἱ γὰρ
ἅλες πρόσκεινταί τε καὶ βαρύτεροι τοῦ ὕδατός εἰσιν. ἢ ὅτι ξηραίνου-
σιν οἱ ἅλες· διὸ καὶ σώζεται ἄσηπτα τὰ ταριχευόμενα· ἀναλί-
σκεται γὰρ καὶ ξηραίνεται τὸ ὑγρὸν ὑπ' αὐτῶν, ὃ σήπεται ὑπὸ
τοῦ θερμοῦ· καὶ ἐν τῷ ἄρτῳ οὖν ἀναλίσκεται τὸ ὑγρὸν ὑπὸ τοῦ
ἁλὸς καὶ ἀποπνεῖ ἔξω· διὸ καὶ οἱ ἕωλοι ἄρτοι κουφότεροί εἰσι τῶν
θερμῶν, ψυχρότεροι ὄντες· ἐν δὲ τοῖς μὴ ἡλισμένοις, τοῦτο τὸ ὑ-
γρὸν πλεῖον ἐνυπάρχον, βαρυτέρους αὐτοὺς ποιεῖ.
ϛ' Διὰ τί οἱ μὲν ψυχροὶ ἄρτοι ἀναβρεχθέντες, εἰ ἅπτονται ἀλλήλων, οὐ
συνέχονται· οἱ δὲ θερμοί; ἢ ὅτι οἱ μὲν ψυχροὶ μετὰ τῆς ἀτμίδος ἀφι-
ᾶσι τὸ ἐν αὐτοῖς γλίσχρον ὑγρόν· οὗ ἐξελθόντος, οὐ κολλῶνται· τὸ γὰρ ὕ-
δωρ ᾧ ἐβρέχθησαν, ψαθυρώτερόν ἐστιν· οἱ δὲ θερμοὶ ἔχουσί τινα γλι-
σχρότητα· ὅταν μὲν οὖν βεβρεγμένων αὐτῶν ἡ ἀτμὶς ἐξίῃ, τὸ μὲν
θερμὸν, διαπνεῖ, διὰ λεπτότητα· τὸ δὲ κολλῶδες συνέχον αὐτοὺς
καὶ μιγνύμενον τῷ ὑγρῷ, προσέχεσθαι ποιεῖ ἐν αὐτοῖς.
ζ' Διὰ τί τῶν ἀλεύρων τὰ ἄλφιτα λαμπρότατά ἐστι, τῶν δὲ ἀλφίτων
τὰ τελευταῖα; ἢ ὅτι τὸ μὲν ἄλφιτον καθαρὸν ὄν, περιθραύεται· οἷ-
ον μάλιστα παρέχει πλεῖστον χρόνον κοπτόμενον· τὸ δὲ μαλακὸν καὶ
λεπτὸν ἄλευρον, ὅ ἐστιν ἐντὸς τοῦ πυροῦ, ἐκθλίβεται πρῶτον· λαμ-
η' πρότατον δέ ἐστιν ἐν ἀμφοτέροις τὸ ἐντός. Διὰ τί ἡ μὲν μᾶζα,
ὅσῳ ἂν μᾶλλον τριφθῇ, δυσδιαχωρητοτέρα γίνεται· ὁ δὲ ἄρτος δι-
αχωρητότερος; ἢ διὰ τὸ τριφθῆναι σφόδρα τὸ σταῖς μικρότερον γί-
νεται· τὸ δὲ γλίσχρον τοιοῦτόν ἐστιν· ὑπὸ δὲ τοῦ πυρὸς, πάντοθεν ἐξῄρηται
τὸ ὑγρὸν τοῦ ἄρτου· ὥστε ψαθυρώτερον γίνεται τοῦ ὑγροῦ ἐξαιρε-
θέντος ὅλου, ὅσῳ ἂν μᾶλλον τριφθῇ· διὰ τὸ ἐν τῇ τρίψει μικρομερέστερον
γεγονέναι.

Oleum vetus antiquo recenti magis album · pagina praecedenti quaere

Panes no salitos ponderosiores salitis

ταριχευόμενα condita

Humore corrumpi a calore

ἕωλοι pridie facti · theo · veteres · interpres · ue'

Calidi panes si humectantur coherent

Μᾶζα quod fit hinc capere · theodor. vertit massam hordeaceam · in · massam

δυσδιαχωρητοτέρα · i · minus alvum subducere valens · theodore · int · difficulter dissibilis · cui potius quam theodoro adhaereo in hac parte propter sequentia

σταῖς · pasta · vet. · inter · massam triticeam theo ·

[illegible]

:: vide an sit legendum μακρότερον propter sequens problema

γεγονέναι· τὸ δὲ ψαθυρὸν, εὐπεπτότερόν ἐστιν· ἡ δὲ μᾶζα ὅσῳ ἂν μᾶλ-
λον τριφθῇ, γλισχροτέρα γίνεται τοῦ ὑγροῦ μεμιγμένου· τὸ δὲ γλί-
σχρον, οὐκ εὐδιαίρετον· τὰ δὲ τοιαῦτα, δύσπεπτά ἐστι· δεῖ γὰρ τὸ πε-
θ' φθησόμενον, διαιρεθῆναι εἰς μικρά. Διὰ τί ἡ μὲν μᾶζα τριβο-
μένη ἐλάττων γίνεται· τὸ δὲ σταῖς μεῖζον; ἢ ὅτι τὸ μὲν ἄλφιτον βρε-
χθὲν καὶ τριβόμενον, συνιζεῖ τῇ τοῦ ὑγροῦ κολλήσει, διὰ τὸ ἀραιὸν εἶ-
ναι καὶ χονδρόν· τὸ δὲ ἄλευρον, μετεωρίζεται, διὰ τὸ πυκνὸν σφό-
δρα εἶναι· τὰ γὰρ πυκνὰ τριβόμενα, θερμαίνεται· θερμαινόμενα
δὲ καὶ πνευματούμενα, μετεωρίζεται καθάπερ ἡ σάρξ.
ι' Διὰ τί δὲ πυρούμενον τὸ σταῖς μεῖζον γίνεται ἢ ἡ μᾶζα; ἢ ὅτι ἔχει ὑ-
γρὸν κεχωρισμένον· ὥστε ἐξικμάσαι θερμαινόμενον διὰ τὴν τρῖψιν·
ἐξ οὗ θερμαινομένου, πνεῦμα γίνεται· ἐκ δὲ τοῦ πλείονος ὑγροῦ,
ια' ἀνάγκη γίνεσθαι πλεῖον πνεῦμα. Διὰ τί τοῦ μέλιτος κολλητι-
κωτέρου ὄντος ἢ τοῦ ὕδατος, τὸ τῷ μελικράτῳ φυραθὲν ἄλευ-
ρον, ψαθυρώτερον γίνεται, ἢ ὅταν ἑψηθῇ, ἢ ὀπτηθῇ, ἢ τὸ τῷ ὕδατι; ἢ διό-
τι, τὸ μὲν ὑπὸ τοῦ πυρὸς πήγνυται καὶ συνίσταται τὸ ὕδωρ· τὸ δὲ μέλι
συνίσταται μὲν, ἀλλ' ἐπιξηραίνεται· διὸ μᾶλλον ψαθυρὸν ποιεῖ· ἡ γὰρ ψαθυ-
ιβ' ρότης, ὑπὸ ξηρασίας γίνεται. Διὰ τί οἱ δίπυροι ἄρτοι ψυχθέντες,
οὐ γίνονται σκληροί; ἢ ὅτι ἔχει τινὰ ἐν αὐτῷ ὁ πυρὸς γλυκὺν καὶ γλίσχρον
χυμὸν· ὅς ἐστιν αὐτοῦ καθάπερ ψυχή, σημεῖον δέ· ξηραινόμενος γὰρ ὅλος
κενοῦται· νοτιῶν δὲ, ἐκφύεται· τοῦ οὖν χυμοῦ τούτου ἐνυπάρχοντος, ἐν
τῷ ἀλεύρῳ μάλιστα τῷ καθαρωτάτῳ, σταιτὸς γινομένου τοῦ ἀ-
λεύρου καὶ τριβομένου, συμβαίνει αὐτό· σημεῖον δέ· ἑψόμενον γὰρ, δια-
χωρητικώτερον γίνεται· ὀπτωμένου μὲν τὸ πρῶτον τοῦ ἄρτου τὸ ψαθυρὸν
ἐλαφρόν· τοῦ δὲ ὑγροῦ τοῦ ἐκ τοῦ ἄρτου ἀπατμίζοντος, τοῦ ἀλεύρου τὸ ἀ-
χυρῶδες σταιτὸν ἀποκαίεται· ἐξαιρεθέντος δὲ καὶ τριβομένου πάλιν τοῦ
σταιτὸς, τό, τε τοῦ ἀλεύρου λειότατον καὶ τοῦ ὑγροῦ γλισχρότερον
λειπόμενον, μίγνυται μᾶλλον ἑαυτοῖς· διὰ τί τὰ τοιαῦτα καὶ μᾶλλον
γεγονέναι· καὶ διὰ τὴν πύρωσιν· σαφῶς ὁμοία ἡ μίξις αὐτῶν γίνεται·
ὥστε γίνεσθαι τὸ ὕστερον τριφθὲν σταῖς, ὅμοιον τῷ ἑψομένῳ ἀλεύ-

σταῖς tritici massa theo.

συνιζεῖ

Tritici massa σταῖς · μᾶζα ordei massa · Dr.

μελικράτῳ mulso

ψαθυρότης ὑπὸ ξηρασίας γίνεται .i. fragilitas a siccitate

δίπυροι biscocti panes refrigerati minus fiunt duri

νοτιῶν cum vaporis aliquid sentit

ἑψόμενον in pulte decocta

διαχωρητικώτερος lentius redditur

:: ζύτου · ff ·

n. f. [Greek illegible] digesta cocta ex utroque m.

:. sic legit uetus interpres uertitque p igne. At theodorus [Greek illegible] uertens biscoctus

ρῳ, καὶ γὰρ ἐκεῖνο ξηρὸν ἑφθέντος τοῦ σταιτὸς, καὶ λεφθέντος πλεῖστά του ἀλεύρου καὶ γλισχρότατον ὑγροῦ πυρωθὲν, κολλῶδες γίνεται καὶ ἀνεξίκμαστον. τὸ γὰρ γλίσχρον δυσδιαίρετον, καὶ τὸ πυκνὸν οὐθενὸς διϊὸν τοῦ προϊέναι. ὑγρότατον οὖν τοῦτο, καὶ διάπυρος ὢν ἔχει ἄρτος διὰ τὰ εἰρημένα· ἔχων δὲ ἀεὶ ὑγρότητα, οὐ γίνεται σκληρός.

ιγ' Διὰ τί τῶν τροφῶν ἐξ ἧς κρᾶσις τῶν ὑγρῶν ἐνίοις δυνάμεθα πολὺν χρόνον χρῆσθαι· οἷον ἡ γινομένη τροφὴ ἐξ ἀλφίτων ἢ ἀλεύρων· ἢ τοῖς οἴνοις τοῖς αὐστηροῖς καὶ ὕδατι. τοῖς δὲ, οὐ δυνάμεθα, καὶ ταῦτα ἥδιον οὖσιν. ἢ ὅτι τὰ μὲν ἐστὶ τῶν προσφερομένων ὡς πλαστικὰ καὶ τρόφιμα. ὥστε καὶ ὅταν κενωθῶσι τῆς πρώτης τροφῆς ἀναλωθείσης, ἔτι ἔνεστιν ἐν τῷ σώματι πολλὴ δύναμις. ὡς μὲν πρὸς τὴν πρώτην ἐργασίαν τοῦ σώματος πεμφθεῖσα· ὡς δὲ πρὸς τὸ τέλος καὶ τὴν ἐκδιαδοχὴν τῆς προμένης, ἄπεπτος. τοιαῦτα δέ ἐστι καὶ τῶν ἡδέων τὰ πλεῖστα. τὰ μὲν γὰρ λιπαρὰ καὶ γλυκέα καὶ πίονα, ἥδιστα δοκεῖ εἶναι γευομένοις ἡμῖν. ταῦτα δέ ἐστι πάντα τὰ τρόφιμα καὶ οὐκ ἄπεπτα. καὶ ἔτι πλαστικὰ, ἐν ᾗ αὐτῇ διαφορά. ὥστε ψαῦλον εἶναι τὴν δύναμιν, ἐάν τις αὐτῶν πληρωθῇ, ἢ μὴ ταχὺ ἐκλείπῃ τὴν αἴσθησιν. οὐ γὰρ μόνον ἐν τῇ κοιλίᾳ ἐνόντων γίνεται ἡ πλήρωσις· ἀλλὰ καὶ διαδοθείσης τῆς τροφῆς ἐν ἄλλοις μέρεσιν. ἢ οὐ μόνον τοῦτο αἴτιον ἀλλὰ καὶ τὸ τῇ φύσει ἐνίας σύμμετρα εἶναι καὶ οἰκεῖα ἡμῖν. πάντα γὰρ τὰ τοιαῦτα διὰ τὸ κατὰ φύσιν εἶναι μᾶλλον προσίεται τὰ σώματα. τὰ δὲ παρὰ φύσιν ἧττον. ἀγαπητὰ δ' ἃ κράσει ἁρμόζει. οἷον τὸ μέλι ταῖς μελίτταις, κατὰ φύσιν ἐστὶν ὥστε προσφέρεσθαι μόνον. καίτοι ἀθρόως τελέσει τὴν δύναμιν. ὥστε δεῖ λείπειν τὸ ἀναλισκόμενον. ἀλλ' εἶναι ἀνάλογον τὸ πλῆθος, πρὸς τὴν ἰσχὺν τὴν ἀπὸ τῶν αἰτῶν. ὥστε ὅσα τῶν ἡδέων τοιαῦτά ἐστι, διὰ μὲν τὸ ἐν τῇ φύσει ἧττον ὑπάρχειν ἡδέα φαίνεται ὀλίγον δὲ χρόνον. εἶτα πληροῖ ταχύ. τῶν δὲ κατὰ φύσιν ἀεὶ δέονται· ὥστε καὶ προσφερόμενον συνεχῶς δι' αὐτά, οὐ τῶν ἡδέων

ιδ' ἀλλ' ἑτέρων ἧττον πληροῦνται. Διὰ τί τὰ αὐτὰ συνεθιζομένοις τὰ ἡδέα φαίνεται, καὶ λίαν συνεχῶς προσφερομένοις οὐχ ἡδέα

τὸ δὲ

ὡς πλαστικὰ ad nutriendum aptiora

ψαῦλον. diu immoratae theodo. At uetus interpres ridicule transtulit spirabile

De Satietate documentum notandum

:. f. [Greek illegible]

:. hec uerba uetus interpres & agnoscit & uertit at theodorus uidetur reiecisse pro superfluis

τὸ γὰρ ἔθος γίνεται τὸ πολλάκις καὶ συνεχῶς ποιεῖν. ἢ ὅτι τὸ μὲν ἔθος, ἕξιν δεκτικὴν τινὸς ἐν ἡμῖν ποιεῖ, οὐ πλήρωσιν. τὸ δὲ συνεχῶς προσφέρεσθαί τι, πληροῖ τὴν ἐπιθυμίαν, ἧς καθάπερ αἴτιόν ἐστι. καὶ ἔτι καὶ αἱ ἐπιθυμίαι αἱ μὲν ὑπὸ ἕξεως γυμναζόμεναι, αὔξονται καὶ ἐπιδιδόασι. τὰ δὲ ἀγγεῖα σαττόμενα, οὐδὲν μείζω γίνεται· διόπερ τὸ μὲν ἔθος ὂν γυμνάσιον, αὔξει τὴν δεκτικὴν ἕξιν. τὸ δὲ συνεχῶς προσφερόμενον σάττει μὲν καὶ πληροῖ τὴν ἐπιθυμίαν, ἧς πληρωθείσης, οὐκέτι προσιέμεθα. αὔξει δὲ οὐθὲν αὐτὴν, διὰ τὰ προειρημένα, ὑπὸ τῆς σάξεως. ἔτι τὸ ἔθος οὕτως ἂν εἰ ἡδὺ μὲν, ἡδύ ἐστι. λυπεῖ δὲ καὶ τὰ τοιαῦτα, ἐάν τις συνεχῶς ποιῇ. ἀλλὰ τὸ τὴν ἀρχὴν τοῦ ἔργου ἡδέως ἡμᾶς προσίεσθαι. καὶ πλείω χρόνον δύνασθαι ταὐτὸν ποιεῖν, ἃ ἀσυνήθεις ὄντες, ἐν ᾧ οὐκ ἔστι τοῦτο λυπεῖ ἡδὺ ὄν, ἐν ταύτῃ καὶ τὰ ἄλλα, ἡδέα. συνεχῶς γὰρ γινόμενα ἢ προσφερόμενα· ἀμφότερα λυπεῖ. αἴτιον δὲ, διὰ τὸ μὴ ἀπείρους ἡμᾶς ἐν αὐτοῖς δυνάμεις ἔχειν τὰς δεκτικὰς ἢ ποιητικάς. ἀλλὰ πεπερασμένας αἳ τυγχάνουσαι τοῦ συμμέτρου αὐταῖς. τοῦ γὰρ συνεχῶς ἐστὶν αἰσθητὸν εἰσπιπτόντος

ιε' αἱ μὲν πληροῦνται· αἱ δὲ, ἀδυνατοῦσιν ἐνεργεῖν. Διὰ τί τὸ μὲν σταῖς γίνεται τριβόμενον λευκὸν· ἡ δὲ μάζα μελαντέρα. πότερον ὅτι ξηραίνεται μᾶλλον τὸ ἐπιπολῆς ἐν τῷ ἀλφίτῳ. οἷον ἐν ὑγρῷ θερμῷ, ὃ ποιεῖ τὴν λευκότητα· ἢ διὰ τὸ πεπυρῶσθαι ἕλκει τὸ ὑγρὸν εἰς

ις' αὑτὸ μεταλαμβάνειν ὄν. Διὰ τί τὰ ἄλφιτα μᾶλλον τῷ ὕδατι συμφυόμενα ἢ τῷ ἐλαίῳ ὄντι γλισχροτέρῳ, καίτοι κολλητικώτερον τὸ γλίσχρον. τὸ δὲ ἔλαιον τοῦ ὕδατος γλισχρότερον. ἢ ὅτι λεπτότερον τὸ ὕδωρ. ὥστε εἰσέρχεται εἰς ἅπαν καὶ μαλακὰ ποιεῖ. συμφύεταί τε μᾶλλον καὶ συνθλίβεται πρὸς ἄλληλα. καίτοι θλιβό-

ιζ' μενα καὶ χωρεῖ τῆς ψήξεως. Διὰ τί οἱ ἄζυμοι ἄρτοι ἢ οἱ σφόδρα τετριμμένοι ἐζυμωμένοι, ἢ οἱ μὴ ξιπτοὶ διὰ τὸ ἄζυμοι τοῖς εἶναι. ἡ γὰρ τρῖψις, συνδεῖ. προωδοποιεῖ ὥσπερ οὖν τῇ ζυμώσει. ἔτι ἀμιγὲς ἂν πολὺ ἔχουσιν ὑγρόν. οἱ δὲ τετριμμένοι σφόδρα, λίαν εἰσὶ ξηροὶ διὰ τὸ ὀλίγον ἔχειν ὑγρόν. θερμαινομένων δὲ, πᾶν ἐξέρχεται. ὥστε ἀμφω

Habitus cum exercentur augentur atque proficiunt

σαττόμενα ἀγγεῖα οὐδὲν μείζω γίνεται

σταῖς μάζα

συμφύεται melius coit. theodo.

Cur panes & parum & nimium triti rumpantur

∴ σου̑ · s f. ex theodoro
secundo. in

διὰ τὸ πολὺ ὑγρὸν ἐξιέναι ἐγγίνονται. πολὺ γὰρ ἐν μὲν τοῖς ἀξέστοις
ἁπλῶς ἔνεστιν· ἐν δὲ τοῖς τετριμμένοις, περὶ τὸ ὑπόλοιπον.

Cur massa tota leuior fit quam seorsum humor & farina

ιη Διὰ τί κουφότερον τὸ φύραμα γίνεται, ἢ ἄμφω χωρὶς, καὶ τὸ
ἄλφιτον. πότερον ὅτι μιγνυμένων πνεῦμα συγκατακλείεται·
ἢ ὅτι ὑπὸ τοῦ θερμοῦ τοῦ ἐν τῷ ἀλφίτῳ τι ἐξατμίζεται τοῦ ὕδατος. ὥσ-
τε ἔλαττον γίνεται τὸ μεμιγμένον. ὁ δὲ ἀὴρ εἰ καὶ μίγνυται, οὐδὲν ἂν
ιθ κουφότερον ποιῇ. ἔχει γὰρ βάρος ὁ ἀὴρ ἐν τῷ ὅλῳ ἀεί. Διὰ τί με-
τὰ τοῦ ἀλφίτου πινόμενον τὸ γάλα καὶ ὁ γλυκὺς, φαίνεται γλυ-
κύτερα. πότερον ὅτι παρὰ τὸ μὴ γλυκὺ μᾶλλον φαίνεται. τὸ δὲ ἄλφιτον
οὐ γλυκύ. ἢ ὅτι ἐνδιατρίβει τὸ ἄλφιτον ἔχον γλυκύτητα. ὥστε πλείονι
κ· χρόνῳ ἡ αἴσθησις. Διὰ τί ἧττον ἄκρατον φαίνεται τὸ αὐτὸ πόμα με-
τὰ τοῦ ἀλφίτου πινόμενον. πότερον ἢ ὅτι κεραννύουσιν ἄλλο ἔχει μετὰ τὰλ-
λα, ἢ ὅτι ἀντιφράττει τοὺς πόρους καὶ ἀφανίζει, ἀντισπῶμεν εἰς αὑτό.
κα Διὰ τί ὁ χόνδρος πλεῖον ὕδωρ δέχεται. ἢ ὅτι πυροὶ ἐξ ὧν ὅτου
ἐστὶ γίνεται ὁ χόνδρος, ἢ ἄλευρα, πῶς ἐστὶν ὁ χόνδρος. τὰ δὲ ἄλευρα
πλεῖον δέχεται. εἰ γὰρ γίνεται ὁ ὄγκος πλείων, ἢ ὁ τῶν πυρῶν. σέσακται
γὰρ τὰ ἐν τοῖς πυροῖς. τὰ δὲ πλείω χωρεῖ πλεῖον. καὶ τούτῳ καὶ ὅτι ἔχει
θερμότητα, καὶ τὰ ἄλευρα, καὶ ὁ χόνδρος. τὸ δὲ θερμὸν, καὶ ἕλκει μᾶλ-
κβ λον τὸ ὑγρὸν καὶ ἐξαναλίσκει ἐξατμίζον. Διὰ τί τὸ ἄλευρον τρι-
βόμενον μεῖζον πολὺ γίνεται, ἢ τὸ ἄλφιτον κατὰ λόγον. ἢ ὅτι τὸ
μὲν πολὺ ὕδωρ δέχεται. τὸ δὲ, ὀλίγον. διὰ τί δὲ δέχεται πλεῖον. μᾶλλον
γὰρ εἰκὸς τὸ ἄλφιτον. πεπύρωται γάρ. τὸ δὲ, ἄπυρον. μᾶλλον δὲ ξηρὸν
τὸ πεπυρωμένον, ἢ διότι τρίψιν μᾶλλον δέχεται τὸ ἄλευρον. τού-
του δὲ αἴτιον, τὸ μικρομερέστερον εἶναι. ὥσπερ οὖν ὅσα πλησίον ἐστὶ
δυνάμει τῇ μικρότητι, τοσαυταπλάσιον δέχεται τὸ ὕδωρ. κόλλη-
χεῖται τῷ ὕδατι. ὥσπερ καὶ Ἐμπεδοκλῆς μετήνεγκεν ἐν τοῖς περσι-
κοῖς ἐπῶν, ἄλφιτον ὕδατι κολλήσας. ἡ ἀναλίσκει πολὺ διὰ τοῦτο.
κγ· Διὰ τί δὲ ἡ πεπυρωμένου τοῦ σταιτὸς, μεῖζον γίνεται ἢ ἡ μᾶζα. ἢ ὅτι
ἔχει ὑγρὸν οὐ κεχωρισμένον. ὥστε ἐξιέναι θερμαινομένου, οὐ πνεῦμα
γινόμενον. καὶ οὐ δυνάμενον ἐξιέναι. ὁμοίως καὶ ἐν τῇ μάζῃ διὰ τὸ

Lac & uinum dulce quotiens cum farina ordei potatur sentiuntur dulciora

Eadem potio minus appa ret mera si farina ordei inspersa bibatur

χόνδρος Alica

Farina tritici subacta

Empedocles

Empedoclis persica

Cur tritici massa igni mandata magis turget quam ordei

∴ s f. κολλᾶσθαι glutinare uetus interpres.
theodorus quoque idem

κα 77

πυκνότητα τοῦ σταιτός. πυκνὸν γάρ ἐστι τὸ ἐκ μικρομερεστέρων. αἴρει οὖν
καὶ ποιεῖ τὸν ὄγκον. ἔτι δὲ καὶ πλεῖον ἔχει τὸ ὑγρὸν, ἐξ οὗ θερμαινο-
μένου, πνεῦμα γίνεται. ἐκ δὲ τοῦ πλείονος, ἀνάγκη γίνεσθαι πλεῖ-
κδ ον. Διὰ τί οἱ περὶ τὴν τῶν σιτίων ἐργασίαν, οἱ μὲν περὶ τὰς κρι-
θὰς ἀχροιῶντες καὶ καταρροητικοί. οἱ δὲ περὶ τοὺς πυροὺς εὐε-
κτικοί. ἢ διότι εὐπεπτότερος ὁ πυρὸς τῆς κριθῆς. διόπερ καὶ αἱ ἀπορ-
κε ροιαι. Διὰ τί ὁ ἄρτος ἐὰν μέν τις αὐτὸν ὀπτᾷ, σκληρότερος γίνεται·
ἐὰν δέ τις αὐτὸν χλιαίνῃ, ὑγρότερος ἄχρι τινός. ἢ ὅτι ὀπτωμένου αὐτοῦ,
τὸ ὑγρὸν ἐκπορεύεται. σκληρότερος οὖν γίνεται. ἐπιθερμαινομένου δὲ
τὸ ὑγρὸν συσταθὲν, διαχεῖται ὑπὸ τοῦ πυρός. διὸ ὑγρότεροι γίνονται.
κϛ Διὰ τί τὰ μὲν ἄλευρα ψυχόμενα ἧττον σάττεται. τὰ δὲ ἄλφιτα μᾶλ-
λον. ἢ ὅτι τὰ μὲν μικρομερῆ. οὐ διαλείπει χώραν, καὶ τῷ βαρέα, τῇ θλί-
ψει, τὰ πλείω ἐλάττω κατέχει τὸ ἴσον. τὰ μὲν οὖν ἄλφιτα, ;-
ὀρθά ἐστι. ψυχόμενα οὖν ἐλάττω γίνεται. ὥστε τὸ ἔλαττον, συμπιέζει
τὸ πλεῖον. τὰ δὲ ἄλευρα, ὑπάρχει μὲν μικρομερῆ ὄντα. ὥστε οὐ διὰ
τοῦτο ψύχεται. ἀλλ' ἵνα ἧττον κουφότερα εἰ μὴ σάττηται διὰ τὴν θλίψιν.
βαρύτερον γὰρ φύσει τὸ ἄλευρον
τοῦ ἀλφίτου
ἐστίν.

ἈΡΙΣΤΟΤΈΛΟΥΣ ὍΣΑ ΠΕΡῚ ὈΠΩΡΑΝ.

α Διὰ τί τὴν ὀπώραν ὕστερον ἢ πρότερον φαγοῦσιν, οὐκ ἂν ἀλλο-
τ' αὐτοῖς ὁ δεῖ κατὰ τὸ πληρώσασθαι γίνεται. ἢ ὅτι βαρύτερα ἐστὶν ἡ ὀ-
πώρα πολὺ τῶν σιτίων. δηλοῖ δὲ καὶ τὰ σῦκα ἐὰν ὕστατα βρωθῇ, τε-
λευταῖα γὰρ ἐμεῖται. ἐὰν μὲν οὖν πρῶτα διὰ βάρος κάτω πορευό-
μενα, εὐρυχωρίαν ἄνω ποιεῖ. ὥστε ἐφόδιον δέχεσθαι τὸν ὄγκον τῶν σι-
τίων. ἀνάπαλιν δὲ εἰσελθόντα τὰ σιτία διὰ τὸ κάτω φέρεσθαι τα-
β χὺ τοῦ ἄνω κενοῦ προσλαμβάνει. Διὰ τί τῶν γλυκέων ὄντων ὁ-
μοιοτέρων ἡμῖν ἢ τῶν δριμέων, θᾶττον πληρούμεθα ὑπὸ τῶν γλυκέων.

σταῖτος ἐκ μικρομερεστέρων

De differentia inter pistores tritici & pistores ordei ualetudinem · pulchrum

Panis tostus durior tepefactus humidior redditur aliquantisper solet

σάττεται constringitur

Poma ceteris esculentis longe grauiora

∧ deest negatio ex utroque
interprete

εἰκὸς δὲ ἐστὶν ἧττον ὑπὸ τῶν ὁμοίων ἢ ἧττον εἰκὸς πληροῦσθαι. ἢ ὅτι οὐχ ὁμοίως γε, τὸ ἀγγεῖον πληροῦται ταχὺ, ἐξ οὗ πληρούμεθα καὶ τὸ τρεφόμενον. ἀλλ' ἐνίοτε ἡ μὲν κοιλία πλήρης ἐστίν. οἷον τῶν διψώντων. ἡ δὲ δίψα, οὐδὲν ἧττόν ἐστιν. οὐ γὰρ τῷ ταύτην εἶναι πλήρη παυόμεθα διψῶντες, ἀλλὰ τῷ ἑκάστου τοῦ σώματος τὸ αὐτῷ οἰκεῖον ἐσπακέναι. καὶ ὅτε ἐκεῖνα ἀπολαύῃ καὶ ἔστι, τότε παυόμεθα διψῶντες, καὶ πεινῶντες δὲ ὡσαύτως.

De Satietate quomodo fiat adverte

γ' Διὰ τί θᾶττον πληρούμεθα ἀπὸ τῶν γλυκέων, ἢ ἀπὸ τῶν δριμέων. ἢ ὅτι θᾶττον παυόμεθα ἐπιθυμοῦντες τῶν γλυκέων. ὡς μὲν ἡ κοιλία πληροῦται, οὕτω καὶ ἡμεῖς ὑπὸ τῶν γλυκέων, οὐχ ὁμολογεῖται. ὅτι δὲ ἡ ἐπιθυμία θᾶττον ὑπ' αὐτῶν πληροῦται, τούτου ἂν εἴη λεκτέον. ἢ ὅτι ἡ μὲν ἐπιθυμία ὥσπερ εἴπομεν, ἐστὶ μὲν ἔνδεια. καὶ ὅταν μηκέτι ἔχωμεν τροφὴν ἢ ὀλίγην. τὰ μὲν οὖν δριμέα, οὐκ ἔτι τρόφιμα, ἀλλὰ τροφὴν μὲν ὀλίγην ἔχει. τὸ δὲ περίττωμα πολύ, εἰκότως οὖν πολλὰ ταῦτα ζητοῦμεν ἐσθίειν, καὶ οὐκ ἐμπιπλάμεθα αὐτῶν τὴν ἐπιθυμίαν διὰ τὸ ἔτι προσδεῖσθαι τροφῆς. ταῦτα δὲ μὴ ἔχειν τροφήν. τὰ δὲ γλυκέα ἅπαντά ἐστι τροφή. καὶ ἀπὸ μικρῶν τοιούτων πολλὴν λαμβάνει τὸ σῶμα. ὅταν οὖν ἀπολαύῃ πολλὴν τροφήν, οὐκέτι δυνάμεθα ἐσθίειν, διὰ τὸ μὴ ὑπερφέρειν. εἰκότως οὖν θᾶττον ὑπὸ τῶν γλυκέων πληρούμεθα.

Cur ocy[us] dulcibus quam acrib[us] satiemur

Desideriu[m] sive cupiditas q[ui]d sit

δ' Διὰ τί τὰ περικάρπια καὶ τὰ κρέα καὶ ὅσα τοιαῦτα ἐν τοῖς ἀσκοῖς ἄσηπτα γίνεται, ὅταν σφόδρα φυσηθῶσι. καὶ τὰ ἐν τοῖς ἀγγείοις περιπωματιζομένοις ὡσαύτως, ἢ διότι σήπεται μὲν κινούμενα πάντα. τὰ δὲ πλήρη, ἀκίνητα. ἀδύνατον γὰρ ἄνευ κενοῦ κινηθῆναι. ταῦτα δὲ πλήρη.

περικάρπια - fructus arboru[m] · Theodo ·

σήπεται μὲν κινούμενα πάντα

Fructus arboru[m] & carnes & cetera id gen[us] utribus vehementer inflatis co[ntenta] diutius incorrupta durant & ite[m] que vasis diligenter picata & undiq[ue] obturata fuerint

ε' Διὰ τί μετὰ τὰ σαπρὰ τῶν περικαρπίων, ὁ οἶνος πικρὸς φαίνεται πινόμενος. ὅτι τὴν πικρότητα ἔχει ἡ σαπρότης ἡ τοιαύτη. τὸ οὖν ἐπιμενόμενον ἐπὶ τῇ γλώττῃ μιγνύμενον τῷ πόματι καὶ διαχεόμενον, πικρὸν ποιεῖ τὸ πόμα. αὐτὸ δὲ καθ' αὑτὸ ἧττον φαίνεται ἐσθιόμενον, διὰ τὸ πολλὴν ἀπεῖναι, καὶ εἰς μικρὰ διανενεμῆσθαι τὸν τοιοῦτον χυμόν.

Post poma putria epotu[m] vinu[m] amaru[m] sentitur

Διὰ τί τὰ τραγήματα ἐδεστέον. ἢ ἕνεκα τοῦ πιεῖν ἱκανῶς. οὐ γὰρ μόνον τρίτον τῆς δίψης χάριν τῆς ἐπὶ τοῖς σιτίοις, ἀλλὰ

καὶ

Tragemata cur comedenda sint bellaria theodor[us] vertit

ζ' τε μετὰ τὸ σιτίον. Διὰ τί τὰ ὀπτὰ κάρυα ψυχθέντα χείρω γίνεται. καὶ ὁ ἄρτος δὲ καὶ ὁ βάλανος καὶ πολλὰ τῶν τοιούτων. θερμανθέντα δὲ πάλιν βελτίω. ἢ διότι ψυχθέντος μὲν πέπηγεν ὁ χυμός. ἀναχλιανθέντος δὲ πάλιν χεῖται. ἡ δὲ ἡδονὴ γίνεται διὰ τὸν χυμόν.

η' Διὰ τί ἐν τῇ ἀπολαύσει τῶν ὀπωρῶν οἷον σύκων καὶ τῶν τοιούτων, ἢ οἶνον ἄκρατον δεῖ ἐπιπίνειν, ἢ ὕδωρ. ταῦτα δὲ ἐναντία. ἢ ὅτι ἡ ὀπώρα καὶ θερμή ἐστι καὶ ὑγρὰ διὰ τὴν γένεσιν. ἔχει γὰρ πολὺ πῦρ καὶ ὑγρότητα. ὥστε διὰ μὲν τὸ πῦρ, οἷον ζέσιν ποιεῖ ὁ χυμὸς ἔσω, ὥσπερ ἔξω τὸ γλεῦκος ποιεῖ. ἧττον δὲ ἔχει δύναμιν. καὶ τὰ ἄλλα τὰ ἀκρόδρυα. τὸ δὲ τῆς ὑγρότητος πλῆθος, ἀπεψίαν ποιεῖ. τὸ μὲν οὖν ὕδωρ διὰ τὴν ψυχρότητα σβεννύει τὴν ζέσιν. ὁ δὲ οἶνος διὰ τὴν θερμότητα ὡς ἐπὶ τὸ πολύ. ὥσπερ γὰρ πῦρ ἐνίοτε πυρὸς ἐὰν ᾖ ἔλαττον ἀφαιρεῖται τὴν ἰσχύν. μᾶλλον δὲ τῇ θερμότητι πεπτικός ἐστι τῆς ὑγρότητος. καὶ διὰ βάρος κατακρατεῖ τῶν τῆς ζέσεως ἐπιπολασμῶν.

In usu fructuu[m] ut ficoru[m] & alioru[m] huius no[n]te aut mero vino ute[n]du[m] aut mera aqua / cum hec sint contraria

θ' Διὰ τί τῶν ἰσχάδων γλυκύταται αἱ διεσχισμέναι. οὔτε δὲ αἱ πολυσχιδεῖς οὔτε αἱ ἀσχιδεῖς. ἢ διότι ἐκ μὲν τῶν πολυσχιδῶν διαπέπνευκε καὶ ἐξικμάκε μετὰ τοῦ ὑγροῦ τὸ πλεῖστον τοῦ γλυκέος. ἐν δὲ ταῖς μεμυκυίαις, πολὺ τὸ ὑδατῶδές ἐστι, διὰ τὸ μὴ ἠτμικέναι. αἱ δὲ ἐσχισμέναι μὲν μὴ πολλὰ δὲ, ἀμφοτέρων τούτων ἐκτός ἐστι τῶν παθημάτων.

Ischades .i. carice ut theodo. vertit dulcissime sunt bifide no[n] multifide ut omnino no[n] scisse

ι' Διὰ τί ταῖς καμίνοις ψυχόμενα τὰ σῦκα σκληρότερα γίνεται, ἐὰν ψυχθῇ ἐν τῇ καμίνῳ, ἢ ἂν ἐξαιρεθέντα ψυχθῇ. ἢ ὅτι ἐν μὲν τῇ καμίνῳ ἐξατμίζει πᾶν τὸ ὑγρὸν ὑπὸ τοῦ θερμοῦ. ἔξω δὲ περιεστηκὼς ὁ ἀὴρ ψύχων, κωλύει τὸ ὑγρὸν ἐξιέναι καὶ συνίστασθαι. μᾶλλον γὰρ ἐξατμίζει. ἐστὶ δὲ τὰ μὲν ξηρὰ σκληρά, τὰ δὲ ὑγρὰ μαλακά.

καμίνοις furnis theodorus

ια' Διὰ τί μετὰ τὰ στρυφνὰ ὁ οἶνος καὶ τὸ ὕδωρ φαίνεται γλυκύτερα, οἷον ἐάν τις βαλάνους, ἢ μύρτα, ἢ τι τῶν τοιούτων διατράγῃ. ἢ εἰκότως καθάπερ καὶ ἐπὶ τῶν ἄλλων. πᾶν γὰρ τὸ αὐτὸ παρὰ τὸ ἐναντίον μᾶλλον φαίνεται. οἱ δὲ τῶν ἐναντίων χυμοί, ἀντικείμενοί πως εἰσίν. ἢ ὅτι καθάπερ ἐπὶ τῶν βαπτομένων ὑπὸ τοῦ στρυφνοῦ ἡ γλῶττα προδιεργάζεται καὶ τοὺς πόρους ἀνοίγεται

Post acerba vinu[m] aut aq[ua] epota dulcior sentitur

πᾶν τὸ αὐτὸ παρὰ τὸ ἐναντίον μᾶλλον φαίνεται

ὥστε μᾶλλον διιέναι τὸ γλυκύ. τὸ δὲ βάμμα, τούτου ἕνεκεν προβρέχουσιν ἐν τοῖς στρυφνοῖς, ὅπως διεργασθὲν μᾶλλον δέχηται τὴν βαφήν.

ιβ' Διὰ τί τὰ γλυκέα ἧττον δοκεῖ γλυκέα εἶναι θερμὰ ὄντα, ἢ ὅταν ψυχθῇ; πότερον ὅτι ἅμα δύο αἰσθήσεις γίνονται ἀμφοῖν, ὥστε ἡ τοῦ θερμοῦ ἐκκρούει τὴν ἑτέραν; ἢ ὅτι καὶ τὸ γλυκὺ θερμόν, ὥσπερ οὖν πῦρ γίνεται ἐπὶ πῦρ, κωλύει οὖν ἡ θερμότης. ἢ ὅτι τὸ πῦρ ἀφαιρεῖται τὰς δυνάμεις ἁπάντων, διὰ τὸ κινητικὸν εἶναι. εὐμεταβλητότερον οὖν τὸ μεταβάλλειν ἐστὶ θερμὰ ὄντα, ἀποψυχθέντα δὲ ἕστηκε.

Διὰ τί ποτε τὰ ἄχυρα τὰ μὲν σκληρὰ πέττει, τὰ δὲ πεπεμμένα οὐ σήπει; ἢ ὅτι τὸ ἄχυρον θερμόν τέ ἐστι καὶ ὁλκόν. τῇ μὲν οὖν θερμότητι, πέττει· τῷ δὲ ὁλκὸν εἶναι, τὸν ἰχῶρα τὸ σηπόμενον δέχεται. διὸ οὐ σήπει.

ιδ' Διὰ τί τὰ σῦκα μαλακὰ καὶ γλυκέα ὄντα, λυμαίνεται τοὺς ὀδόντας; ἢ διὰ τὴν γλισχρότητα προσέχεται τοῖς οὔλοις, καὶ παρεμπίπτει διὰ τῶν ὀδόντων εἰς τὰ διὰ μέσου, διὰ τὸ μαλακὰ εἶναι, καὶ σῆψιν ποιεῖ ταχέως ἀτεθραμμένα ὄντα. τάχα δὲ ἴσως, καὶ διὰ τὴν σκληρότητα τῶν κεγχραμύδων, ἐν τῇ τούτων κατεργασίᾳ πονοῦσιν οἱ ὀδόντες.

ἈΡΙΣΤΟΤΈΛΟΥΣ ὍΣΑ ΠΕΡῚ ΤῸ ἉΛΜΥΡῸΝ ὝΔΩΡ ΚΑῚ ΘΆΛΑΤΤΑΝ.

α' Διὰ τί τὸ κῦμα οὐκ ἐπιγελᾷ ἐν τοῖς βαθέσι πελάγεσιν, ἀλλ' ἐν τοῖς μικροῖς καὶ βραχέσιν; ἢ ὅτι τὸ μικρὸν ὑγρὸν φερόμενον, μᾶλλον διαιρεῖται ὑπὸ τοῦ πνεύματος, ἢ τὸ πολύ. Διὰ τί τὰ κύματα πρότερον φοιτᾷ ἐνίοτε τῶν ἀνέμων; ἢ ὅτι πρῶτον τὴν ἀρχὴν τοῦ πνεύματος ἡ θάλασσα ὠθεῖσα πρώτη, τὴν ἐχομένην ἀεὶ ταὐτὸ ποιεῖ. διόπερ

οὔσης

Res inficiendae humoribus quibusdam acerbis ante immerguntur ut inde affectae infici colore plenius atque indelebilius possint

Dulcia cum si calefiant minus dulcia uidentur

γλυκὺς dulcis suauis

Paleae fructus duros coquit coctos autem non putrefacit

Cur ficus molles & dulces cum sint laedunt dentes

οὖλοις gingiuis

κεγχραμύδων granorum

Cur unda non rideat in profundis pelagis sed in paruis & breuibus

Cur ante ipsos uentos fluctus nonnumquam intumescunt

οὔσης αὐτῆς συνεχοῦς, καθάπερ μιᾶς πληγῆς συνεχεῖ πάσαις γίνεται. τὸ δὲ, ἐν ἑνὶ χρόνῳ γίνεται· ὥστε συμβαίνει τήν τε πρώτην καὶ τὴν ἐσχάτην ἅμα κινεῖσθαι. ὁ δὲ ἀὴρ οὐ πάσχει τοῦτο· ὅτι οὔτε ἐστὶν ἓν σῶμα συνεχές, καὶ πολλὰς πάντοθεν ἀντικρούσεις λαμβάνει· αἳ πολλάκις κωλύουσι τὴν πρώτην καὶ νεανικωτάτην κίνησιν. τήν τε θάλασσαν ὑπεριοῦσι τοῦ γ, διὰ τὸ βαρύτερον καὶ δυσκινητότερον εἶναι αὐτοῦ.

γ' Διὰ τί τὰ πλοῖα γέμειν μὲν δοκεῖ μᾶλλον ἐν τῷ λιμένι, ἢ ἐν τῷ πελάγει, θεῖ δὲ θᾶττον ἐκ τοῦ πελάγους πρὸς τὴν γῆν, ἢ ἀπὸ τῆς γῆς πρὸς τὸ πέλαγος; ἢ ὅτι τὸ πλέον ὕδωρ ἀντερείδει μᾶλλον ἐκ τοῦ ὀλίγου. ἐν δὲ τῷ ὀλίγῳ δέδυκε, διὰ τὸ κρατεῖν αὐτοῦ μᾶλλον· ὠθεῖ γὰρ κάτωθεν τὸ ὕδωρ ἄνωθεν. ἐν μὲν οὖν τῷ λιμένι, ὀλίγη ἐστὶν ἡ θάλασσα· ἐν δὲ τῷ πελάγει, βαθεῖα. ὥστε καὶ ἄγει πλέον δόξει ἐν τῷ λιμένι, καὶ κινεῖσθαι χαλεπώτερον, διὰ τὸ δεδυκέναι μᾶλλον, καὶ ἧττον ἀντερείδειν τὸ ὕδωρ. ἐν τῷ πελάγει δὲ, τἀναντία τούτων ἐστίν.

δ' Διὰ τί ὅταν ῥιφθῇ εἰς τὴν θάλασσαν κυμαίνουσαν οἷον ἡ ἄγκυρα, γαλήνη γίνεται; ἢ διότι ἵσταται ἡ θάλαττα ὑπὸ τοῦ φερομένου, μεθ' οὗ ἀὴρ συγκαταφέρεται· ὃς ἐπ' εὐθείας κάτω φερόμενος καὶ ἐν ταὐτῷ ἱστάμενος, συνίστασθαι ποιεῖ τὸ ἐκ πλαγίου κινοῦν τὴν θάλατταν. ὁ δὲ κλύδων τῆς θαλάττης, οὐκ ἄνωθεν κάτω γίνεται, ἀλλ' ἐπιπολῆς. οὗ λήξαντος, γαλήνη γίνεται. ἔτι συνιοῦσα ἡ θάλασσα εἰς τὰ διαστάντα ὑπὸ τοῦ φερομένου, δίνην ποιεῖ. ἡ δὲ δίνη, κύκλῳ φέρεται. ἐπειδὴ δὲ ἡ εὐθεῖα τοῦ κύκλου κατὰ σημεῖον ἅπτεται, τὰ δὲ κύματα ταῖς εὐθείαις λοξῆς φέρεται, συμβαίνει ἂν αὐτὰ τῆς ἐξωτάτου τῆς δίνης κατὰ σημεῖον ἅπτεσθαι, διά τε τὰ εἰρημένα, καὶ διὰ τὴν τῆς δίνης φοράν, ἡ προσιοῦσα ἀπωθεῖται αὐτά. ἀκύμονος δὲ ὄντος τοῦ κατὰ ταύτην τὸν τόπον, γαλήνη ἐν τῇ ἑξῆς αὐτῆς συμβαίνει γίνεσθαι. ὅτι συγκαταβὰς ἀὴρ τῷ ἐνεχθέντι κάτω, ἀναφερόμενος καὶ ὠθῶν ἄνω τὴν θάλατταν, καθάπερ πομφολυγοῖ αὐτήν. ἡ γὰρ πομφόλυξ, ὑγροῦ ὑπὸ ἀέρος κάτωθεν ἀνωθουμένου ἐστίν. πομφόλυξ δὲ πᾶσα, λεία καὶ γαληνός ἐστι. σημεῖα δὲ τῶν εἰρημένων ἐστί. μετέωρος γὰρ ἡ κατὰ τὸ ἐνεχθὲν κάτω θάλαττα τῆς πέριξ γίνεται μικρὸν ὕστερον.

Naues in portu maris quam in pelago onustiores & celerius de alto in terram quam de terra in altum prouehuntur

ἀντερείδειν reniti

ἄγων desiderat uertit theodorus quod si latine uertit bene & illud uersum est . desiderat contexta per totum

Rectam lineam circulum per punctum tangere

σημεῖον punctum

fluctus ad lineam rectam oblique feruntur

πομφόλυξ

∴ sic quidem legit uetus interpres ceterum legendum puto ἀνάσιμα si theodoro credimus qui uertit mesima

Interdum naues quieto mari ita absorbentur ut ne naufragij quidem uestigium usquam appareat

ε´ Διὰ τί ἐνίοτε πλοῖα θέοντα ἐν τῇ θαλάττῃ, εὐδίας καταδύεται καὶ ἀφανῆ γίνεται, ὥστε μηδὲ ναυάγιον ἀναπλεῖν; ἢ ὅταν ἀναζώδῃ τὸ πνεῦμα ἐν τῇ ὑπὸ τὴν θάλατταν γῇ ἐξαερισθὲν ἅμα εἰς τὴν θάλατταν ἀνῇ, ἔσω ἀκολουθεῖ τῇ τοῦ πνεύματος φορᾷ. ὁμοίως δὲ καὶ πάντα τὴν φορὰν μένει κυκλοῦν, φέρεται κάτω. τοῦ τοιούτου δ' ἐστὶ δεῖγμα· τὰ δὲ περὶ μέσην ἐν τῷ πορθμῷ, πάσχει μὲν τοῦτο διὰ τὸν ῥοῦν· γίνονται γὰρ αἱ δῖναι ὑπὸ τούτου καὶ καταδύνεται εἰς βυθὸν, διὰ ταῦτά τε, ἔτι ὅτι ἡ θάλαττα βαθεῖά τέ ἐστιν ὑπαμητροῦ, μέχρι πόρρω. φέρουσιν οὖν εἰς ταῦτα βιαζόμεναι αἱ δῖναι· διὸ οὐκ ἀναπλεῖ αὐτόθι τὰ ναυάγια. ὁ δὲ ῥοῦς γίνεται, ὅταν παυσαμένου τοῦ προτέρου, ἀντιπνεύσῃ ἐπὶ τῆς θαλάσσης ἕτερον τῷ προτέρῳ πνεύματι. μάλιστα δὲ ὅταν νότος ἀντιπνεύσῃ. ἀντιπνέοντα γὰρ ἀλλήλοις τὰ ῥεύματα, περιεκθλίβεται, ὥσπερ ἐν τοῖς ποταμοῖς ἡ γίνονται αἱ δῖναι. φέρεται γὰρ ἑλιττομένη ἡ ἀρχὴ τῆς κινήσεως, ἄνωθεν ἰσχυρὰ οὖσα. ἐπεὶ οὖν εἰς πλάγιον οὐκ ἔστιν ὁρμᾶν (ἀντωθεῖται γὰρ ὑπ' ἀλλήλων) ἀνάγκη εἰς βάθος ὠθεῖσθαι, ὥστε καὶ ὃ ἂν ληφθῇ ὑπὸ τῆς δίνης, ἀνάγκη συγκαταφέρεσθαι. διὸ ἀνάσιμα τὰ πλοῖα ποιοῦνται. ἤδη γὰρ ὀρθὸν ποτὲ μνημονεύεται καταποθέν.

Loca cauernosa esse subter maris ipsius terram

mesima

ἀνάσιμα resima facta

Mare ponticum candidius quam aegeum

Aer ponti crassus & albus

ἀνταυγοῦσα renitens theodorus

Aegei aer κυανοῦς i. ceruleus theo.

Pontus paludosus propter multa flumina que in eum influunt

Pictores flumina pingunt pallida mare ceruleum. Lacum candidum

ς´ Διὰ τί ἡ θάλαττα λευκοτέρα ἡ ἐν τῷ πόντῳ, ἢ ἐν τῷ αἰγαίῳ. πότερον διὰ τὴν ἀνάκλασιν τῆς ὄψεως τῆς γινομένης ἀπὸ τῆς θαλάττης εἰς τὸν ἀέρα. ὁ μὲν γὰρ περὶ τὸν πόντον ἀὴρ, παχὺς καὶ λευκός. ὥστε καὶ τῆς θαλάττης ἡ ἐπιφάνεια τοιαύτη φαίνεται. ὁ δὲ ἐν τῷ αἰγαίῳ κυανοῦς διὰ τὸ μέχρι πόρρω εἶναι καθαρός. ὥστε καὶ ἡ θάλασσα ἀνταυγοῦσα τοιαύτη φαίνεται. ὁ δὲ ἐν τῷ αἰγαίῳ, κυανοῦς. ἢ ὅτι πᾶσαι αἱ λίμναι λευκότεραι τῆς θαλάσσης. ὁ δὲ πόντος ἐστὶ λιμνώδης. διὰ τὸ πολλοὺς ποταμοὺς εἰς αὐτὸν ῥεῖν. αἱ δὲ λίμναι, διὰ λευκότεραι τῆς θαλάσσης καὶ τῶν ποταμῶν, γράφουσι γοῦν οἱ γραφεῖς, τοὺς μὲν ποταμοὺς ὠχροὺς τὴν δὲ θάλατταν, κυανέαν, ἢ ὅτι διὰ μὲν τοῦ ποταμοῦ διέρχεται ταχὺ ἡ ὄψις, καὶ οὐκ ἀνακλᾶται πρὸς τὸν ἀέρα. ἀπὸ δὲ τῆς θαλάσσης, οὐ πάνυ ἀνακλᾶται, διὰ τὸ μὴ λεῖον εἶναι τὸ ὕδωρ, κάτω δὲ ἀποκάμνει βαθύζουσα. διὸ μέλαινα φαίνεται. ἐν δὲ τοῖς λιμνώδεσι ποταμοῖς

πολῆς

∴ deest ex theodoro lacum candidum

πολὺς ὁ μὲν τοῦ ποτίμου, κάτωθεν δὲ τοῦ ἁλμυροῦ, οὐ διέρχεται. ἀλλ' ἀνακλᾶται πρὸς τὴν αὐγήν. διὸ φαίνεται λευκὴ ἡ ἐπιφάνεια αὐτῆς.

ζ´ Διὰ τί ἡ θάλαττα τοῦ ποτίμου ὕδατος ἧττον ψυχρά, καὶ τὰ ἁλυκὰ τῶν γλυκέων; πότερον ὅτι πυκνοτέρα ἡ θάλασσά ἐστι μᾶλλον σῶμα τὰ δὲ τοιαῦτα, ἧττον ψύχεται, ὥσπερ ἐστὶ θερμαίνεται μᾶλλον, σωστικώτερα γὰρ τοῦ θερμοῦ διὰ τὴν πυκνότητα, ἢ ὅτι λιπαρωτέρα ἡ θάλαττα. διὸ καὶ οὐ σβέννυσι τὴν φλόγα. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. τὸ δὲ λιπαρώτερον, θερμότερον. ἢ ὅτι γῆς πολὺ ἔχει. ὥστε ξηρότερον. τὸ δὲ ξηρότερον θερμότερον.

Mare minus frigidum esse aqua poculenta & humores salsos frigidis

Marinam aquam non extinguere flammam

Quod siccius est calidius ∸

η´ Διὰ τί ἡ θάλαττα εὐδιοπτοτέρα τοῦ ποτίμου παχυτέρα οὖσα. λεπτότερον γὰρ τὸ πότιμον τοῦ ἁλμυροῦ. ἢ οὐ τὸ λεπτὸν αἴτιον. ἀλλ' εὐθυωρία τῶν πόρων. πλεῖστοι ἐστὶ μέγιστοι εἰσί. τὸ μὲν οὖν πότιμον, πυκνὸν διὰ λεπτομερὲς αὐτό ἐστι. τὸ δὲ ἁλμυρὸν μεγάλα ἔχει τὰ διάκενα. ἢ ὅτι καθαρώτερον ἡ θάλαττα. γῆ μὲν γὰρ οὐκ ἔστιν. ἡ δὲ ἄμμος βαρεῖα οὖσα ὑφίσταται. τὰ δὲ πότιμα, γεώδη. αὐτὴ δὲ ἐν τῷ μεταξὺ φερομένη καὶ ἀναθολοῦται ταχύ.

Mare perspectius & dilucidius est quam aqua potu idonea cum crassius sit

θ´ Διὰ τί ἐν τοῖς βορείοις εὐδιοπτοτέρα ἡ θάλαττα, ἢ ἐν τοῖς νοτίοις. ἢ ὅτι ἐν τῇ γαλήνῃ χρῶμα ἔχει ἡ θάλαττα. λιπαρὸν γὰρ ἔνεστιν ἐν τῷ ἁλμυρῷ χυμῷ. σημεῖον δὲ, ἐκκρίνεται γὰρ ἔλαιον ἐν ταῖς ἀλέαις. εὐδίας οὔσης καὶ ἀλεεινοτέρας τῆς θαλάττης διὰ κουφότητα, ἐπανθεῖ ἄνω ὁ τοιοῦτος χυμός. τοῖς δὲ βορείοις ἧττον διὰ ψῦχος. ἔστι δὲ τὸ ὕδωρ εὐδιοπτότερον τοῦ ἐλαίου. τὸ γὰρ ἔλαιον χρῶμα ἔχει. τὸ δὲ ὕδωρ ἄχρουν. παρεμφαινόμενον σαφεστέραν ποιεῖ τὴν ἔμφασιν.

Aquilone flante mare pellucidius esse

ι´ Διὰ τί λουσάμενοι τῇ θαλάττῃ θᾶττον ξηραίνονται, βαρυτέρα οὖσα τοῦ ποτίμου, ἢ ὅτι παχυτέρα καὶ γεώδης ἡ θάλαττα. ὀλίγον οὖν ἔχουσα τὸ ὑγρὸν, ξηραίνεται θᾶττον.

Qui marina aqua sese abluerunt citius siccantur quanquam grauior sit quam reliqua potui idonea

ια´ Διὰ τί τὰ κύματα τὰ ἀνεμώδη, ἢ ὅτι σημεῖα τοῦ πνεύματος ἐσομένου. ἔστι γὰρ τὸ πνεῦμα (σύνωσις ἀέρος) ἢ διὰ τὸ ἀεὶ προωθεῖσθαι γίνεται. προωθεῖ δὲ οὐ συνεχὲς πνέον τὸ πνεῦμα, ἀλλὰ ἀρχόμενον. τὸ μὲν δὴ πρῶτον. ὥσπερ προεμαράνθη. ἄλλο δὲ τοῦτο προέωσε. καὶ ἄλλην πυκνότητα κινήσειεν καὶ ἀπεμαράνθη. ὥστε δῆλον ὅταν ἤδη τὸ προωθούμενον παρῇ, ὅτι ἥξει τὸ κινοῦν. ἀρχόμενον γὰρ τοῦτο ποιεῖ.

Undas uentos prae se ferre

σύνωσις impulsus

:: uacat ex utroq: interprete

deest καί. ex theodoro ut sit initius alterius capitis

Cur unda antequam flat ueniat intumescit

ιβ' Διὰ τί τὸ κῦμα προεκπίπτει τοῦ πνεύματος; ἢ ὅτι οὐχ ἅμα παύε-
ται τὸ πνεῦμα (καὶ) τὸ πνέον καὶ ἡ θάλαττα κυμαίνουσα· ἀλλ' ὕ-
στερον ἡ θάλαττα, ἐνδέχεται τὸ κινῆσαν πνεῦμα φθαρῆναι. πρό-
τερον γενέσθαι αἰσθητόν· ὥστε οὐ πρότερον τὸ κῦμα πνεύματος, ἀλ-
λὰ τὸ μὲν λανθάνει, τὸ δὲ οὔ. ἢ οὐχὶ τὰ πνεύματα ἅμα πανταχοῦ
πνεῖ· ἀλλ' ὅθεν ἡ ἀρχὴ πρότερον· ἅμα δὲ πνεῖ καὶ τὴν πλησίον
θάλατταν κινεῖ· αὕτη δὲ τὴν ἐχομένην· καὶ οὕτως ἐνδέχεται τὸ
πρότερον τὸ κῦμα ἐκπίπτειν· ὑπὸ γὰρ τῆς θαλάσσης καὶ οὐχ ὑπὸ
τοῦ πνεύματος ἡ κίνησις ἢ θᾶττον τοῦ ἀέρος ἢ τῆς θαλάττης.

In mari melius quam in fluuijs natari posse

ιγ' Διὰ τί ἐν τῇ θαλάττῃ μᾶλλον νεῖν δύνανται, ἢ ἐν τοῖς πο-
ταμοῖς; ἢ ὅτι ὁ νέων ἀεὶ ἐπιστηριζόμενος ἐν τῷ ὕδατι νεῖ· ἐν δὲ
τῷ σωματωδεστέρῳ μᾶλλον ἀποστηρίζεσθαι δυνάμεθα· σωμα-
τωδέστερον δέ ἐστι τὸ θαλάττιον ὕδωρ τοῦ ποταμίου· παχύτερον
ιδ' γάρ ἐστι καὶ μᾶλλον ἀντερείδειν δυνάμενον. Διὰ τί ποτε
ἐν τῇ θαλάττῃ πλείω χρόνον διατελεῖν δύνανται, ἢ ἐν τοῖς ποτα-
μοῖς; ἢ διότι τὸ ποτάμιον ὕδωρ λεπτόν ἐστι· μᾶλλον οὖν παρεισδυ-
ιε' όμενον, πνίγει. Διὰ τί ἡ μὲν θάλαττα καίεται, τὸ δὲ
ὕδωρ, οὔ; ἢ καίεται μὲν κἀκεῖνο, ἡ δὲ θάλαττα ἧττον σβέννυσι τὸ
πῦρ, διὰ τὸ λιπαρωτέρα εἶναι· σημεῖον δὲ ὅτι λιπαρωτέρα· ἀ-
πὸ γὰρ τῶν ἁλῶν ἔλαιον ἀφαιρεῖται. ἢ καὶ ἧττον δύνανται οἱ πόροι
ἁρμόττειν τῷ πυρί, διὰ τὸ παχύτερον εἶναι· καὶ μᾶλλον γε δή, ἅ-
τε καὶ τῶν ἁλῶν ἐνυπαρχόντων· ὥσπερ οὖν τὸ ξηρὸν τοῦ ὑγροῦ ἧτ-
τον σβεστικόν, καὶ τὸ ξηρὸν μᾶλλον κατὰ λόγον καυστικόν ἐστι· καὶ
ἕτερον ἑτέρου μᾶλλον, τῷ ἐγγυτέρω τοῦ θερμοῦ εἶναι· τὸ ξηρότε-
ρον δὲ τῇ θαλάττῃ· ἄμφω δὲ ταῦτα μᾶλλον ὑπάρχει.

Mare uritur aqua non uritur

Mare minus extinguit ignem

Oleũ ex sale depromitur

ις' Διὰ τί ἀπὸ μὲν τῆς θαλάσσης οὐκ ἀποπνεῖ ἕωθεν ψυχρὸν
ἀπὸ δὲ τῶν ποταμῶν; ἢ ὅτι ἡ μὲν θάλαττά ἐστιν ἐν ἀναπεπταμένοις τό-
ποις· οἱ δὲ ποταμοὶ ἐν στενοῖς. ἡ μὲν οὖν ἀπὸ τῆς θαλάττης αὖρα,
εἰς πολὺν τόπον σκίδναται· ὥστε εἶναι ἀσθενής. ἡ δὲ ἀπὸ τῶν
ποταμῶν, ἀθρόως φέρεται, καὶ μᾶλλον ἰσχύει· διὸ μᾶλλον εἰκότως

Mane aurã frigidã de mari nõ spirare de fluminibus spirare

φαίνεται

φαίνεται ψυχρά. ἢ οὐ τοῦτό ἐστιν αἴτιον, ἀλλ' οἱ μὲν ποταμοὶ ψυ-
χροί εἰσιν· ἡ δὲ θάλαττα, οὔτε θερμὴ οὔτε ψυχρά. γίνεται δὲ ἡ αὖρα
καὶ ἡ ἀναπνοή, θερμαινομένων ἢ ψυχομένων τῶν ὑγρῶν. ὁπότε-
ρον γὰρ ἂν τούτων πάσχῃ, ἐξαεροῦται· ἐξαερουμένου δὲ τοῦ ὕδατος,
ὁ ἀὴρ ὁ γινόμενος φέρεται· ὅ ἐστιν αὖρα. τὸ μὲν οὖν ἀπὸ τῶν ψυχρῶν,
εἰκότως ἀποπνεῖ· τὸ δὲ ἀπὸ τῶν σφόδρα θερμῶν ἀποπνέον, ψύχεται
καὶ γίνεται ψυχρόν. τοὺς μὲν οὖν ποταμοὺς ἅπαντας, ψυχροὺς εὕροι τις
ἄν· ἡ δὲ θάλαττα, οὔτε ψυχρά, οὔτε θερμὴ σφόδρα ἐστίν· οὔτε οὖν τὸ
ἀποπνέον ψυχρὸν ἀπ' αὐτῆς ἐστι, διὰ τὸ μὴ ψυχρὰν εἶναι, οὔτε ψύ-
ιζ' χεται ταχύ, διὰ τὸ μὴ θερμὴν εἶναι σφόδρα. Διὰ τί ἐν τοῖς μεί-
ζοσι πελάγεσι βραδύτερα καθίσταται κύματα, ἢ ἐν τοῖς βρα-
χέσιν; ἢ ὅτι ἐκ τῆς πολλῆς κινήσεως βραδύτερον καθίσταται πᾶν, ἢ ἐκ
τῆς ὀλίγης· ἐν δὲ τοῖς μεγάλοις πελάγεσι, πλείων ἡ ἄμπωτις γί-
νεται, ἢ ἐν τοῖς βραχέσιν· οὐθὲν οὖν ἄλογον τὸ βραδύτερον καθίστασθαι.

Mare neq: frigidũ neq: calidũ

Aura quomodo gignitur

καθίσταται desistet. th

ἄμπωτις. aestus theodor. impulsio. ue. in.

ιη' Διὰ τί τὸ ἁλμυρὸν ὕδωρ ψυχρὸν μὲν οὐ πότιμον· θερμαινόμε-
νον δὲ μᾶλλον γίνεται πότιμον· καὶ θερμὸν γενόμενον καὶ ἀποψυχόμενον. ἢ
διότι εἰς τὸ ἐναντίον ὑπὸ τοῦ ἐναντίου πέφυκε μεταβάλλειν. ἔστι
δὲ τὸ πότιμον τῷ ἁλμυρῷ ἀντικείμενον· καὶ θερμαινομένου μὲν
ἀφέψεται, τὸ ἁλμυρόν· ψυχομένου δέ, ὑφίσταται.

Aquã salsã frigidã nõ esse potui aptam calefactã autem magis

ὑφίσταται subsidet

ιθ' Διὰ τί τὰ πρὸς τῇ θαλάττῃ ὡς ἐπὶ τὸ πολὺ ὕδατα, γλυκέα ὑδά-
τια, ἀλλ' οὐχ ἁλμυρά; ἢ διὰ τὸ ποτιμώτερα διηθούμενα γίνεσθαι· διηθεῖται
κ' δέ, τὸ ἐγγύτερον τῆς θαλάσσης μᾶλλον. Διὰ τί τὸ ἁλμυρὸν ὕ-
δωρ οὐκ ἀπόρρυτόν ἐστιν; ἢ διότι τὸ μὲν βαρύ, στάσιμον· τὸ δὲ ἁλμυ-
ρόν, βαρύ· διὸ καὶ τὰ θερμὰ μόνα τῶν ἁλμυρῶν ὑδάτων, ἀπόρρυ-
τά ἐστιν· ἔχει γὰρ κουφότητα ἐν αὐτοῖς, ἢ κρατεῖ τῆς κάτω τῶν ἁλμυρῶν
διὰ βαρύτητος. τὸ γὰρ θερμόν, κουφότερόν ἐστιν. ἔτι τὰ μὲν ἀπόρ-
ρυτα, διηθεῖται διὰ τῆς γῆς· διηθουμένων δὲ ἀεὶ μάλιστα ὑφίσταται
τὸ παχύτατον καὶ βαρύτατον· ἐκκρίνεται δὲ τὸ κοῦφον καὶ καθα-
ρόν· ἔστι γὰρ τὸ μὲν ἁλμυρόν, βαρύ· τὸ δὲ γλυκύ, κοῦφον· διόπερ ἐστὶ
γλυκέα τὰ ἀπόρρυτα. τὸ δ' αὐτὸ αἴτιόν ἐστι, καὶ διὰ τί τὸ ἁλμυρὸν

Aquas prope mare dulces esse nõ salsas

Aquam salsam profluere nequire

Calidũ leuius esse

magna differentia inter theodorum & vet. in hoc loco

ἢ deest ex utroque interprete

ὕδωρ κινούμενον μεταβάλλον, γλυκύτερον γίνεται. κουφότερον γὰρ καὶ ἀσθενέστερον διὰ τὴν κίνησιν γίνεται.

De Africe aquis effossa prope mare

κα'. Διὰ τί ἐν τῇ Λιβύῃ ἐὰν ὀρύξῃ τις παρὰ τὴν θάλατταν, τὸ πρῶτον ποτιμόν, εἶθ' ἁλμυρὸν γίνεται ταχύ, ἐν δὲ τοῖς ἄλλοις τόποις, ἧττον τοιοῦτο; πότερον ὅτι τὸ μὲν πρῶτον, τὸ ὑπάρχον ὕδωρ ἐν τῷ τόπῳ καὶ τὸ πεπεμμένον ὑπὸ τῆς γῆς ἐστιν. ὅταν δὲ χρονισθῇ, ἡ θάλαττα προδιηθουμένη διὰ τὸ πρόσφατον εἶναι, ποιεῖ ἁλμυρώτερον. ἐν δὲ τοῖς ἄλλοις οὐκ ἔχει, ἢ πολὺ ὕδωρ διὰ τὸ μὴ ξηραίνεσθαι τὸν τόπον.

Sale citius liquefieri a salsa aqua quam a poculenta

κβ'. Διὰ τί τοὺς ἅλας θᾶττον τήκει τὸ ἁλμυρὸν ὕδωρ, ἢ τὸ πότιμον; ἢ διότι τὸ μὲν τήκεσθαί ἐστι, τὸ ὑπὸ τοῦ ὑγροῦ θερμοῦ εἰσιόντος διαιρεῖσθαι· ὥστε ὑγρὸν εἶναι καὶ ἢ ταῦτα οὕτως ὥστε μηδὲ ἐπ' αὐγήν. μόλις δὲ τήκει τὰ ῥᾳδίως διεξιόντα. τὰ δ' ἐπιόντα βιαζόμενα, ταῦτα τάχιστα διαιρεῖ. οὐκ εἰσέρχεται δὲ τὰ λίαν μεγαλομερῆ· ὑπερέχει γὰρ τῶν πόρων. τὰ δὲ μικρομερέστερα, διέρχεται οὐ ψαύοντα. ἔστι δὲ τὸ μὲν πότιμον, λεπτόν. τὸ δὲ ἁλμυρόν, παχύτερον. ὥστε τὸ μέν, ῥᾳδίως διὰ τὴν λεπτότητα διιόν, μόλις τήκει. τὸ δέ, εἰσέρχεται μέν, ἧττον δὲ διὰ τὸ μεγαλομερέστερον εἶναι, διαιρεῖ καὶ βιάζεται θᾶττον.

Homer)

Aquam minus candidam videri si moveatur quod vel maris aestu inspici potest

κγ'. Διὰ τί τὸ ὕδωρ ἧττον φαίνεται λευκὸν ἐὰν κινῆται· οἷον καὶ ἡ φρίκη. διὸ καὶ Ὅμηρος ἀρχομένου φησὶ τοῦ πνεύματος, μελαίνει δέ τε πόντος ὑπ' αὐτοῦ. ἢ διὰ δύο αἰτίας; ἐγγύθεν μὲν τῆς ὄψεως οὔσης, διὰ τὸ διϊέναι τὴν ὄψιν, μᾶλλον ἠρεμοῦντος· κινουμένου δὲ, μὴ εὐθυπορεῖν. τὸ δὲ διαφανές, λευκὸν φαίνεται. διὸ γὰρ μὴ διέρχεται ἡ ὄψις, μέλαν φησὶν εἶναι. διὸ καὶ ὁ ἀὴρ πόρρωθεν μέλας φαίνεται. ὁ δὲ ἐγγὺς λευκός. καὶ θαλάττης τὸ μὲν ἐγγύς, λευκόν. τὸ δὲ πόρρωθεν, κυανοῦν καὶ μέλαν, πόρρωθεν δὲ κινουμένης πως τῆς ὄψεως, καὶ τὸ διανακλᾶσθαι ἀθρόον τὴν ὄψιν, ἐὰν ἠρεμῇ πρὸς τὸ φῶς. κινουμένου δὲ,

Candidum videtur omne pellucidum

κδ'. μὴ δύνασθαι. Διὰ τί ἐν τοῖς βαθέσι πελάγεσι τὸ κῦμα οὐχ ἵσταται, ἀλλ' ἐν τοῖς μικροῖς. πότερον ὅτι τὸ μικρὸν φερόμενον ὕδωρ, διαιρεῖται ὑπὸ τοῦ ἀέρος μᾶλλον, ἢ τὸ πολύ. διὸ θραύεται καὶ πατάσσει μᾶλλον. ἐν μὲν οὖν τῷ βαθεῖ, πολὺ τὸ κινούμενον. ἐν δὲ τῷ βραχεῖ, ὀλίγον.

Cur aer longinquus niger videtur propinquus vero albus

.: γ. ρ. ex theodoro

Cur in locis que ad austrum vergunt aque salsiores

κε'. Διὰ τί οἱ πρὸς νότον τόποι, ἁλυκώτερα τὰ ὕδατα ἔχουσιν; ἢ διὰ τὸ τὴν θάλατταν ὑπὸ νότου ὠθεῖσθαι, ὑπὸ τὴν γῆν κεράννυται.

Aquam salsam vino dulci magis quam austero supernatare

κϛ'. Διὰ τί τῶν ὑδάτων τὸ ἁλμυρὸν ἐπὶ τῷ γλυκεῖ οἴνῳ ἐπιπολᾶται, ἢ ἐπὶ τῷ αὐστηρῷ; πότερον ὅτι μᾶλλον ἔχει γῆν ὁ γλυκύς, ὥσπερ καὶ ἀσταφίς, ἢ ὅτι βαρύτερος καὶ γλισχρότερος ὁ γλυκύς. ὥστε ἧττον μίγνυται. μιγνύμενον δὲ, ἐφίσταται.

Dulce plus terre continere

κζ'. Διὰ τί ὅλως ἐφίσταται γεῶδες ὄν; ἡ γὰρ οἰκεία φορὰ κάτω. πότερον ὅτι μᾶλλον ἔχει γῆν ὁ γλυκύς, ἢ διὰ τὴν θερμότητα καθάπερ οἱ ἄλλοι· ὅμοιον γὰρ ἐξανθήματι. ἢ δι' ἄλλην αἰτίαν; εἰ γὰρ οὐ διὰ τοῦτο καὶ ἐπὶ τῷ γλυκεῖ μᾶλλον οὐκ ἄλογον. θερμότατος γάρ.

ἐξανθήματι excremento pro summa erumpenti

κη'. Διὰ τί τὰ κύματα πρότερον φοιτᾷ ἐνίοτε τῶν ἀνέμων; ἢ διότι καὶ τελευτᾷ ὕστερον. τὸ γὰρ πρῶτον πνεῦμα ὥσπερ εἰ προδιαλύεται τοῦ ὠθέντος κύματος. ἀφικνεῖται δὲ, οὐκ αὐτὸ τὸ πρῶτον ὠσθέν. ἀλλ' ἀεὶ ἡ ὦσις γίνεται τοῦ ἐχομένου.

ὥσπερ εἰ

ἠδαφισμένα pavimentata

κθ'. Διὰ τί αἱ κυματωδέστεραι γαῖ, στερεαὶ γίνονται πολλάκις οὕτω σφόδρα, ὥσπερ ἠδαφισμέναι· καὶ ἡ μὲν κυματώδης γῆ, στερεά. ἡ δὲ ἄποθεν, χαῦνος. ἢ διότι ἡ μικρὰ ἄμμος, οὐ πόρρωθεν ἐκβάλλεται ὑπὸ τοῦ κύματος. ἀλλ' ἡ μείζων μᾶλλον. ὥσπερ καὶ τῇ χειρὶ βάλλειν πόρρω, οὐ τὸ ἐλάχιστον μάλιστα δυνατόν. ἔπειτα πολλῶν κυκωμένων, τὰ ἐλάχιστα ἐμπίπτοντα, πυκνοῖ. ἡ δὲ τοῦ κύματος λοφῶντος κίνησις, ἐδαφίζει. κινεῖ δὲ οὐκέτι. διὰ μὲν οὖν τὸ μακρότατα μὴ πόρρω δύνασθαι ἐπιδεῖν, ἐκ μικρῶν σφόδρα συντίθεται. διὰ δὲ τὸ πολλάκις κινεῖσθαι, συνεχὲς γίνεται ἐμπιπτούσης ἄμμου, ἕως ἂν συναρμόσῃ. διὰ δὲ τὸ κῦμα τὸ τελευταῖον ἐδαφίζεται. καὶ τὸ ἠρέμα ὑγρὸν συγκολλᾷ. ἡ δὲ πόρρω ξηραίνουσα διΐσταται. καὶ ἐκ μειζόνων ἐστὶ λιθιδίων, καὶ ἀνεδάφιστος.

τῇ χειρὶ βάλλειν πόρρω οὐ τὸ ἐλάχιστον μάλιστα δυνατόν

λοφῶντος residentis the

In mari & puteis superiora salsiora & calidiora

λ'. Διὰ τί τῆς θαλάσσης τὰ ἄνω τῶν ἐν τῷ βάθει ἁλμυρότερα καὶ θερμότερα· ὁμοίως δὲ καὶ ἐν τοῖς φρέασι τοῖς ποτίμοις τὸ ἐπιπολῆς ἁλμυρώτερον, τοῦ εἰς βάθος· καίτοι ἔδει τὸ κατωτέρω· βαθύτερον γὰρ τὸ ἁλμυρόν. ἢ διότι ὁ ἥλιος καὶ ὁ ἀὴρ ἀνάγει ἀεὶ τὸ ἐλαφρότατον ἀπὸ τῶν ὑγρῶν, τὸ δὲ ποτιμώτερον ἀεὶ

κουφότερον· μᾶλλον δὲ ἅπαν ἀπὸ τῶν ἐγγυτέρων τόπων, ὥστε τὸ
τῆς θαλάσσης, ἀπὸ τῶν ἐπιπολῆς καὶ τῶν ποτίμων, ἀνάγκη τὸ λοι-
πὸν μᾶλλον ἁλμυρώτερον εἶναι, ἀφ' ὧν αὔξεται ἢ ἀφ' ὧν μηθὲν ἢ ἔ-
λαττον τὸ γλυκύ. διὰ τοῦτο δὲ καὶ θερμότερα τὰ ἄνω· τὸ γὰρ ἁλμυ-
ρὸν θερμότερον τοῦ ποτίμου. διὸ καί φασί τινες τῶν ἡρακλειτιζόν-
των, ἐκ μὲν τοῦ ποτίμου ξηραινομένου καὶ πηγνυμένου, λίθους
γίνεσθαι καὶ γῆν· ἐκ δὲ τῆς θαλάσσης τὸν ἥλιον ἀναθυμιᾶσθαι.
λα'. Διὰ τί τῆς θαλάσσης τὰ πρὸς τῇ γῇ γλυκύτερά ἐστιν; ἢ διότι ἐν
τῇ κινήσει μᾶλλόν ἐστι· κινούμενον δὲ τὸ ἁλμυρὸν, γλυκύτερον γί-
νεται. ἢ ὅτι καὶ ἐν τοῖς βάθεσιν ἁλμυρώτερόν ἐστι τὸ ὕδωρ. τὰ δὲ πρὸς τῇ
γῇ, ἧττόν ἐστι βαθέα· διὸ καὶ [illegible] βαθῆ, ἁλμυρά ἐστι καὶ οὐχ ὁμοί-
ως γλυκέα. τούτου δ' αἴτιον ὅτι βραχὺ ὂν τὸ ἁλμυρὸν, φέρεται
λα'. μᾶλλον εἰς βάθος. Διὰ τί ἡ θάλαττα μόνον τῶν ὑδάτων
καίεται, τὰ δὲ πότιμα καὶ ποτάμια οὔ; πότερον ὅτι γῆν πολλὴν ἔ-
χει; δηλοῦσι δὲ οἱ ἅλες. ἢ διότι λιπαρά; δηλοῖ δὲ τὸ ἐν τοῖς ἅλασιν
κλ'. ὑφιστάμενον ἔλαιον. Διὰ τί ἐν ταῖς λίμναις ἄμμος οὐ γίνεται,
ἢ ἧττον ἢ ἐν τῇ θαλάττῃ καὶ τοῖς ποταμοῖς; ἢ ὅτι ἐν τῇ θαλάττῃ πέτραι
γίνονται καὶ ἡ γῆ ἐκκέκαυται μάλιστα. ἡ δ' ἄμμος ἐστὶ πέτρα ἐψηγμένη
εἰς μικρὰ ἐλάχιστα μόρια. ψήχεται δ' ἡ διὰ τὴν πληγὴν τῶν κυμάτων.
ἐν δὲ ταῖς λίμναις, οὔτε γίνονται ὁμοίως πέτραι καθαραί· οὔτε θραύ-
ονται ὁμοίως, διὰ τὸ μὴ γίνεσθαι κύματα ὁμοίως. ἐν δὲ τοῖς ποτα-
μοῖς μᾶλλον· ὅτι τὴν μὲν γῆν καταφέρουσι· τὰς δὲ πέτρας τῇ
λδ'. πληγῇ θραύουσιν. Διὰ τί ὅταν ἡ λίμνη ἢ κοπάσῃ ἢ ξηρανθόν-
ται, ἀποκάεται ὁ σῖτος ἐν τῷ πεδίῳ μᾶλλον; πότερον ὅτι τὸ ὑ-
γρὸν τὸ ἐν τῇ λίμνῃ ἀπατμίζον τῇ ἀτμίδι θερμαίνει τὸν ἀέρα,
ὥστε ἐλάττους καὶ ἀσθενεστέρους τοὺς πάγους ποιεῖ; ἢ ἐν τοῖς κοίλοις
καὶ προσελώδεσι τόποις, ἢ ἐκ τῆς γῆς ὥσπερ λέγεται τὰ ψύχη ἄρ-
χεται, καὶ λανθάνει εἰσδυόμενα. ξηρᾶς οὖν οὔσης τῆς λίμνης, διὰ
πλείονος τόπου ἡ ψυχρότης πλείων προσπίπτουσα, πήγνυσι
καὶ ἀποκάει μᾶλλον. ἐν δὲ ταῖς τοιαύταις χώραις τὰ ψύχη κάτω-

θεν

θεν γίνεται, ὥσπερ καὶ δοκεῖ. καί τοι ἡ γῆ θερμὴ τοῦ χειμῶνος. ἀλλὰ
διὰ τὸ ἔψυχρον εἶναι κατέψυκται τὸ ἐπιπολῆς θερμὸν τὸ ἐν τῇ γῇ.
τὸ γὰρ ὑγρὸν, οὐδὲ οὕτω πόρρω ἐστὶν ὥστε μὴ ψύχεσθαι, διὰ τὴν ἐνοῦσαν
θερμότητα ἐν τοῖς ὑγροῖς· οὔτε οὕτως ὀλίγον ὥστε μηθὲν ἰσχύειν
διὰ τὸ ἄβροχον εἶναι τὴν γῆν· οἷον οὖν διὰ τὴν ψῦξιν αὐτοῦ συμβαί-
λε'. νει, ἐπὶ κρυστάλλου περιπατεῖν καὶ οἰκεῖν. Διὰ τί ἡ θάλαττα ἁλ-
μυρὰ καὶ πικρά ἐστιν; ἢ ὅτι ἐν τῇ θαλάττῃ πλείους οἱ χυμοί. καὶ γὰρ
λς'. τὸ ἁλμυρὸν καὶ τὸ πικρὸν ἅμα φαίνεται. Διὰ τί τὰ ἐν τῇ θα-
λάττῃ ὄστρακα, καὶ λίθοι, στρογγύλα γίνονται; ἢ ὅτι ὁμοίως περιθραυό-
μενα τὰ ἔσχατα, εἰς τὸ στρογγύλον σχῆμα ἔρχεται. τούτου γὰρ τὸ ἔσχα-
τον ὅμοιον. ἡ δὲ θάλαττα πάντῃ κινοῦσα, ὁμοίως περιθραύει.
λζ'. Διὰ τί ἐνιαχοῦ ἐάν τις ὀρύξῃ περὶ τὴν θάλατταν, τὸ μὲν πρῶ-
τον πότιμόν ἐστιν ὕδωρ, εἶθ' ἁλμυρὸν γίνεται; ἢ ὅτι αὐτῆς ἐστι τῆς
θαλάττης τὸ διηθούμενον ὑπὸ τὴν γῆν τὸ ὕδωρ. εἰκότως οὖν τὸ πρῶτον
ἐστι γλυκύ· ἐλαφρότερον γάρ ἐστι τὸ γλυκὺ τοῦ ἁλμυροῦ. ἡ θάλατ-
τα ἔχει τι τοῦ γλυκέος ὃ μιχθὲν τῇ γῇ, μᾶλλον ἐπιπολάζει· τὸ δ' ἁλ-
μυρὸν διὰ τὸ βάρος καὶ διὰ τὸ τμητικὸν εἶναι, κάτω φέρεται. εἴτε
οὖν οὕτως, εἴτε κατὰ τὰς φλέβας ἐκ τῆς ἠπείρου ἔρχεται ἐπὶ τὴν θάλατ-
ταν τὸ γλυκὺ ὕδωρ, εἰκότως αὖ ἐπιπολῆς εἶναι τῆς θαλάττης, ἢ μίγνυ-
ται αὐτῇ. ἀνοιχθέντων δὲ τῶν πόρων, ὕστερον διὰ πλῆθος τὸ ἁλυ-
κὸν κρατοῦν, τοῦτο ποιεῖ. συμβαίνει γὰρ πεφραγμένων τῶν πό-
ρων ἄνω, ἄλλην ὁδὸν ζητεῖν τὸ ἐπιρρέον. ἀνοιχθέντων δὲ ἐνταῦθα
πᾶν φέρεται. καθάπερ ἐπὶ τῶν τοῦ σώματος φλεβῶν.
λη'. Διὰ τί ἡ θάλαττα οὖσα βαρυτέρα τοῦ ποτίμου ὕδατος, μᾶλ-
λον ἐστὶν εὐδίοπτος; πότερον ὅτι λιπαρωτέρα. τὸ δὲ ἔλαιον ἐπιχυθὲν
ποιεῖ μᾶλλον εὐδίοπτον. ἔχουσα δὲ ἐν αὐτῇ λίπος, εἰκότως μᾶλλον εὐ-
δίοπτός ἐστιν. ἢ οὐχ ἅπαν τὸ ἐλαφρότερον καὶ εὐδιοπτότερον. αὐτὸ
γὰρ τὸ ἔλαιον, ἐλαφρότερον τοῦ ὕδατος· εὐδιοπτότερον δ' οὔ. ἢ οὐκ
εὐδιοπτότερόν ἐστιν, ἀλλὰ φαίνεται. τὸ γὰρ πότιμον ὕδωρ ἀπὸ τῆς
γῆς ἢ ἀπὸ ῥευμάτων ἐστίν. ἡ δὲ πηγὴ συναφίησι μετὰ τοῦ ὕδα-

τὸ ἁλμυρὸν θερμότερον τοῦ ποτίμου

Heraclitus

Heracleti Zantiu opinio ex aq. dulci siccata & concreta lapides & terram gigni

Mare quod propius terram ÷ dulcius ee

Cur lacus arenam aut nullam facit aut min[us] q[uam] mare & fluuius

Arenæ diffinitio

κοπάσῃ diminutus fuerit deficit

Cur mare salsum & amarum est

Oleum leuius aq[ua]

.·. sic qdé uetus interpres · sed theodor[us]
πηγῆς legit · i · fontis vel fluuij

γεσθαι πόρον· ὥστε τῷ μὴ καθαρὰ εἶναι τὰ σώματα, συγκατάγει τὴν μετὰ τῆς ἰλύος. αὕτη δ' οὐδ' εἴρηται αἰτία, τὸ ἧττον εἶναι ἰδιόπορον.

λαπαροὶ uentre salubriter euacuati

λθ'. Διὰ τί οἱ νέοντες ἐν τῇ θαλάττῃ, λιπαροὶ γίνονται· εἰ γὰρ ὅτι προσ-μοῦσι καὶ οἱ τρεχόμενοι οἱ ξηρὸν πονοῦσι πόνον· καὶ οὐ λαπάτ-τονται. ἢ ὅτι οὐ πᾶς πόνος ποιεῖ λάπαξιν, ἀλλ' ὃ μὴ ποιῶν σύντηξιν· ἡ δ' ἐν τῇ θαλάττῃ διατριβὴ, καὶ ὅλως δοκεῖ ἐρωτικωτέρους ποι-εῖν καὶ λιπαρούς· θερμή τε γάρ ἐστι καὶ ξηρὰ ἡ ἀπὸ τῆς ἀτμίδος.

λαπάττονται uentre euacuantur

λάπαξις

μ'. Διὰ τί πᾶσα λίμνη πότιμος οὖσα, πλύνει καὶ ἐν αὐτῇ τὰ ἱμά-τια· πλύνει μὲν τὸ γλυκύ· ἐκπλύνει δὲ τὸ πικρόν· ἅμα δὲ οὐχ οἷόν τε ἔ-χειν ταῦτα. ἢ οὐ δεῖ πικρὸν εἶναι οὐδὲ μὲν ἐκπλύνει, ἀλλ' ἡ γλισχρότης ῥυ-πικόν· διὸ καὶ τὰ ἀκροκώλια καὶ ὅσα μυξώδη, τοιαῦτα· ὥστε καὶ τῶν πικρῶν ὅσα τούτου μετέχει. ἐν δὲ τῇ λίμνῃ ταύτῃ συμ-βέβηκε τοῦτο· ὥστε διὰ μῖξιν δυοῖν δυνάμεως, τὸ μὲν πικρὸν, ἐκ-κεκαῦσθαι, ἐμμεμενηκέναι δὲ τὸ λιπαρὸν καὶ γλίσχρον. τούτῳ μὲν οὖν μᾶλλον ἐκπλύνει· πλύνει δὲ τῷ ποτίμῳ αὐτῆς.

ἀκροκώλια trunculi theo. uertit. At uetus interpres unctuosa

μυξώδη mucosa

Διὰ τί τὸ γαλήνι-ζον τῆς θαλάττης λευκὸν φαίνεται, τὸ δὲ καταφερὲς, μέλαν. ἢ ὅτι τὸ ἧττον ὁρώμενον, μελάντερον μᾶλλον φαίνεται. ἧττον δὲ φαίνεται τὸ κινούμενον ἢ τὸ ἠρεμοῦν. ἢ διότι τὸ μὲν δι-αφαινόμενον, λευκόν. τὸ δὲ μὴ διαφαινόμενον μέλαν. ἧττον δὲ διαφαίνε-ται τὸ κινού-μενον.

Quod minus cernimus nigrius uidetur

ἈΡΙΣΤΟΤΕΛΟΥΣ ὍΣΑ ΠΕΡῚ ΤᾺ ΘΕΡΜᾺ ὝΔΑΤΑ.

α'. Διὰ τί τὸ θερμὸν ὕδωρ ἐὰν ἐπικεχυσμένον ᾖ ἐλαίῳ, ἧττον θερμόν ἐστι καταχεόμενον, ἢ τοῦ ἐλαίου θερμοῦ ὄντος. ἢ διὰ τὸ λε-αίνειν μόλις ἀθεῖν μετ' ἐκείνου ἧττον ἐνδύνει.

β'. Διὰ τί τὰ ὕδατα ἐν τοῖς φρέασι μετὰ μεσημβρίαν γίνεται τοῦ θέρους θερμά. ἢ διότι τηνικαῦτα ἤδη κεκράτηκε τὸ θερμὸν τὸν ἀέρα· πρὸ μεσημβρίας δὲ τὸ θερμὸν, λύει τι ψυχρὸν ἀ-

Puteorum aquae tepidae a meridie aestate redduntur.

παύει

παύει· οὐχ ἅμα δὲ ἐπιπολάζον κρατεῖ, ἀλλ' ὅταν ἐπιχρονίσῃ.

γ'. Διὰ τί τὸ ὕδωρ θερμότερον ἐνίοτε τῆς φλογὸς γινόμενον, οὐ κατακάει μᾶλλον τὰ ξύλα, ἡ δὲ φλὸξ κατακάει. ἢ ὅτι ἡ μὲν φλὸξ λεπτομερὴς, καὶ τὸ ἀπὸ τῆς πνεῦμα. τὸ δὲ ὕδωρ μεγα-λομερές. ὥστε οὐκ εἰσδύεται. ἡ δὲ φλὸξ καὶ τὸ ἀπὸ τῶν ἀν-θράκων διὰ λεπτότητα εἰσιὸν, διαλύει.

Spiritus ex flama proficiscens

δ'. Διὰ τί τὸ μὲν ὕδωρ τὸ ζέον οὐ τήκει, ἡ δὲ κοιλία τήκει. πό-τερον ὅτι τὸ μὲν θερμὸν τὸ ἐν τῇ κοιλίᾳ εἰσέρχεται διὰ λεπτότη-τα, τὸ δὲ ὕδωρ οὐκ εἰσέρχεται διὰ παχύτητα. ἢ διότι καὶ τὰ ἄλ-λα κωλύει τήκεσθαι τὸ ὑγρόν. οὐθὲν γὰρ ἐν ὑγρῷ τήκεται. ἐν δὲ τῇ κοιλίᾳ τὸ ὑγρὸν εἰς τὴν κύστιν ὑπονοστοῦν, οὕτω λύει.

Cur aq̃ ferues liquefacere nequit uenter que at

ε'. Διὰ τί τῶν ἀγγείων ὁ πυθμὴν οὐ κάει, ἐνόντος τοῦ ὕδατος καὶ ζέοντος. ἀλλὰ καὶ φέρουσι τὸν πυθμένα ἐχόμενοι. ἐξαιρεθέν-τος δὲ κάει. ἢ ὅτι σβέννυται τὸ ἐγγινόμενον θερμὸν ἐν τῷ πυθμέ-νι ὑπὸ τοῦ ὕδατος. διὸ ἐστὶν οὐ τήκεται τὰ τηκτὰ, ἂν μὴ ψῆφος ἐμπέσῃ.

ς'. Διὰ τί οὐχ ὑπερζεῖ τοῦ χειμῶνος ὁμοίως καὶ τοῦ θέρους τὸ ὕδωρ οὐ μόνον ὁμοίως θερμαινόμενον, ἀλλὰ καὶ μᾶλλον καὶ ὁμοίως θερ-μόν. καὶ ἔτι μᾶλλον. ἢ διότι ἡ ὑπέρζεσίς ἐστιν ἡ ἀναβολὴ τῶν πομ-φολύγων. τὸ μὲν οὖν ὕδωρ αὐτὸ θερμαίνεται τότε οὐθὲν ἧττον ἢ τοῦ ψύχους. αἱ δὲ πομφόλυγες, αἴρεσθαι οὐ δύνανται ὁμοίως, διὰ τὸ τὸν περιέχοντα ἀέρα εἶναι ψυχρόν. ἅμα δὲ ἐλαττοῦσθαι τῷ μεγέθει, αἴρονται ὑπὸ τοῦ ψύχους θλιβόμεναι ἔτι διακόπτοντος τοῦ ἀέρος ταχὺ διαπίπτουσιν, ὥστε ἐλάττους τε τῷ ὄγκῳ καὶ τῷ πλή-θει γίνονται τοῦ χειμῶνος, τοῦ δὲ θέρους τοὐναντίον. ἡ δὲ ὑπέρζεσις γί-νεται, διὰ τὸ πλῆθος καὶ τὸ μέγεθος τοῦ ἀφροῦ.

Aque efferuetia bullarum ~~expletio~~ elatio

ζ'. Διὰ τί τὸ μὲν θερμὸν ὕδωρ ῥυτιδοῖ, τὸ δὲ πῦρ θερμὸν ὄν, οὐ. ἢ ὅτι τὸ μὲν πῦρ, ποιεῖ πνεῦμα. ὥστε ὀγκοῖ. περιτείνεται γὰρ τὸ δέρμα. ἡ δὲ κάμψις ῥυτίς ἐστιν.

Cur aq̃ calida rugare potest ignis calidus cum sit nõ potest

Ignis spiritu facit

η'. Διὰ τί τῶν ἀγγείων οἱ πυθ-μένες θερμαινόμενοι τοῦ ὕδατος ἕως ἂν ᾖ ψυχρὸν τὸ ὕδωρ θερ-μότεροί εἰσιν. ἢ διότι ψυχροῦ μένοντος τοῦ ὕδατος, ἐγκατακλεί-

.: ἐκ τοῦ θερμοῦ ex utroq: interprete

ἐπεὶ τὸ θερμὸν ἡ ἀντιπερίσταται ἔσω κωλυόμενον ἐξιέναι. ὅταν δὲ διαθερμανθῇ τὸ ἐν ὂν ὕδωρ, οὐκέτι ἀποστέγοντος, ἀλλὰ διαπνέοντος δὲ ἐλάττονος γινομένου τοῦ πυρός, ψυχρότερος γίνεται ὁ πυθμήν. ὁμοίως ὥσπερ καὶ τὰ βαλανεῖα. καὶ γὰρ ταῦτα τοῦ χειμῶνος θερμότερα, ἢ τοῦ θέρους, διὰ τὸ ἐγκατακλείεσθαι τὸ θερμὸν ἐν τῷ χειμῶνι μᾶλλον, ἢ ἐν τῷ θέρει ὑπὸ τοῦ περιέχοντος ἀέρος ὄντος ψυχροῦ.

θʹ. Διὰ τί τὸ μὲν ὕδωρ ζέον οὐκ ἐκπαφλάζει. τὸ δὲ ἔτνος καὶ ἡ φακὴ. καίτοι κουφότερον τὸ ὕδωρ τούτων. τὰ δὲ κοῦφα ῥᾷον εἰκὸς ῥίψαι πόῤῥω. ποιεῖ δὲ καὶ τὸ ἀργύρειον ταυτό, καὶ τοῦτο καθαιρόμενον. διὸ οἱ ἐν τοῖς ἀργυροκοπείοις καμινεύοντες κερδαίνουσι. τὸ γὰρ διαῤῥεῖ πού μενον συγκαμινεύοντες, λαμβάνουσι τὰ λείψανα. ἢ διότι ποιεῖ μὲν τὸν ἐκπαφλασμὸν τὸ θερμὸν ἐξάττειν μεῖζον καὶ βιαζόμενον τὰ ἀντικρούοντα τῇ κατὰ φύσιν αὐτοῦ φορᾷ. τὸ μὲν οὖν ὕδωρ διὰ κουφότητα καὶ λεπτότητα, οὐκ ἀποβιάζεται ὥστε οὐκ ἀθροίζεται πολὺ θερμόν. ἀλλὰ πρὶν ἀλιασθῆναι φθάνει διακόψαν τὸ ἀεὶ προσελθόν. τὰ δ᾽ ἔχοντα ἐν αὐτοῖς σωματώδη, οἷον τὰ ῥοφήματα ἢ ὁ ἄργυρος διὰ βάρος τὸ σωματῶδες ἐχόμενα πολὺ καὶ αὐτὰ σωθοῦντα διὰ τὸ ἀποβιάζεσθαι βίᾳ, ἐξιόντος, ἀποσφαιρίζεται ἢ ἂν κρατήσῃ τὸ θερμόν. οὐ γὰρ δύναται διὰ πυκνότητα, ἀλλὰ κρατεῖ, ἕως ἂν ὑπὸ τοῦ ἐπιῤῥέοντος θερμοῦ ἀποῤῥιφθῇ. γίνεται δὲ πληγὴ οὐκ ὦσις. διὰ τὸ ταχὺ φέρεσθαι τὸ θερμὸν κάτωθεν ἄνω.

ιʹ. Διὰ τί τὰ μὲν ὀλίγον χρόνον ἐν τῷ θερμῷ βρεχόμενα ἀνοιδεῖ, τὰ δὲ πολὺν, συμπίπτει καὶ γίνεται ῥυσά. ἢ διότι τὸ θερμὸν ἐκ πεπηγότος, ὑγρὸν ποιεῖ. ἐκ δὲ ὑγροῦ πνεῦμα. τὰ δὲ πυκνὰ, ἀραιοῖ. τὸ μὲν οὖν πρῶτον θερμαινόμενα τὰ πεπηγότα, ὑγρότερα ποιεῖ. καὶ ἐξ ὑγρῶν πνεῦμα ποιοῦν, ὀγκηρότερα ποιεῖ ἐλάχιστον. ὅταν δὲ μᾶλλον θερμαίνῃ τὸ πλεῖον, ἀραιὸν ποιεῖ. ὥστε ἀποπνεῖται ἡ ἀτμίς. καὶ τὸ ὑγρὸν ξηραινόμενον, συμπίπτειν ποιεῖ τοὺς ὄγκους. συμπιπτόντων δὲ, ῥυσοῦται τὰ πλεῖστα δέρματα πάντων.

ιαʹ. ἢ δὲ ἀνωμάλως, ταύτῃ ῥυσὸν γίνεται. Διὰ τί ὑπὸ τῶν θερμῶν ὑδάτων μᾶλλον, ἢ ὑπὸ τῶν ψυχρῶν, πήγνυνται λίθοι. πότερον ὅτι τῇ τοῦ ὑγροῦ ἐκλείψει γίνεται λίθος. μᾶλλον δὲ ὑπὸ τοῦ θερμοῦ ἢ τοῦ ψυχροῦ ἐκλείπει τὸ ὑγρόν. καὶ ἀπολιθοῦται δὴ διὰ τὸ θερμόν. καθάπερ καὶ Ἐμπεδοκλῆς φησι, τάς τε πέτρας καὶ τοὺς λίθους καὶ τὰ θερμὰ τῶν ὑδάτων γίνεσθαι. ἢ τὸ θερμὸν ἀπολιθοῖ. καὶ ὑπὸ τοῦ ψυχροῦ δὲ λιθοῦται, διὰ τὸ τὴν ὑπερβολὴν τοῦ πάγους τὸ ὑγρὸν ἀναλίσκουσαν σκληρύνειν. δῆλον οὖν ἐκ τῆς ὑπερβολῆς, καὶ τὸ ἁπλῶς.

ιβʹ. Διὰ τί ἐν τῷ θερμῷ ὕδατι ἐὰν τὸν πόδα ἔχῃ τις, ἠρεμοῦντος μὲν, ἧττον δοκεῖ εἶναι θερμόν. ἐὰν δὲ κινηθῇ, θερμότερον. ἢ ὥσπερ καὶ ἐπὶ τοῦ σώματος. ἐὰν ἐν τῷ πνεύματι προχάζῃ τις, ἀεὶ ὁ ἐφιστάμενος ἀὴρ ψυχρότερος. εἰς γὰρ τὸ πορρώτερον εἰσιὼν μᾶλλον αἰσθάνεται.

ιγʹ. Διὰ τί ἐν τῷ ἡλίῳ μᾶλλον ἢ τῇ σκιᾷ τὰ θερμὰ ψύχεται. πότερον ὅτι τὸ θερμὸν τὸ ἔλαττον ὑπὸ τοῦ πλείονος φθείρεται, ἢ ὅτι ἐν μὲν τῇ σκιᾷ τὸ ψυχρὸν περιεστηκός, θλίβει τὸ ἐνὸν θερμόν. καὶ οὐκ ἐᾷ ἐξιέναι. ὥσπερ καὶ τοῖς θνήσκουσι ποιεῖ τὸ ψυχρὸν προσχεόμενον. ἐγκατακλείει γὰρ τὸ θερμὸν καὶ κωλύει ἐξιέναι. καὶ ὅλως τοῦ χειμῶνος ἅπασι συμβαίνει τὰ ἔσωθεν θερμότερα. ἐν δὲ τῷ ἡλίῳ οὐδενὸς ἀντιφράττοντος, φέρεται καὶ θᾶττον ἀπολείπει.

ιδʹ. Διὰ τί τὸ ἐν τῷ ἡλίῳ θερμαινόμενον ὕδωρ ὥστε λούεσθαι, οὐκ ἔστιν ὑγιεινότερον. πότερον ὅτι διὰ τὸ ψύχεσθαι καὶ ἔτι ἐπεὶ τὸ σωμάτιον φρίττειν ποιεῖ. ἢ ποιεῖ μὲν καὶ τοῦτο. ἀλλὰ κἂν πολλάκις λούηταί τις, νοσερὸν ἐστί. τὸ μὲν γὰρ θερμὸν ὅλως πεπτικόν ἐστι καὶ ξηραντικόν. τὸ δὲ ψυχρὸν, σταλτικόν. ὥστε ἄμφω ποιεῖ τι ἀγαθόν. διὸ καὶ τὸ ὕδωρ τὸ ψυχρὸν λουομένους, καὶ τὸ θερμὸν τὸ ὑπὸ τοῦ πυρός, χρήσιμον. τὸ δὲ ὑπὸ τοῦ ἡλίου διὰ τὴν ἀσθένειαν τῆς θερμότητος, οὐδέτερον τούτων ποιεῖ. ἀλλὰ ὑγραίνει ὥσπερ τὸ τῆς σελήνης φῶς.

ιεʹ. Διὰ τί τὸ ἐν τῷ ἡλίῳ θερμανθὲν ὕδωρ, οὐκ ἀγαθόν. ἢ ὅτι τὰ ψυχόμενα ἀεὶ ῥιγοῦν ποιεῖ.

ιϛʹ. Διὰ τί τὰ ἐν Μαγνησίᾳ καὶ τὰ ἐν Ἀταρνεῖ θερμὰ, ποτιμώτερα. ἢ διότι ἐμβάλλει ὕδωρ πλεῖον ἀπεῤῥέον τῷ θερμῷ. οὗ ἡ μὲν ἁλμυ

Antiperistasis

Balnea calidiora hyeme quam aestate

ἐκπαφλάζει expaflat

Opifices defecandi argenti: reliquas argenti colligunt lucro

ἐκπαφλασμὸν expaphlationem

ἀλιασθῆναι contrahi

ῥοφήματα polenta · the · uel · in · sorbitia

ἀποσφαιρίζεται exilit uehementer the · in frustra diuiditur · uel · in ·

ῥυσά rugosa

Aquis calidis potius quam frigidis lapides concrescunt

Empedocles

Amplius in sole res calidas quam in umbra refrigerari.

Cur quando animo linquuntur aqua frigida aspergi solent

Aquam sole tepefactam balneo insalubrem esse

Lunae lux humefacit

Magnesiae Artanzae Aquae

ιζ'. ...ρότης ἀφανίζεται, ἡ δὲ θερμότης διαμένει. Διὰ τί ἐν Μαγνησίᾳ τὰ θερμὰ ὕδατα μὲν θερμὰ εἶναι ἐπαύσατο, ἁλμυρὸν δὲ ἦν τὸ ὕδωρ; ἢ ὅτι πλεῖον ἐπεχύθη ἅμα ψυχρὸν ἢ τὰς πηγὰς ἀλλοῖον καὶ ἀπέσβεσε τὴν θερμότητα. ἡ δὲ γῆ ἁλμυρὰ μὲν ἦν, θερμὴ δὲ οὔ, διὰ τὸ πλῆθος τοῦ ὕδατος τοῦ ἐμβάλλοντος. ὅμοιον οὖν συνέβη ὥσπερ διὰ τέφρας ὕδατι ἠθουμένῳ. καὶ γὰρ τοῦτο διὰ θερμῆς ἠθούμενον, ἐκείνην μὲν καταψύχει, καὶ αὐτὸ ψυχρὸν γίνεται. ἁλμυρόν τε καὶ πικρὸν διὰ τὴν τέφραν ἐστίν. ἐπεὶ δὲ τὸ προσιὸν ἠλλοιωμένον ἐστί, δι' ἄλλην αἰτίαν ἐκράτησεν ἡ θερμότης ἐνοῦσα ἐν τῇ γῇ τῆς ψυχρότητος τοῦ ὕδατος δι' ὀλιγότητα. ἐλέγετο γὰρ πάλιν θερμά.

Magnesiæ aquæ

Aq. p calidú cineré trans missa nec ipsa sui rigo ré amittit & cineré fri gefacit

ιη'. Διὰ τί τὰ ὅλα τῶν θερμῶν ὑδάτων ἁλμυρά; ἢ διότι τὰ πολλὰ διὰ τῆς γῆς ἠθεῖται στυπτηριώδους. δηλοῖ δὲ ἡ ὀσμὴ αὐτῶν. κεκαυμένης δέ, ἡ τέφρα πάντων ἁλμυρά. καὶ θείου ὄζει. διὸ καὶ συγκαίει οὕτως, ὥσπερ ὁ κεραυνός. πολλαὶ γοῦν θερμαί εἰσιν, ἀπὸ τῶν σημάνσεως κεραυνῶν.

Aquas feruentes magna ex parte salsas esse

συστηριώδους alu minosam

ιθ'. Διὰ τί τὰ θερμὰ λουτρά, ἱερά; ἢ ὅτι ἀπὸ τῶν ἱερωτάτων γίνονται, θείου καὶ κεραυνοῦ.

Balneas calidas omnes sacras esse. & cur

ΑΡΙΣΤΟΤΕΛΟΥΣ. ΟΣΑ ΠΕΡΙ ΤΟΝ ΑΕΡΑ. ΦΥΣΙΚΑ ΠΡΟΒΛΗΜΑΤΑ.

α'. Διὰ τί ἐν τοῖς ἀσκοῖς τοῖς πεφυσημένοις ἐναπολαμβανόμενα τὰ μέλη πόνον παρέχουσι; πότερον διὰ τὴν πίεσιν τοῦ ἀέρος; ὥσπερ γὰρ οὐδὲ τοῖς ἔξωθεν πιέζουσι τὸν ἀσκὸν ἐνδίδωσιν ὁ ἀὴρ ἀλλ' ἀπωθεῖ, οὕτω καὶ τὰ ἐντὸς ἐναπολαμβανόμενα θλίβει ὁ ἀήρ. ἢ διότι βίᾳ κατέχεται καὶ ἐπιπίλνηται ἔξω ὅθεν πάντη ὁρμῶν

κατὰ φύσιν, προσαπερείδεται πρὸς τὸ ἐντὸς ἀπειλημμένον σῶμα.

ῥήγνωσθαι uidetur theodo. legere. infodiuntur

β'. Διὰ τί τοῖς ἕλεσι τοῖς περὶ τοὺς ποταμοὺς γίνονται οἱ καλούμενοι βούμυκοι, οὓς μυθολογοῦσι ταύρους ἱεροὺς εἶναι τοῦ θεοῦ. ἔστι δὲ τὸ γινόμενον, ψόφος ὅμοιος φωνῇ ταύρου, ὥστε αἱ βόες οὕτω διατίθενται ἀκούουσιν, ὥσπερ ταύρου μυκωμένου. ἢ ὅτι ὅσοι ποταμοὶ λιμνάζουσιν εἰς ἕλη, ἢ ὅσα ἐλλιμνάζουσιν, ἢ ὑπὸ θαλάττης ἀντικρούονται, ἢ τὸ πνεῦμα ἀθροώτερον, ἐν τοῖς τοιούτοις γίνεται. τοῦτο αἴτιον δέ, ὅτι αἱ κοιλίαι περιίστανται. οὕτως οὖν κλυζόμενον τὸ ὕδωρ, διὰ τὸ ἐνεῖναι ῥεῦμα ἐν τῇ τοιαύτῃ λιμνασίᾳ, ἀπωθεῖται τὸν ἀέρα διὰ στενοῦ, εἰς εὐρυτέραν κοιλίαν. οἷον εἴ τις εἰς ἀμφορέα κενὸν κατὰ τὸ στόμιον ποιεῖ ψόφον, μυκήματι ὅμοιον γίνεται. ἔστι γὰρ ἡ μύκησις διὰ τοῦτο, γίνεται τὸ σχῆμα τοῖς βουσί. πολλαχοῦ δὲ εἰσὶ τόπους φωνὰς ποιοῦσι τὰ σχήματα τῶν κοιλιδίων ἀνώμαλα ὄντα. ἐπεὶ καὶ ἀμφορέως τὸν πυθμένα ἐάν τις ἀφελὼν διὰ τοῦ πυθμένος τρίβῃ ἑλκωμένον, καὶ ἔξω ἐκτρίψῃ διὰ τοῦ καταδήματος, ψόφον ποιεῖ, ὥστε φεύγειν τὰ θηρία, ὅταν οἱ ὀπωροφύλακες κατασκευάσωσιν αὐτό.

Bumyci

σιμώδικα operculú theodo.

καταδήματος inter capedine theo. diffe sum. uet9 interpres

γ'. Διὰ τί ὁ ἀὴρ οὐ ψυχρὸς ἀπὸ μὲν ὢν τοῦ ὕδατος; τῶν γὰρ ἄλλων οὐθὲν ὅτι οὐ ψυχρὸν ἀναψύχεται. ἢ διότι τὸ ἔσχατον αὐτῶν ἅμα τὸ γ' ἐστὶν ὑπὸ δὲ ἑκατέρου οὐ χεῖρον. τὰ μὲν οὖν ἄγαν βαρύτερα. ὁ δὲ ἀὴρ οὐχ ἕξει κατωτέρω τοῦ ἐσχάτου. ἅπτεται μέν, ὅτι οὐθὲν μεταξύ. οὐ βρέχεται δέ, ὅτι ἀεὶ ἄνωθεν τοῦ ὕδατος.

δ'. Διὰ τί μέσων νυκτῶν καὶ μεσημβρίας μάλιστα νηνεμία γίνεται; ἢ διότι ἡ νηνεμία ἐστὶν, ἀέρος στάσις. ἕστηκε δὲ μάλιστα, ὅταν κρατῇ ἢ κρατῆται. μαχόμενος δὲ κινεῖται. κρατεῖ μὲν οὖν μάλιστα μέσων νυκτῶν. κρατεῖται δέ, μεσημβρίας. τοτὲ μὲν γὰρ ὁ ἥλιος πορρωτάτω. τοτὲ δὲ ἐγγυτάτω γίνεται. ἔτι ἄρχεται τὰ πνεύματα, ἢ περὶ ἕω, ἢ περὶ δυσμάς. λήγει δὲ τὸ μὲν ἕωθεν, ὅταν κρατηθῇ. τὸ δὲ ἀπὸ δυσμῶν, ὅταν παύσηται κρατῶν. συμβαίνει οὖν τὰ μὲν μεσημβρίας παύεσθαι. τὰ δέ, μέσων νυκτῶν.

Meridiei & mediæ no ctis tempore cælum solet maxime tranq llu esse

Flatus uel ortu solis uel obitu incipit

ε'. Διὰ τί ὑπὸ φάσιν οὔσης ἕω, καὶ ἤδη πρωὶ

Prima luce & iam ma ne maius esse frigus qm noctu cú sol a no bis absit propi9

□ subaudi est aut fit uel certe deest ἐστί

:. cf. μὲν ex utro q: interprete

μᾶλλον δ' ἐστὶ ψῦχος, ἢ ἐν τῷ νυκτός, ἐγγυτέρω ὄντος τοῦ ἡλίου ἡμῶν. ἢ ὅτι πρὸς ἡμέραν δρόσος καὶ πάχνη πίπτει. ταῦτα δέ ἐστι ψυχρά. ὥσπερ οὖν ῥανθέντος τοῦ παντὸς τόπου ὑγρῷ ψυχρῷ, γίνεται κατάψυξις.

ς'. Διὰ τί ἐν τῷ Πόντῳ καὶ ψύχη μάλιστα καὶ πνίγη. ἢ διὰ τὴν παχύτητα τοῦ ἀέρος. τοῦ μὲν γὰρ χειμῶνος, οὐ δύναται διαθερμαίνεσθαι. τοῦ δὲ θέρους ὅταν θερμανθῇ, καὶ διὰ τὴν παχύτητα. ἡ δὲ αὐτὴ αἰτία, ἔτι διότι τὰ ἑλώδη τοῦ μὲν χειμῶνος ψυχρά. τοῦ δὲ θέρους θερμά. ἢ διὰ τὴν τοῦ ἡλίου φοράν. τοῦ μὲν γὰρ χειμῶνος, πόρρω γίνεται. τοῦ δὲ θέρους, ἐγγύς.

In ponto excessu esse & frigoris & aesty & itidem in locis paludosis

ζ'. Διὰ τί ἐν νυκτὸς αἰθρίᾳ μᾶλλον, ἢ μεθ' ἡμέραν, ἢ καὶ τοῦ πνεύματος καὶ τῆς παραχρῆμα ὁ ἥλιος αἴτιος. ταῦτα γὰρ κινήσεώς τινος γινομένης συμβαίνει γίνεσθαι. αἴτιον τοίνυν τὸ θερμόν. ὅταν οὖν τοῦτο μὴ παρῇ, ἠρεμεῖ τὸ πᾶν. καὶ αἰρομένου τοῦ ἡλίου μᾶλλον, ἢ τοῦτο αἴτιον. ἔτι διὰ τὸ μή ποτ' ἀπ' ἠπείρου, τοῦτ' ἔστιν ὅτι οὐ πλείστη κίνησις, ἐκεῖ ἡ κίνησις αὐτὴ μένει καὶ συστάσει ἡ μὴ ὁμαλοῦ ὄντος, καὶ κρατοῦντος τοῦ συνισταμένου. τοῦ μὲν δὴ χειμῶνος ἡ θάλασσα τοιοῦτον. τοῦ δὲ θέρους ἡ γῆ.

Noctu potius quam interdiu serenitatem esse

Prouerbium μή ποτ' ἀπ' ἠπείρου

ἀιερμένου abeunte

η'. Διὰ τί ὅταν διαχυθῇ τὸ ὑγρὸν εἰς ἀσκούς, οὐ μόνον τὸ ὑγρὸν δέχεται ὁ πίθος μετὰ τῶν ἀσκῶν, ἀλλὰ καὶ ἄλλο προσλαμβάνει. ἢ ὅτι ἐν τῷ ὑγρῷ ἐνυπάρχει ὁ ἀήρ. οὗτος οὖν ὅταν μὲν ἐν τῷ πίθῳ ἐνῇ, οὐ δύναται ἐκκρίνεσθαι, διὰ τὸ μέγεθος τοῦ πίθου. ἐκ γὰρ τοῦ μείζονος, χαλεπώτερον ἐκθλίψαι ὁποιονοῦν ὑγρὸν ἢ πνεῦμα. ὥσπερ καὶ ἐκ τῶν σπόγγων. ὅταν δὲ μερίζηται εἰς μικρά, ἐκθλίβεται ἐκ τοῦ ἀσκοῦ μεταστάντος. ὥστε τοῦ ἀέρος χώρα, κενὴ γίνεται. διὸ καὶ τοὺς ἀσκούς, καὶ ἔτι ἄλλου ὑγροῦ, δέχεται ὁ πίθος. καὶ μᾶλλον ἐπὶ τοῦ οἴνου τοῦτο γίνεται. ὅτι πλείων ὁ ἀὴρ ἐν τῷ οἴνῳ ἔνεστιν, ἢ ἐν τῷ ὕδατι. ὅμοιον δὲ τούτῳ, καὶ τὸ ταυτὸ ἀγγεῖον, τήν τε κονίαν καὶ τὸ ὕδωρ χωρεῖν ἅμα, ὅσον ἑκάτερον χωρὶς ἐγχεόμενον. ἔοικε δὲ τὸ μᾶλλον τὰ διάκενα τῆς τέφρας ἀπιόντα λεπτότερον τὸ ὕδωρ, διαδύνειν μᾶλλον καὶ συνιζάνειν ἤδη ὥστε συγκεῖσθαι. ἔτι διὰ τὸ πλεῖστον ἑκάστου τῶν μορίων ἐν τῇ συστάσει. μᾶλλον γὰρ σάττεσθαι

.i. simpl ac ac

In humore inest aer

Plus aeris in uino quam in aqua inesse

κα

μή ποτ' ἀπ' ἠπείρου

κατὰ μικρὸν σπογγούμενον ἅπαν, ἢ ἀθρόον. τούτου δὲ γινομένου, ὑποκαταβαίνει τὴν κονίαν ἅμα δὲ καὶ ἡ τέφρα εἰς αὐτὴν δέχεται τὸ ὑγρόν, διὰ τὸ ἔχειν κοιλίας. ἡ δὲ βαλλομένη τέφρα εἰς τὸ ὕδωρ θερμαίνουσα, τέμνει αὐτὸ καὶ ἐξαιρεῖ. καὶ πρότερον δὲ ὕδατος ἐγχυθέντος ἔτι ὕστερον κονίας ἐμπιπτούσης, τὸ αὐτὸ γίνεσθαι. ὥστε καὶ τὸ ὕδωρ ἔχοι ἂν κοιλίας καὶ διάκενα αὐτὸ ἐν αὐτῷ ἢ οὐ τὸ ὕδωρ τὸ δεχόμενον τὴν κονίαν, ἀλλ' ἡ κονία τὸ ὕδωρ. τὸ γὰρ λεπτομερέστερον εἰκὸς εἶναι τὸ εἰσιόν. ἔτι καὶ ἐκ τῆς πείρας δῆλον. ὅταν γὰρ ἐπιπάττηται ἡ τέφρα, καθ' ὃν ἂν τόπον ἐπιπάττηται, εἰς τοῦτον συρρεῖ τὸ ἄλλο ὕδωρ. ἔδει δὲ τὸ ἐναντίον, εἴπερ ἦν τὸ ὕδωρ δεχόμενον. ἢ οὐ συμβαίνει τοῦτο, ἐὰν πρότερον ἐγχυθῇ τὸ ὕδωρ καὶ σφόδρα διαμεστώσῃ. ἀλλ' ἐὰν ὁτιοῦν ἐπιβληθῇ, ὑπερχεῖται. ἐὰν δὲ ἅπαξ ὑπερχυθῇ καὶ ἐπιπέσῃ ἡ τέφρα, ἤδη συμβαίνει. ἡ γὰρ τέφρα ἦν δεχομένη. ταυτὸ δὲ τοῦτο καὶ ὅτι οἱ βόθυνοι τὴν ἐκβληθεῖσαν ἐξ αὐτῶν γῆν, οὐ δέχονται. ἔοικε γὰρ δὴ ἀήρ τις προκαταλαμβάνων τὸν τόπον. καὶ διὰ τοῦτο μὴ δέχεσθαι.

De aqua infusa in cinerem aut cinere in aquam

ἐπιπάττηται inspergitur

διαμεστώσῃ repleat

Cur foueae extracta ex ipsis terram non recipiunt

θ'. Διὰ τί ὁ ἀὴρ παχύτερος ὢν τοῦ φωτὸς διέρχεται διὰ τῶν στερεῶν. ἢ διότι τὸ μὲν φῶς, κατ' εὐθεῖαν φέρεται μόνον. διὸ καὶ διὰ τῶν ἀραιῶν οὐ διορᾷ ἡ ὄψις. οἷον κισσήρεως. ἐπαλλάττουσι γὰρ οἱ πόροι. ἀλλ' οὐκ ἐν τῇ ὑάλῳ. ὁ δὲ ἀὴρ οὐ κωλύεται, διὰ τὸ μὴ εὐθυπορεῖν οὐ διέρχεται.

Cur aer crassior luce cum sit solida ualeat penetrare lux non ualeat.

ι'. Διὰ τί ὁ ἀὴρ ψυχρὸς μὲν γίνεται διὰ τὸ μὴ κρατεῖσθαι τοῦ ὕδατος. ψυχρὸς δ' οὔ. καὶ σφόδρα τις φυσᾷ εἰς τὸ ὕδωρ ὥστε κυμαίνειν. ὅτι δὲ ψυχρός, δηλοῖ μεθιστάμενος. ψύχει γὰρ ἀπὸ τῶν ὑδάτων. ἢ ὅτι ψυχρὸς μὲν πέφυκεν εἶναι καὶ θερμός. ὥστε μεταβάλλει τῇ ἀφῇ οὗ ἄν τινος ἅπτηται. ὑγρὸς δὲ οὐκέτι. διὰ τὸ κουφότερος εἶναι. καὶ οὐδέποτε εἰς τὸ βάθος τοῦ ὕδατος ἔρχεται. ἀλλὰ ἀεὶ τοῦ ἐπιπέδου ἅπτεται καὶ βιάζηται κάτω. καὶ τὸ ὕδωρ ἐπὶ τὰ κατωτέρω φέρεται, ὥστε μήποτε εἰς βάθος ἰέναι.

ιά. Διὰ τί ὁ ἐκ τῶν πομφολύγων ἀκάτων ἀνιὼν, οὐ δρόσος ἐξέρχεται. ἢ διότι οὐκ ἐπιμένει τὸ ὑγρὸν ἀλλ' ὅλη ἀθαίνει τὸ ὕδωρ. τὸ δὲ ἐπὶ τῆς πομφόλυγος ἔλαττον ἢ ὥστε ἰδ

:. uacat secundum theodo.

^ multa uerba hic desunt ex traductione theodori

ἀναπίμπλησι replet. uet(us) inter. At theodor(us) madeat

ιβ΄. δ. ζ΄. Διὰ τί ὁ ἀὴρ οὐκ ἀναπίμπλησι, τὸ δ᾽ ὕδωρ; καὶ εἰς τὸν ἀέρα μετατιθέμενον, ξηρόν. ἢ ὅτι ὥσπερ οὐδ᾽ ὁ λίθος· οὐ γάρ ἐστιν ἀναπληστικόν· ἀλλὰ τὸ γλίσχρον ἢ ὑγρόν. ἢ ὅτι ὁ ἀὴρ ἄνω φέρεται· ὅταν δὲ φυσηθῇ, ἄνω ἐπιμένει, διὰ τὸ τοῦτον ἀναφέρεσθαι. εἰ δὲ ὁ ἀὴρ ἀνακουφίζει καὶ κωλύει κάτω φέρεσθαι, διὰ τί βαρύτεροι γίνονται φυσηθέντες; καὶ πῶς ὅτι μὲν βαρύτερός ἐστιν ἐπιμένει, κουφότερος δὲ γινόμενος καταφέρεται.

ἀναπληστικόν madendi uim habens

Aer nō sursum fertur sed in obliquū.

ιγ΄. Διὰ τί ὁ ἀὴρ οὐκ ἄνω φέρεται; εἰ γὰρ τὰ πνεύματα τοῦ κινουμένου ὑπὸ τοῦ θερμοῦ γίνεται, πέφυκε δὲ τὸ πῦρ ἄνω φέρεσθαι, καὶ τὸ πνεῦμα εἰς τὸ ἄνω ἐβάδιζεν, εἴπερ τὸ κινοῦν εἰς τὸ ἄνω θεῖ, καὶ τὸ κινούμενον οὕτω πέφυκε φέρεσθαι· νῦν δὲ φαίνεται λοξὴν τὴν φορὰν ποιούμενος.

Cur aurora frigidior uespere

ιδ΄. Διὰ τί τὸ ἀφ᾽ ἕω ψυχρότερον, ἢ τὸ ἀφ᾽ ἑσπέρας; ἢ ὅτι τὸ μὲν ἐγγύτερον μεσονυκτίου, τὸ δὲ μεσημβρίας. ἔστι δὲ ἡ μεσημβρία θερμοτάτη, διὰ τὸ εἶναι ἐγγύτατα τοῦ ἡλίου. αἱ δὲ μέσαι νύκτες ψυχρόταται διὰ τὸ ἐναντίον.

Temporis feruidi noctes molestiores quam dies

ιε΄. Διὰ τί αἱ νύκτες τῶν ἡμερῶν ἐν ταῖς ἀλέαις πνιγηρότεραι; ἢ διὰ τὴν ἀπνοιαν· οἱ γὰρ ἐτησίαι καὶ πρόδρομοι, τὰς νύκτας ἧττον πνέουσιν.

Etesiæ / Prodromi — Venti

ιϛ΄. Διὰ τί τὰ ἐν γύργις ἀσκοῖς ἄσηπτα φυσηθεῖσι καὶ ἐν τοῖς πεπωματιζομένοις; ἢ διότι σήπεται μὲν κινούμενα ἅπαντα, τὰ δὲ πλήρη, ἀκίνητα· ταῦτα δὲ πλήρη.

ἀποστέγει arcet. cōtinet.

ιζ΄. Διὰ τί τῆς αἰθρίας μᾶλλον ψῦχος γίνεται, ἢ τῶν νεφελῶν ὄντων; τὰ δὲ ἄστρα καὶ ὁ οὐρανὸς θερμός. ἢ ὅτι οὐθὲν ἀποστέγει ἐν τῇ αἰθρίᾳ τὴν ἀτμίδα, ἀλλὰ διαχεῖται. ἐν δὲ τοῖς νέφεσιν ἀποστέγεται. καὶ βορείων γε ἢ νοτίων, διὰ τὸ αὐτό. ὁ μὲν γὰρ νότος ἀγείρει τοιοῦτον, ὁ δὲ ἀπωθεῖ καὶ ἀτμίζειν οὐ φαίνεται. βορείοις μᾶλλον ἢ νοτίοις καὶ χειμῶνος ἢ θέρους. ἢ παρὰ τὸ ἀνόμοιον. ἢ ὅτι θερμοῦ ψυχομένου ἐστὶν ἡ ἀτμίς.

Astra & celū calida eē

frigus effici a uapore uidetur sentire Aristoteles

ιη΄. Διὰ τί ἀὴρ ὁ ἐλάττων θερμότερος τοῦ πλείονος; αἱ γὰρ στενοχωρίαι ἀλεεινότεραι. ἢ διότι κινεῖται μᾶλλον ὁ πολύς· ἡ δὲ κίνησις ποιεῖ ψυχρόν. σημεῖον δὲ τούτου, ὅτι κινούμενα ψύχεται τὰ θερμά.

Angusta loca omnia esse calidiora

ιθ΄. Διὰ τί ὕδωρ μὲν καὶ γῆ σήπεται, ἀὴρ δὲ καὶ πῦρ οὐ σήπεται; ἢ ὅτι θερμότατον γίνεται τὸ σηπό-

μενον

Aquam & terram putrefieri aerē & ignē minime

hæc uerba multo aliter uertuntur a uetere interprete quam uerba græca sonant & theodor(us) transfert .i. ea calidissimū fit imputridū esse

μενον ἅπαν. πυρὸς δὲ οὐθὲν θερμότερον. ἢ ὅτι ψυχθῆναι δεῖ πρότερον. τὸ δὲ πῦρ ἀεὶ θερμόν· ὁ δὲ ἀὴρ πυρὸς πλήρης. σήπεται δὲ οὐθὲν θερμόν· ἀλλὰ ψυχθέν. γῆ δὲ καὶ ὕδωρ καὶ ἀὴρ, καὶ θερμὰ καὶ ψυχρὰ γίνεται.

πολυκενός

Aer plenus igne

Nihil dum est calidum putret sed refrigeretur prius necesse est

κ΄. Διὰ τί τὰ ἐπινέφελα ἀλεεινότερα τῶν αἰθρίων; πότερον ὡς οἱ ἀρχαῖοι ἔλεγον ὅτι τὰ ἄστρα ψυχρά, ἢ λίαν τοῦτό γ᾽ ἄτοπον· ἀλλὰ διὰ ὅτι ἀτμίζει· ἐπισημαντέον δὲ ὅτι ἐν νηνεμίᾳ ἡ δρόσος καὶ ἡ πάχνη γίνεται. ὅταν μὲν οὖν αἰθρία ᾖ, διαπνεῖ τὸ θερμὸν ὑφ᾽ οὗ ἀνάγεται τὸ ὑγρόν, ὥστε ψυχρὸς ὁ ἀήρ· διὸ καὶ δροσίζει ἀφιέμενον τὸ ὑγρὸν ἀπὸ τοῦ θερμοῦ. ὅταν δὲ ἐπινέφελον ᾖ, ἀποστέγεται. διὸ οὐ γίνεται δρόσος οὐδὲ πάχνη, ὄντων ἐπινεφέλων. ποιεῖ οὖν τὴν γῆν ὑπομένον τὸ θερμόν, ποιεῖ τὴν ἀλέαν.

Astra frigida esse antiqui opinati sunt

Celum nubilū tepidi(us) quam apertū & placidū melius hic exponitur hoc quam supra.

κα΄. Διὰ τί ἐν τοῖς ὑψηλοῖς τῶν οἴκων ὁ ἀὴρ διαρριπίζει, καὶ μάλιστα ταῖς εὐδίαις; ἢ διότι ὁ ἀὴρ πολυκενός τις ἐστὶ τὴν σύγκρισιν. ὅταν οὖν ἄρξηται ἔσω ῥεῖν, συγχωρεῖ ὁ ἐν τῷ οἰκήματι ἀὴρ καὶ συστέλλεται. τούτου δὲ συμπίπτοντος τῷ χρόνῳ, πολυκενώτερος γίνεται ὁ ἔξωθεν. ἡ χώρα πλείω ᾖ, εἰς ταύτην οὖν τὴν χώραν ῥέπει ὁ ἐκ τοῦ οἰκήματος ἀήρ, ὢν πλησίον, καὶ φέρεται εἰς ταύτην τὴν χώραν διὰ τὸ κρέμασθαι, καὶ τὴν τοῦ κενοῦ φύσιν μὴ δύνασθαι αὐτὸ στηρίζειν. κατὰ πολλὰ δὲ αὐτοῦ μέρη τούτου συμβαίνοντος, ἔσται αὐτοῦ ὁ πλησίον διὰ τὴν πρόσοψιν. εἶτα πολλοῦ ἔξωθεν

φερομένου, ὁ μὴ ἔσω τόπος, πολυκενὸς γίνεται, ὁ δὲ ἔξω

πυκνότερος. καὶ πάλιν ἔξωθεν ἔσω φέρε-

ται. καὶ ταῦτα ἀλλά

σονται.

Cur excelsis ædibus aer euentiletur

διαρριπίζει. euentilat

πρόσοψιν. uetus. inter. ridicule anteuisum uertit. theo. πρόσωσιν uidetur legere transferens impulsū

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΟΣΑ ΠΕΡΙ ΤΟΥΣ ΑΝΕΜΟΥΣ.

α΄. Διὰ τί ὁ καικίας μόνος τῶν ἀνέμων ἐφ᾽ ἑαυτὸν ἄγει τὰ νέφη; ἢ ὅτι ἀφ᾽ ὑψηλοτέρων τόπων πνεῖ. ἔστι γὰρ τὰ πρὸς ἕω ὑψηλότερα τῶν πρὸς ἑσπέραν. σημεῖον δὲ τὸ τῆς πρὸς ἑσπέραν θαλάττης μέγεθος καὶ βάθος. πνέων καὶ ἄνωθεν εἰς τὸ ἀντίον, γραμμὴν ποιεῖ τῇ φορᾷ τὴν κοίλα πρὸς τὴν γῆν ἔχουσαν. προσπίπτων δὲ

Cæcias solus ex omnib(us) uentis nubes ad se trahit

Orientalia excelsiora esse occidentalib(us)

defunt ex theodori traductioē utrūque quod uentus aduers(us) reflat eodē tpē

ὡς εἴρηται, οἷς πρὸς ἑκάτερα τῶν ἄρκτων τόποις, καὶ συστέλλων τὰ νέφη διὰ τὸ τῶν γραμμῶν σχῆμα τῇ ἐκεῖθεν ἀνακλάσει, ἐποίει τὸ μὴ ὠθεῖν αὐτά. τοῖς δὲ μόνος τοῦ τῶν λοιπῶν. τῶν τοὺς μὲν, ὑψηλοτέρους. τοὺς δὲ ἐναντίας εἶναι τόπους. πρὸς οὓς ἐκ τοῦ κάτωθεν ἢ ἐπευθείας τὴν φορὰν γίνεσθαι συμβαίνει, τὰ κυρτὰ περὶ τὴν γῆν ἐχούσης ὥστε ἀνάκλασιν μὴ γίνεσθαι τοῦ πνεύματος. τῶν μὲν πρὸς τὴν γῆν ἐχούσης ἀέρα ἔχειν τὴν τελευτὴν τῆς φορᾶς. ἐν ᾧ οὐδὲ νέφη ἐστὶ πρὸς τὴν γῆν. τοῖς δὲ ἧττον κοίλοις ἐπὶ τῷ ἀπηλιώτῃ, τῶν μὴ ἔχειν ὑγρόν. ὥστε οὐ συνιστὰς, ἧττον καταφανής ἐστιν αὐτὸ ποιῶν τοῦτο ὅπερ εἶ.

β'. Διὰ τί βορέαι μὲν ἐτήσιοι γίνονται, νότοι δὲ οὔ. ἢ γίνονται μὲν ἐπὶ νότοι, ἀλλ' οὐ συνεχεῖς. ὅτι πόρρω ἡμῶν ἡ ἀρχὴ τοῦ νότου ἐστίν. ὑπὸ δὲ τῷ βορέᾳ οἰκοῦμεν. ὅτι δὲ οἱ μὲν ἐτησίαι βορέαι καθεστηκότος τοῦ ἀέρος πνέουσι. θέρους γὰρ πνέουσιν. οἱ δὲ νότοι, ἦρος. ὅθ' ἧττον ἕστηκε τὰ περὶ τὸν ἀέρα. πρὸς δὲ τούτοις, ὁ μὲν νότος, ὑγρός. τῷ δ' ὑγρῷ ὁ ἄνω τόπος, ἀλλότριός ἐστι. διὸ ταχὺ διαλύεται τὰ ἐν αὐτῷ συνιστάμενα ὑγρά. καὶ τὰ ὑγρὰ πλανητικά ἐστιν. ὥστε τῶν μὲν ἐν τούτῳ τῷ τόπῳ συμμεθίστησι καὶ τὴν τοῦ ἀέρος κίνησιν. κινουμένου γὰρ μὴ ἐν τούτῳ. πνεύματα ἄλλα συμβαίνει γίνεσθαι. ἔστι γὰρ πνεῦμα, ἀέρος κίνησις.

γ'. Διὰ τί νότος πνεῖ μετὰ πάχνην. ἢ διότι ἡ μὲν πάχνη γίνεται πέψεως γινομένης. μετὰ δὲ τὴν πέψιν καὶ τὴν ἀποκάθαρσιν, ἡ μεταβολὴ εἰς τοὐναντίον γίνεται. ἐναντίον δὲ τῷ βορέᾳ νότος ἐστί. διὰ ταὐτὸ δὲ καὶ μετὰ τὴν χιόνα, πνεῖ νότος. ὅλως δὲ ἡ χιὼν καὶ ἡ χάλαζα καὶ τὸ ὕδωρ καὶ πᾶσα ἡ τοιαύτη ἀποκάθαρσις, πέψεως σημεῖόν ἐστι. διὸ καὶ μετὰ ὑετὸν καὶ τὰς τοιαύτας χειμασίας, παύεται τὰ πνεύματα.

δ'. Διὰ τί αἱ τροπαῖαι πνέουσιν. ἢ διὰ τὸ αὐτὸ ὃ καὶ οἱ εὔριποι ῥέουσι. μέχρι γὰρ τοῦ ἐξεῖν, ἡ θάλαττα φέρεται καὶ ὁ ἀήρ. ἐπειδὰν δ' ἀντιπέσῃ καὶ μηκέτι δύνηται τὰ ἀπόγεια προάγειν διὰ τὸ μὴ ἰσχυρὰν ἔχειν τὴν ἀρχὴν τῆς κινήσεως καὶ φορᾶς, πάλιν ἀνταποδίδωσι.

Διὰ τί αἱ τροπαῖαι ἐκ τῆς θαλάττης πνέουσιν. ἢ ὅτι ἅπαν ἡ θάλαττα πλησίον, ἢ ὅτι ἐναντίον ἐστὶ τῇ ἀπογείᾳ ἡ τροπαία. ἣ ἐστιν

Ctesie .i. anniuersarij β'. sunt boree · austri autē nō sunt

Auster humidꝰ

Ventus ~ motus aeris

Austrū post pruinā spirare solere

Austrū post niues spirare

Tropei flatus .i. flatꝰ reciproci ~~flatꝰ~~ aut uersarij

ἀπογεία .i. abterraneī

Tropei flatus cur a mari spirent

Tropeū contrariū eē apogeo .i. abterraneo

∴ f. τροπαῖαι. & eodem modo pble mate sequenti

ἐστὶν ἡ τροπαία, οἷον ἀναστροφὴ ἀπογείας. ἡ δὲ ἀπογεία, ἐστὶν ἐκ τῆς γῆς πρὸς τὴν θάλατταν πνεῦμα γινόμενον. ἡ δὲ τροπαία, ἡ τούτου παλίρροια. ὥστε ἀνάγκη ἐκ θαλάττης εἶναι. ἢ ἡ θάλαττα ἀλλὰ διὰ τὸ εἰς τὴν θάλατταν ἀθροισθῆναι τὸν ἐξιόντα ἀέρα. τῷ μὴ εἰς τὴν γῆν τοῦτο συνίστασθαι καὶ τὸ ἀνακάμπτειν ἀπ' αὐτόν, ὅτι ἡ θάλαττα ἐν κοίλῳ ἐστίν. ὁ δὲ ἀὴρ ὥσπερ τὸ ὕδωρ ῥεῖ ἀεὶ τὸ κοιλότατον.

ϛ'. Διὰ τί οἱ ἐκνεφίαι ὕδατος γινομένου ἐπαύονται. ὅτι αἱ κοιλίαι συμπίπτουσι τοῦ νέφους, ὕδατος γινομένου. ἐν αἷς ἡ ἀρχὴ τοῦ πνεύματος συνίσταται.

ζ'. Διὰ τί οὐχ οἱ αὐτοὶ ἄνεμοι πανταχοῦ ὑέτιοί εἰσιν. ἢ ὅτι οὐχ οἱ αὐτοὶ πανταχοῦ πρὸς ὄρη ἀντιπνέουσιν. ἀλλ' ἕτεροι κεῖνται πρὸς ἕτερα ὄρη. οἷον γὰρ πρὸς ἀνάντη μόλις ῥεόντων, ἐν ταῦθα ὑφίσταται μᾶλλον τὰ νέφη, οὐ δυναμένου ἔτι προωθεῖν αὐτὰ ἀνέμου. ὑφιστάμενα δὲ καὶ πιεζόμενα ῥήγνυνται.

η'. Διὰ τί αἱ μὲν καθαραὶ δύσεις εὐδιεινὸν σημεῖον, αἱ δὲ τεταραγμέναι χειμερινόν. ἢ ὅτι χειμὼν γίνεται, συνισταμένου ἢ πυκνουμένου τοῦ ἀέρος. ὅταν μὲν οὖν κρατῇ ὁ ἥλιος, διακρίνει καὶ αἰθριάζει αὐτόν. ὅταν δὲ κρατῆται, ἐπινεφῆ ποιεῖ. ἐὰν μὲν οὖν ἰσχυρὰ ᾖ ἡ σύστασις, εὐθὺς μέρας γίνεται χειμών. ἐὰν δὲ ἀσθενεστέρα, μὴ πάντῃ πᾶσι δὲ κρατουμένη, τὸ συνιστάμενον ἐξωθεῖται πρὸς τὰς δύσεις. ἐνταῦθα δὲ μένει, διὰ τὸ παχύτατον εἶναι τὸν περὶ τὴν γῆν ἀέρα τοῦ χειμῶνος. ταχὺ δὲ συνίσταται καὶ ὁ ἄλλος, διὰ τὸ ἔχειν ἀρχὴν καὶ ἕρεισμα, δέχεται καὶ ἀθροίζει τὸ προσιὸν καθάπερ ὁ ἔθρος. ὥσπερ γὰρ ἐν ῥοπῇ ἑνὸς ἀντιστάντος καὶ οἱ ἄλλοι μένουσιν, οὕτω καὶ ἐπὶ τοῦ ἀέρος. διὸ ταχὺ καὶ ἐξαίφνης ἐνίοτε γίνεται καὶ ἐπινέφελα. ὅταν οὖν αἱ δύσεις τεταραγμέναι ὦσι, σημεῖόν ἐστιν ἰσχυρὸν, ὅτι οὐ κεκράτηκεν ὁ ἥλιος τῆς συστάσεως πολὺν χρόνον ἐναντιούμενος αὐτῇ. ὥστε εἰκότως ἡ σύστημα πλέον καὶ ἧττον ἐστὶ φοβερὸν. ὅταν προχειμάσαντος. ἢ ὅταν ἐξ εὐδίας τοῦ τοσουμένη ἐκείνως μὲν γὰρ ἔοικεν, ὥσπερ

Apogea

Differentia inter apotropeū & apogeū

Cenophie .i. uenti qui excussi nubibus fiunt

Occasus puri & placidi serenitatē promittunt · turbati autē hyemē

ἐν ῥοπῇ ἑνὸς ἀντιστάντος καὶ οἱ ἄλλοι μένουσιν

ἦχος the odorꝰ legit

θ' ὑπόλειμμά τι εἶναι, ὥσπερ ἀρχῆς συστάσεως. Διὰ τί λέγεται
οὔποτε νυκτερινὸς βορέας τρίτον ἵκετο φέγγος; ἢ διότι ἀσθενῆ τὰ
πνεύματα τὰ ἀπὸ τῆς ἄρκτου, ὅταν ᾖ νυκτερινά. σημεῖον δέ·
ὅτι οὐ πολὺς ὁ κινηθεὶς ἀήρ, τὸ τηλικαῦτα πνεῦσαι, ὅτι ὀλί-
γη θερμότης ὑπῆρχεν. ἡ δὲ ὀλίγη, ὀλίγον ἐκίνει ἀέρα. τελευτᾷ δὲ
ἐν τρισὶ πάντα. καὶ τὰ ἐλάχιστα ἐν τῇ πρώτῃ τριάδι. ὥστε καὶ
ι' τοῦτο τὸ πνεῦμα. Διὰ τί ὁ μὲν βορρέας χειμῶνι ἐν
τῇ οἰκουμένῃ οὐ λανθάνει ὀλιγοχρόνιος ὤν. ἅμα γὰρ πνεῖ καὶ πά-
ρεστιν. ὁ δὲ νότος οὐκ ἀφικνεῖται, διὰ τὸ πόρρωθεν πνεῖν. ὅτι ἡ
τῆς νυκτὸς ὁ ἥλιος ὑπό ἐστι τῇ πρὸς νότον χώρᾳ, καὶ ἀλεεινό-
τεραι αἱ νύκτες ἐκεῖ ἢ πρὸς ἄρκτον αἱ ἡμέραι. ὥστε πολὺς κινεῖ-
ται ὁ ἀήρ, καὶ οὐθὲν ἧττον ἢ μεθ' ἡμέραν. ἀλλ' αἱ θερμότεραι ἡμέραι
κωλύουσι μᾶλλον πνεῖν, ξηραίνουσαι τὰς ὑγρότητας.
ια'. Διὰ τί ἐπὶ κυνὶ ὁ νότος πνεῖ, καὶ τοῦθ' ὥσπερ τι ἄλλο γίνε-
ται τεταγμένως; ἢ διότι θερμαίνεται τὰ κάτω, τοῦ ἡλίου πόρρω ὄν-
τος. ὥστε πολὺ ἡ ἀτμὶς γίνεται. καὶ πολλοὶ δὲ ἐπέπνεον, εἰ μὴ διὰ
ιβ' τοὺς ἐτησίας. νῦν δὲ οὗτοι κωλύουσι. Διὰ τί ἐπὶ ὠ-
ρίωνι γίνονται αἰόλοι μάλιστα αἱ ἡμέραι, καὶ ἀκαιρίαι τῶν πνευ-
μάτων; ἢ ὅτι ἐν μεταβολῇ ἀεὶ πάντα ἀοριστεῖ μάλιστα. ὁ δ' ὠ-
ρίων ἀνατέλλει μὲν ἐν ἀρχῇ ὀπώρας, δύνει δὲ χειμῶνος. ὥστε
διὰ τὸ μήπω καθεστάναι μίαν ὥραν, ἀλλὰ τὴν μὲν γίνεσθαι, τὴν δὲ
παύεσθαι, διὰ ταῦτα ἀνάγκη καὶ τὰ πνεύματα ἀκατάστατα εἶ-
ναι, διὰ τὸ ἐπαμφοτερίζειν τὰ ἐξ ἑκατέρας. καὶ χαλεπὸς δὲ λέγεται
καὶ δύνων καὶ ἀνατέλλων ὁ ὠρίων, διὰ τὴν ἀοριστίαν τῆς ὥρας. ἀνάγ-
ιγ' κη γὰρ ταραχώδη εἶναι καὶ ἀνώμαλον. Διὰ τί ὁ νυκτε-
ρινὸς βορέας τρίτος λήγει; πότερον ὅτι ἀπὸ μικρᾶς καὶ ἀσθενοῦς
ἀρχῆς, ἡ δὲ τρίτη κρίσιμος; ἢ ὅτι ἀθρόος ἡ ἔκχυσις ὥσπερ τῶν ἐκ-
ιδ' νεφιῶν, ταχεῖα οὖν ἡ παῦλα. Διὰ τί βορέαι πλεῖστοι
πνέουσι τῶν ἀνέμων; ἢ διὰ τὸ πρὸς τούτῳ τὴν οἰκουμένην τῷ τό-
πῳ ἐγκεῖσθαι ὄντι ὑψηλῷ, καὶ ἔξω τροπῶν καὶ πλήρει χιόνος; ἢ

οὐδέποτε

Tertia lux nunquam nocturno aquilone laborat

Exigui caloris exiguum aerem mouit

Canicula oriente auster mouetur

Orionis exortu dies maxime uariant flatusque importuni mouentur

Orionis exortus & occasus quando

Boreas nocturnus tertio die desinit

Tertius dies criticus .i. decretorius

Ecnephie .i. procelle nubibus excusse

Aquilones frequentissimi omnium uentorum spirant

Septentrionalia loca excelsa esse

οὐδέποτε ἐν ἰαόρικλείπει. τὸ πολὺ οὖν ὑγραινόμενον τῶν πεπηγό-
των, πολλάκις πνεῦμα γίνεται. τοῦτο δέ ἐστι βορέας, τὸ ἐκ τῶν ἀ-
ιε' πὸ τῆς ἄρκτου τόπων πνεῦμα. Διὰ τί οἱ νότοι πνέουσι
μὲν χειμῶνος καὶ ἔαρος ἀρχομένου, καὶ μετοπώρου λήγον-
τος. εἰσὶ δὲ καὶ κυματώδεις καὶ συνεστραμμένοι, καὶ τοῖς ἐν
λιβύῃ ὁμοίως ψυχροί, ὥσπερ οἱ βορέαι ἐνταῦθα; ἢ διότι πλησίον τοῦ ἡ-
λίου ὄντος, ἀνάγκη κινεῖσθαι τὰ πνεύματα. ὁ δὲ ἥλιος τοῦ χειμῶ-
νος πρὸς νότον φέρεται. καὶ τοῦ μὲν ἔαρος ἀρχομένου, τοῦ δὲ μετο-
πώρου τελευτῶντος, ἤδη θερμαίνει. τὸ δὲ θέρος πρὸς βορέαν φέρεται.
ἐκείνους δὲ ἀπολείπει τοὺς τόπους. θερμὸς δέ ἐστι διὰ τὸ μίγνυσθαι
τὸ πνεῦμα τῷ κατὰ λιβύην ἐστι θερμῷ ὄντι. διὰ τοῦ ῥ μεμα-
λοκύμων, νοτίζειν ποιεῖ τὸ θέρος, ἐμπίπτων τὴν θάλατταν.
ις' Διὰ τί ὁ νότος δυσώδης; ἢ ὅτι ὑγρὰ καὶ θερμὰ ποιεῖ τὰ
σώματα. ταῦτα δὲ σήπεται μάλιστα. οἱ δὲ ἐκ τῆς θαλάττης νότοι
ἀγαθοὶ φυτοῖς. ἐκ θαλάττης γὰρ αὐτοῖς προσπίπτει. καὶ τῆς ἀττι-
κῆς τῷ θριασίῳ πεδίῳ αἴτιον. διότι ἀπεψυγμένος ἀφικνεῖ-
ται. αἱ δὲ ἐρυσίβαι γίνονται ὑπὸ ὑγρότητος θερμῆς μὲν ἀλλόξι-
ιζ' ας δέ. Διὰ τί ἄνεμος γίνεται πρὸ τῶν ἐκλείψεων ὡς τὰ
πολλά. ἀκρόνυχον μὲν πρὸ τῶν μεσονυκτίων ἐκλείψεων, με-
σονυκτίου δὲ, πρὸ τῶν ἑώων; ἢ διότι ἀμαυροῦται τὸ θερμὸν τὸ ἀ-
πὸ τῆς σελήνης, διὰ τὸ πλησίον ἤδη φορὰν εἶναι ἐν ᾧ γενομένων
ἔσται ἡ ἔκλειψις. ἀνιεμένου οὖν ᾧ κατείχετο ὁ ἀὴρ καὶ ἠρέμει,
πάλιν κινεῖται, καὶ γίνεται πνεῦμα τῆς ὀψιαίτερον ἐκλείψε-
ιη' ως ὀψιαίτερον. Διὰ τί ὁ νότος οὐκ ἀρχόμενος, ἀλλὰ λήγων
ὑέτιος; πότερον ὅτι πόρρωθεν συνάγει τὸν ἀέρα. γίνεται δὲ συνι-
στάντος τὸ ὕδωρ. συνίσταται δὲ ὕστερον ἢ ἄρχεται. ἢ ὅτι ἀρχομένου
θερμός ἐστιν ὁ ἀὴρ ἔτι, διὰ τὸ ἐκ τοιούτου ἐληλυθέναι. ἐπιχρο-
νιζόμενος δὲ ψυχθείς, συνίσταται μᾶλλον εἰς ὕδωρ.
ιθ' Διὰ τί ὁ νότος ὅταν μὲν ἐλάττων ᾖ, αἴθριός ἐστιν· ὅταν δὲ μέ-
γας, νεφώδης καὶ χρονιώτερος; πότερον ὥσπερ τινές λέγουσι διὰ

Austri quando spirant

Auster cur calidus

Austrum fetidum esse

Thriasius atticae campus

ἐρυσίβαι rubigines unde fiunt

Ventus magna ex parte ante lunae defectus excitari solet

Calida luna

Calor aerem retinet ut quiescat

Austrum non incipientem sed desinentem pluuiosum esse

Auster dum minor est serenus est dum magnus nubilosus & diuturnior

παροι[μία]: ἀρχομένου γε νότου καὶ λήγοντος βορέαο

τὴν ἀρχήν. ἐὰν μὲν γὰρ ἀπ' ἐλάττονος, αἴθριος· ἐὰν δὲ ἀπὸ πλείονος ὁρμήσῃ, νεφελώδης. ἢ ὅτι ἐλάττων ἀρχόμενός ἐστιν. ὥστε οὐ πολὺν ἀέρα ὠθεῖ. ἐπὶ τέλει δὲ εἴωθε γίνεσθαι μέγας. διὸ καὶ παροιμιάζονται· ἀρχομένου γε νότου καὶ λήγοντος βορέαο.

Tempore hiberno flatus parte ueniunt ex ortiua, aestiuo occidua

κ' Διὰ τί προΐεται τοῦ χειμῶνος ἀπὸ τῆς ἕω τὰ πνεύματα, τοῦ θέρους δὲ καὶ ἀφ' ἑσπέρας; ἢ ὅτι ὅταν μηκέτι κρατῇ ὁ ἥλιος, ἀφιέμενος ὁ ἀὴρ ῥεῖ. δύνων τε δὴ ἐκλείπει νέφη, ἀφ' ὧν οἱ ζέφυροι. ὅσον ἂν ἐπαγάγῃ ἐκείνοις τοῖς ἐν τῷ κάτω ἡμισφαιρίῳ οἰκοῦσιν, ἑωθινὸν πνεῦμα γίνεται. τοὐναντία δὲ ὅταν δύνῃ εἰς τὰ κάτω μέρη, ἐκείνοις τε ζεφύρους ποιήσει, καὶ ἐνταῦθα ἑωθινὸν πνεῦμα ἀπὸ τοῦ ἑπομένου ἀέρος αὐτῷ. διὰ τοῦτο κἂν καταλαβῇ ἄλλον ἄνεμον, μείζων γίνεται αἰρομένου ὅτι προσέθηκε.

Zephyro flante canes minus uestigia inuestigare ualent

κα' Διὰ τί οἱ κύνες τὰ ἴχνη ἥκιστα εὑρίσκουσι ζεφύρου πνέοντος; ἢ διότι μάλιστα συγχεῖ, διὰ τὸ συνεχέστατος εἶναι τῶν ἀνέμων, καὶ μάλιστα ὑπὸ τὴν γῆν περᾶν.

Cum stelle prosiliunt uenti indiciū est

κβ' Διὰ τί ὅταν ἀστέρες διάττωσιν, ἀνέμου σημεῖον; ὅτι ὑπὸ τοῦ πνεύματος φέρονται, καὶ πρότερον ἐκεῖ γίνεται πνεῦμα ἢ παρ' ἡμῖν. διὸ καὶ ἀφ' οὗ ἂν τόπου φέρωνται οἱ ἀστέρες, ἐν τούτῳ καὶ τὸ πνεῦμα γίνεται.

Zephyrus nubes agit maximas inter oēs uentos

κγ' Διὰ τί μεγίστας νεφέλας τῶν ἀνέμων ὁ ζέφυρος ἄγει; ἢ διότι ἐκ πελάγους πνεῖ, καὶ κατὰ τῆς θαλάττης. ἐκ πολλοῦ οὖν καὶ συνάγει.

Ventos ad postremū uehementissime spirare

κδ' Διὰ τί οἱ ἐπὶ τέλει ἄνεμοι μέγιστοι; ἢ ὅτι ὅταν ἀθρόοι ἐκπνεύσωσιν, ὀλίγον τὸ θερμόν.

Si afric[us] circa aequoctiū spirat aq̄ fieri consueuit

περίστασις uicissitudo

Africus natura humidus

κε' Διὰ τί ἐὰν περὶ ἰσημερίαν λὶψ πνεύσῃ, ὕδωρ γίνεται; ἢ ὅτι καθ' ὃν ὁ ἥλιος τόπον τοῦ κόσμου, τὰ ἐντεῦθεν πνεύματα κινεῖ. διὸ καὶ ἡ τῶν πνευμάτων περίστασις κατὰ τὴν τοῦ ἡλίου φορὰν γίνεται. ἐπειδὴ ἰσημερία μεθόριόν ἐστι χειμῶνος καὶ θέρους, ὅταν συμβῇ τὸν ἥλιον κατὰ τὴν ἡμῖν φαινομένην ἰσημερίαν ὑπερβεβληκέναι ἢ ἐκλείπειν τοῦ ἀκριβοῦς ὅρου, καὶ εἶναι μᾶλλον ἐν τοῖς χειμερίοις, συμβαίνει τοὺς ἐκ τούτου τοῦ μέρους ἀνέμους πνεῖν. ὧν ἐστι πρῶτος λίψ· ὢν ὑγρὸς φύσει. ὄντος δὲ τοῦ ἡλίου μᾶλλον ἐν τῷ

χειμερίῳ ʎ deest. ἢ

χειμερίῳ μέρει τοῦ κόσμου, καὶ κινοῦντος τὰ ἐν αὐτῷ πνεύματα, τὰ χειμῶνος ἔργα συμβαίνει γίνεσθαι. τούτων δέ ἐστιν ὁ ὄμβρος. ἔτι δὲ ἐπειδὴ ἡ ἰσημερία ἐστὶ καθάπερ χειμὼν καὶ θέρος ἰσοκρατής, ἐὰν εἰς ὁποτερονοῦν αὐτῶν προστεθῇ τι, ἐπίσημον τὴν ῥοπὴν ποιεῖ, καθάπερ ἐπὶ τῶν ἰσαζόντων ζυγῶν. ἐπεὶ δὲ ὁ λίψ, ἔκ τε τοῦ χειμερίου τόπου ἐστί, καὶ ὑγρὸς φύσει, προστεθεὶς ἐν τῇ ἰσημερίᾳ, ῥοπὴν χειμῶνος ἐποίησε καὶ ὄμβρον. ὁ γὰρ ὄμβρος χειμῶνός ἐστιν οἰκειότατος τῷ πνεύσαντι πνεύματι.

Eurus — Zephyr[us]; Notus — Boreas

Non ga uenti nubes abigant iccirco nubes aqua nō prouenit

Antiperistasis

κς' Διὰ τί ὁ νότος καὶ ὁ εὖρος θερμότεροι ὄντες τῶν ἐναντίων, ὁ μὲν τοῦ βορέου, ὁ δὲ, τοῦ ζεφύρου, ὑδατωδέστεροί εἰσι; καίτοι διὰ ψυχρότητα ὕδωρ ἐξ ἀέρος γίνεται. οὐ γὰρ διὰ τὸ ἀπωθεῖν τὸν βορέαν, ἐντεῦθεν γίνεται τὰ νέφη. ὁ γὰρ ζέφυρος καὶ ὁ εὖρος ἀπάγουσιν ἄμφω. ὁμοίως γὰρ πλάγιοι. καὶ οἱ ἄλλοι δὲ πάντες ὅθεν πνέουσι. πότερον ὅτι ἀντιπερίσταται τὸ ψυχρὸν εἴσω μᾶλλον ὅταν ᾖ ἔξω τὸ θερμὸν μᾶλλον, ἢ ἐστι μέν τι καὶ τὸ ὅθεν πνέουσιν αἰθρίους εἶναι. καὶ γὰρ εὖρος ἀπηλιώτης ἐστίν. ὅθεν δὲ ἡ χώρα, πρὸς ἑσπέραν κεῖται καὶ ζέφυρος. ἀλλὰ καὶ διότι πρότερον θερμαινόμενος ὁ ἀὴρ ὥσπερ καὶ τὰ ὕδατα, τάχιστα καὶ μάλιστα ψύχεται. φέρεται οὖν ὁ μὲν ἀπὸ τοῦ εὔρου ἐπ' ἀνατολῆς ἀὴρ θερμός, ὁ δὲ ἀπὸ νότου τοῦ ἀπὸ μεσημβρίας. ὅταν οὖν ἔλθωσιν εἰς τὸν ψυχρότερον τόπον, ταχὺ πήγνυνται καὶ συνίστανται εἰς ὕδωρ. ὅτι ἀπὸ τοῦ ἡλίου μᾶλλον φέρει τὸν ἀέρα, καὶ ὁμοίως θερμόν. ὁ δὲ νότος λήγων ὑδατώδης, ὅτι ψυχρὸς ὁ πρῶτος φερόμενος ἀὴρ ἀπὸ τῆς θαλάττης. ὁ δὲ τελευταῖος διάθερμος ὢν ἀπὸ τῆς γῆς κομίζει. ἢ οὐ μόνον τοῦ τοιούτου. ἀλλ' ὅτι καὶ μείζων λήγων ὁ νότος γίνεται. διὸ ἡ παροιμία εἰς αὐτόν, ἀρχομένου γε νότου. οἱ δὲ μείζους ψυχρότεροι. ὥστε πήγνυσιν ὕστερον τὰ νέφη. ἢ διὰ τοῦτο ὑδατωδέστερος ἢ ἀρχόμενος.

παροι[μία]: ἀρχομένου γε νότου

κζ' Διὰ τί οἱ ἄνεμοι ξηραίνουσι ψυχροὶ ὄντες; ἢ διότι ἀτμίζειν ποιοῦσιν οἱ ψυχρότεροι.

Venti magis siccāt q̄m sol.

κη' Διὰ τί δὲ μᾶλλον ἢ ὁ ἥλιος; ἢ διότι ἀπάγουσι τὴν ἀτμίδα. ὁ δὲ

ἥλιος καταλάμπει· ὑγραίνει μὲν οὖν μᾶλλον, ξηραίνει δὲ ἧττον.
κθ' Διὰ τί ὁ καικίας μόνος τῶν ἀνέμων ἐφ' ἑαυτὸν ἄγει τὰ νέφη·
ὥσπερ καὶ ἡ παροιμία λέγει, ἕλκων ἐφ' ἑαυτὸν ὥσπερ καικίας
νέφος. οἱ γὰρ ἄλλοι ὅθεν ἂν πνέωσιν, ἐνταῦθα ἀναστέλλουσι. πότε-
ρον αἴτιον ὅτι ἅμα ὁ ἐναντίος πνεῖ; ἢ οὐκ ἂν ἐλάνθανεν. ἀλλὰ
πέφυκε τὸ πνεῦμα κύκλου γραμμὴν φέρεσθαι, οἱ μὲν οὖν ἄλ-
λοι περὶ τὴν γῆν πνέουσι· τούτου δὲ τὸ κοῖλον τῆς γραμμῆς, πρὸς
τὸν οὐρανόν, καὶ οὐκ ἐπὶ τὴν γῆν ἐστίν· ὥστε ἐπὶ τὴν ἀρχὴν πνέ-
λ' ων, ἐφ' ἑαυτὸν τὰ νέφη ἄγει. Διὰ τί ἀπὸ μὲν τῆς θα-
λάττης οὐκ ἀποπνεῖ ἕωθεν ψυχρόν, ἀπὸ δὲ τῶν ποταμῶν; ἢ ὅτι ἡ
μὲν θάλαττά ἐστιν ἐν ἀναπεπταμένοις τόποις, οἱ δὲ ποταμοὶ ἐν
στενοῖς. ἡ οὖν ἀπὸ τῆς θαλάττης αὔρα, εἰς πολὺν τόπον σκίδνα-
ται, ὥστε εἶναι ἀσθενής· ἡ δὲ ἀπὸ τῶν ποταμῶν, ἀθρόως φέρεται
καὶ μᾶλλον ἰσχύει. διὸ μᾶλλον εἰκότως φαίνεται ψυχρά. ἢ οὐ τοῦ-
τ' ἐστὶν αἴτιον· ἀλλ' οἱ μὲν ποταμοὶ ψυχροί εἰσιν· ἡ δὲ θάλαττα, οὔ-
τε θερμὴ οὔτε ψυχρά. γίνεται δὲ ἡ αὔρα καὶ ἀναπνοή, θερμαι-
νομένων ἢ ψυχομένων. ὁπότερον γὰρ ἂν τούτων πάσχῃ, ἐξαεροῦ-
ται. ἐξαερουμένου δὲ τοῦ ὕδατος ὁ ἀὴρ κινούμενος φέρεται· ὅ ἐστιν
αὔρα. τὸ μὲν οὖν ἀπὸ τῶν ψυχρῶν, ψυχρὸν εἰκότως ἀποπνεῖ. τὰ δὲ
ἀπὸ τῶν σφόδρα θερμῶν ἀποπνέοντα, ψύχεται, καὶ γίνεται ψυ-
χρά. τοὺς μὲν οὖν ποταμοὺς ψυχροὺς ἅπαντας εὕροι τις ἄν. ἡ
δὲ θάλαττα, οὐδὲ ψυχρὰ οὐδὲ θερμὴ σφόδρα ἐστίν. οὔτε οὖν τὸ ἀπο-
πνέον ψυχρὸν ἀπ' αὐτῆς ἐστι, διὰ τὸ μὴ ψυχρὰν εἶναι σφόδρα, οὔτε
ψύχεται ταχύ, διὰ τὸ μὴ θερμὴν εἶναι σφόδρα.
λα' Διὰ τί ὁ ζέφυρος εὐδιεινὸς καὶ ἥδιστος δοκεῖ εἶναι τῶν ἀνέ-
μων· καὶ οἷον Ὅμηρος ἐν τῷ ἠλυσίῳ πεδίῳ, ἀλλ' αἰεὶ ζεφύροιο
διαπνείουσιν ἀῆται. ἢ πρῶτον μὲν ὅτι ἔχει τὴν τοῦ ἀέρος κρᾶσιν·
οὔτε γὰρ θερμὸς ὥσπερ οἱ ἀπὸ μεσημβρίας καὶ ἕω· οὔτε ψυχρὸς
ὥσπερ οἱ ἀπὸ τῆς ἄρκτου, διὸ καὶ πνεῖ ἔαρος μάλιστα. ἔτι τὰ πνεύ-
ματα περιΐσταται ἢ εἰς τἀναντία ἢ εἰς τὰ δεξιά· μετὰ γὰρ τὸν βορέ-

αν

Cecias solus uentorum ad se nubes attrahit
ἕλκων ἐφ' ἑαυτὸν ὥσπερ καικίας νέφος
ἀναστέλλουσι expellunt theo. attrahunt ue. m
Fluuii frigidi. Mare neque frigidum neque calidum
Zephyrus .i. fauonius serenus & iucundissimus uentorum omnium est
Homer
Fauonius uere maxime spirat
περιΐστασθαι transire consueuerunt theo.

deest ἢ ὅτι ἐν πᾶσι ex uetere inter.
ex theodoro aute longe plura uerba desunt

αν πνέων, ἐπὶ δεξιὰ γὰρ ὁ τόπος, εὐδοκιμεῖ· ὥσπερ παρὰ χαλεπὸν
πρᾶος. καὶ ἅμα ὅταν ἀποχειμάσῃ ἤδη, διὰ εἴωθε γίνεσθαι ὥστε ἐ-
λβ' πὶ τὸ πολύ. ὁ δὲ βορέας χειμέριος ἄνεμος. Διὰ τί τῷ κυνὶ νότος
πνεῖ τοῖς ἄστροις δυομένοις, ἢ ἐπιτέλλουσιν, οὐχ ἥκιστα δὲ ἐπὶ τού-
του. δῆλον γὰρ ὅτι πνεύματα μάλιστα ἐπὶ τούτῳ καὶ μετ' αὐτόν.
ἐπεὶ δὲ πνίγει, καὶ πνεύματα εἰκότως ἐπαύξεται. τὰ θερμὰ ὄντα κι-
νεῖται· ὁ δὲ νότος θερμός ἐστιν. ἐπεὶ δὲ ἥδισται μάλιστα ἐκ τῶν ἐναν-
τίων, εἰς τὰ ἐναντία μεταβάλλειν, πρὸ κυνὸς δὲ οἱ πρόδρομοι
πνέουσιν ὄντες βορέαι, εἰκότως μετὰ κύνα νότος πνεῖ. ἐπειδὴ
ἐπισημαίνει μὲν, ἐπιτέλλουσι δὲ τοῖς ἄστροις. τὸ δὲ ἐπισημαίνειν
ἐστί, μεταβολὴν τοῦ ἀέρος ποιεῖν. μεταβάλλει δὲ πάντα εἰς
τοὺς ἐναντίους, ἢ τοὺς ἐπὶ δεξιὰ ἀνέμους τὰ πνεύματα. ἐπεὶ δὲ
βορέας εἰς τοὺς ἐπιδεξίους μεταβάλλει, εἰκὸς ἂν αὐτῶν λοιπὸν
εἰς νότον μεταβάλλειν. ἔστι δὲ καὶ ἡ μετὰ τὰς χειμερινὰς τροπὰς
πεντεκαιδεκάτη νότιος, διὰ τὸ τὰς μὲν τροπάς, ἀρχήν τινα εἶναι
κινεῖ δὲ τὸν κατ' αὐτὴν μάλιστα ἀέρα, τὸν ἥλιον. εἶναι δὲ ἐν ταύταις
ταῖς ῥοπαῖς πρὸς νότον. καθάπερ οὖν καὶ τὰ ἀπὸ ἀνατολῆς κινοῦν
ἀπηλιώτας ἀνέμους ἤγειρεν, οὕτω καὶ τὰ ἀπὸ μεσημβρίας κινοῦν
νότους ἐγείρει. οὐκ εὐθὺ δὲ ἀπὸ τροπῶν ποιεῖ τοῦτο, διὰ τὸ βρα-
χυτάτας ποιεῖσθαι τὰς μεταστάσεις ἔτι. ἀλλ' ἐν τῇ πεντεκαιδε-
κάτῃ διὰ τὸ τὸν χρόνον τοῦτον συμμέτρως ἔχειν τῇ κινήσει τῆς μεταστάσεως
πρὸς τὴν φαντασίαν. ὅλον γάρ ἐστι μέρος εὐσημότατον ὁ εἰρημένος
λγ' χρόνος. Διὰ τί ὁ ζέφυρος πρὸς τὴν δείλην πνεῖ, πρωῒ δὲ οὔ; ἢ αἴ-
τιος μέν ἐστιν ὡς ἐπὶ τὸ πολὺ τῶν πνευμάτων ὁ ἥλιος ἀνατέλλων
καὶ δύνων. ὅταν γὰρ ὑγρὸν ὄντα τὸν ἀέρα διαθερμαίνων, πέττῃ ἢ
διακρίνῃ, εἰς πνεῦμα διακρίνεται. ἐὰν δὲ ᾖ πνευματώδης ὁ ἀήρ, ἔτι
μᾶλλον ἐκπνευματοῦται ὑπὸ τοῦ ἡλίου. ὅταν μὲν οὖν ἐπανατέλλῃ
ὁ ἥλιος, πόρρω ἐστὶ τοῦ ζεφύρου· ἀπὸ γὰρ δυσμῶν πνεῖ. ὅταν δὲ πε-
ρὶ τὸ δύνειν ᾖ ἤδη, τότε διακεκριμένον ἐστὶ τὸ πνεῦμα τελέως. ἀ-
πὸ δὲ μέσου ἡμέρας, ἃ πρὸς τὴν δείλην, συμμετρότατα ἔχει πρὸς

Auster canicula oriente excitatur
Prodromi uenti ante canis exortum oriuntur .i. preuii unde forte sic dicti q sunt boree
ἐπισημαίνειν assignare theodo. qd aute sit ipse Aristot. statim subiicit
χειμεριναὶ τροπαί .i. bruma
Post brumam dies .15. austrum praefefert
fauonii horis pomeridianis spirare nō mane solet
Sol magna ex parte uel oriens uel occidens causa uentorum

∴ sic uetus inter. legit & uer
tit. Vtrū. at theodorus
πρότερον legit

τὸ διαθερμαίνειν καὶ διακρίνειν. διὰ ταῦτα δὲ καὶ ὁ ἀπηλιώτης πρωῒ ἄρχεται πνεῖν. τοῦ γὰρ ὑπὲρ γῆς ἀέρος τῆς νυκτὸς ὀξυγκαινομένου, καὶ τῇ γῇ πλησιάσαντος διὰ βάρος, ἕωθεν διακινῶν αὐτὸν ὁ ἥλιος, τὸν καθ' αὑτὸν κινεῖ πρῶτον. τὸ δὲ ἀπὸ τοῦ ἡλίου πνεῦμα ἀνατέλλοντος ἐντεῦθεν, ἀπηλιώτης καλεῖται.

Cur Apeliotes .i. subsolan(us) mane flare incipit

Apeliotes unde dict(us)

λγʹ Διὰ τί αἰρομένου τοῦ ἡλίου, καὶ αὐξάνεται καὶ πίπτει τὰ πνεύματα; ἢ ὅτι τὸ πνεῦμά ἐστιν ἤτοι τοῦ ἀέρος, ἢ τοῦ ἀναχυθέντος ὑγροῦ κίνησις. αὕτη δὲ ὅταν μὲν ἐλάττων ᾖ, ταχὺ καταναλίσκεται ὑπὸ τοῦ ἡλίου, ὥστε οὐ γίνεται πνεῦμα. ὅταν δὲ πλείων, κινεῖται μᾶλλον τοῦ ἡλίου ἀνατείλαντος. ὁ γὰρ ἥλιος, ἀρχὴ τῆς κινήσεώς ἐστιν.

Sole se attollente & augentur & cadunt uenti

Spiritus aut aeris aut redundantis humoris motio ÷

Διὰ τί ὁ ζέφυρος τῆς δείλης πνεῖ; ἢ ἅπαντα τὰ πνεύματα τοῦ ἡλίου διαχέοντος τὸ ὑγρὸν γίνεται, πρότερον δὲ συνεστηκὸς ὅταν ἡ τοῦ θερμοῦ δύναμις πλησιάζῃ ἐξάπτει. ὁ δὲ ζέφυρος ἀφ' ἑσπέρας πνεῖ. εἰκότως οὖν τῆς δείλης γίνεται. τότε γὰρ ὁ ἥλιος εἰς τὸν τόπον αὐτοῦ ἀφικνεῖται. καὶ ὁ βορέας καὶ ὁ νότος διὰ τοῦτο πλειστάκις πνέουσιν, ὅτι τὸ ἐναντίον ὑπὸ τοῦ ἐναντίου κρατούμενον κατ' εὐθυωρίαν ἥκιστα δύναται διαμένειν. ἀλλὰ μᾶλλον ἐκ τοῦ πλαγίου. ὁ μὲν οὖν νότος καὶ βορέας, ἐκ τῶν ἐφ' ἑκάτερα τόπων τῆς τοῦ ἡλίου φορᾶς πνέουσιν. οἱ δὲ ἄλλοι μᾶλλον ἐκ τοῦ κατ' ἀντικρύ.

Sol auctor & parens motuū est

Omnes spiritus sole humorem diffundente fiunt

ἐξάπτει

λεʹ Πότερον τὸ πνεῦμα ἀπὸ πηγῆς τινος φέρεται ὥσπερ τὸ ὕδωρ, καὶ ταύτης οὐκ ἔστιν ἀνωτέρω αὐτὸ γενέσθαι, ἢ οὔ. καὶ πότερον ἀπὸ ἑνὸς σημείου, ἢ ἀπὸ πλείονος τόπου. ἔνια μὲν οὖν ἐστιν ὅμοια, ἃ καὶ ἐπὶ τῶν ὑδάτων συμβαίνει γίνεσθαι. πότερον γὰρ ὕδωρ ῥεῖ, ὅτε εἰς τὸ κάταντες φέρηται, θᾶττον ῥεῖ ἢ ὅταν ἐν τῷ ἐπιπέδῳ καὶ ὁμαλῷ λιμνάζῃ. ὁμοίως δὲ καὶ τὰ πνεύματα. ἐπὶ μὲν γὰρ τοῖς ἄκροις καὶ τοῖς ὑψηλοῖς, ἀεὶ ἐν κινήσει ὁ ἀήρ. ἐν δὲ τοῖς κοίλοις, ἠρεμεῖ πολλάκις, καὶ ἄπνοια γίνεται. ἐπὶ τῶν τοῖς σφόδρα ὑψηλοῖς ὄρεσιν, οὐ γίνεται τὰ πνεύματα. οἷον ἐπὶ τῷ Ἄθῳ καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις. σημεῖον δέ, ἃ γὰρ ἂν καταλείπωσιν οἱ τῷ προτέρῳ ἔτει θύοντες, οὐ διεσκεδασμένα φασὶ διαμένοντα τῷ ὑστέρῳ. δῆλον οὖν ὅτι ὥσπερ ἀπὸ πηγῆς τινος

De origine & causa uentorū pulchra

Venti nō gignūtur in excelsis montib(us) ut athos & alij sunt & q̄ ratiōe id liqueat

καὶ ἡ τοῦ πνεύματος φορὰ γίνεται, εἰς τὸ ἄνω οὐκ ἔτι δύναται κινεῖσθαι, διὰ τοῦτο οὐκ ἐπὶ τοῖς ὑψηλοῖς τοῦτο συμβαίνει. ὁμοίως δ' ἂν καὶ ἐπὶ τοῦ ὕδατος εἴη. οὔτε γὰρ ὕδωρ λάβρον, οὔτε πνεῦμα ἐξαίσιον ἐν τοῖς ὑψηλοῖς φαίνεται γίνεσθαι.

λζʹ Διὰ τί ὅτε τοῦ μὲν νότου πνέοντος ἡ θάλαττα κυανέα γίνεται, τοῦ δὲ βορέου ζοφώδης; ἢ ὅτι ὁ βορέας ἧττον τὴν θάλατταν ταράττει. τὸ δὲ ἀτακτότερον ἅπαν, μέλαν φαίνεται.

Spirante austro mare ceruleū borea autem atrū obscurū q(ue) fit

ληʹ Διὰ τί οἱ νότοι μικρὰ μὲν πνέοντες οὐ ποιοῦσιν ἐπινεφεῖν ἢ συννεφεῖ, μεγάλοι δὲ γινόμενοι ἐπινεφοῦσιν; ἢ διότι μικροὶ μὲν πνέοντες, οὐ δύνανται πολλὰ νέφη ποιεῖν. ὀλίγον οὖν τόπον κατίσχουσιν. ὅταν δὲ μεγάλοι γίνωνται, πολλὰ ἀπωθοῦσι, διὸ δοκοῦσι μᾶλλον ἐπινεφεῖν.

λθʹ Διὰ τί ὁ μὲν βορέας ἀρχόμενος μέγας, λήγων δὲ μικρός. ὁ δὲ νότος ἀρχόμενος μικρός, λήγων δὲ μέγας; ἢ ὅτι ὁ μὲν βορέας ἐγγὺς ἡμῶν. ὁ δὲ νότος, πόρρω. ὁ μὲν οὖν, ὅταν ἄρξηται, εὐθὺς παρ' ἡμῖν. τὸ δὲ, ἅτε διὰ πολλοῦ χρόνου ἡ ἀρχὴ διασκεδάννυται, καὶ πρὸς ἡμᾶς μικρὸν ἀφικνεῖται αὐτοῦ τὸ πρῶτον. τῆς δὲ τελευτῆς τοῦ μὲν, αἰσθανόμεθα. τοῦ δὲ ὅλως οὐκ αἰσθανόμεθα. ὥστε εἰκότως, ὁ μὲν, ἀσθενής, παυόμενος. ἀσθενὴς γὰρ ἡ τελευτὴ πάντων. ὁ δὲ οὔ. τῆς γὰρ τελευτῆς, οὐκέτι αἰσθανόμεθα αὐτοῦ.

Boreas incipiens uehemēs ÷ finiens autē paruus. Auster autē e contrario.

μʹ Διὰ τί ἐν μὲν κόλποις εἰσὶ, τροπαῖαι γίνονται. τοῖς δὲ ἀναπεπταμένοις πελάγεσιν, οὐ γίνονται. διότι εἰς μὲν τοὺς κόλπους ῥέων, οὐ διασπᾶται τὸ πνεῦμα μᾶλλον, ἀλλ' ἀθρόον ἐπὶ πολὺ φέρεται. ἐν δὲ τοῖς ἀναπεπταμένοις ἐξ ἀρχῆς τε καὶ ἀπογείαι εὐθὺς διασπῶνται μᾶλλον. καὶ ὅταν ῥέωσι ταὐτὸ πάσχουσι. διὰ τὸ πολλαχῆ ἐξεῖναι ὁρμῆσαι. ἔστι γὰρ ἡ μὲν τροπαία, ἀπογείου ἀνάκλασις.

Tropaei / Apogei — Venti

Διὰ τί λέγεται ἀρχομένου τε νότου καὶ λήγοντος βορέαο; ἢ διότι ὁ μὲν βορέας διὰ τὸ ὑπερκεῖσθαι ἡμᾶς αὐτοῦ καὶ εἶναι τὴν οἴκησιν πρὸς ἄρκτον, εὐθὺς μέγα πνεῖ. ἅμα γὰρ ἄρχεται καὶ πάρεστι. διὸ παυόμενος, ἡδὺ πνεῖ. ὁ δὲ νότος διὰ τὸ πόρρωθεν, ὕστερον μείζων ἀφικνεῖται.

ἀρχομένου τε νότου καὶ λήγοντος βορέαο

μβʹ Διὰ τί ἐν τοῖς νοτίοις βαρύτερον ἔχουσι καὶ ἀδυνατώτερον οἱ ἄνθρωποι; ἢ διότι ἐξ ὀλίγου

Austro spirante homines inualidiores grauiores q(ue) se sētiūt

πολὺ ὑγρὸν γίνεται· διαττικὸν μὲν διὰ τὴν ἀλέαν, καὶ ἐκ πνεύματος κούφου ὑγρὸν βαρύ· εἶτα ἡ δύναμις ἀτονεῖ.

ἀτονεῖ debilitatur

Borea spirante maiorē esse tonitrua quam austro

μγ' Διὰ τί ἐν τοῖς βορέοις βροντικώτεροι ἢ ἐν τοῖς νοτίοις· ἢ διότι

μδ' ψυχρότερα τὰ βόρεια. Διὰ τί ὁ νότος οὐ πνεῖ κατ᾽ αὐτὴν τὴν αἴγυπτον τὰ πρὸς θάλατταν· οὐδ᾽ ὅσον ἡμέρας δρόμον καὶ νυκτός· τὰ δὲ ὑπὲρ μέμφεως καὶ ἀπέχοντι δρόμον ἡμέρας καὶ νυκτός, λαμπρὸς· καὶ πρὸς ἑσπέραν οὐ πνεῖ, ὅσον δύο ἡμερῶν ἢ τριῶν δρόμον· τὰ δὲ πρὸς ἕω λίβες πνέουσιν. ἢ διότι κοίλη τὰ κάτω ἡ αἴγυπτός ἐστι· διὸ ὑπερπίπτει αὐτῆς· ἄνω δὲ καὶ πόρρω οἱ

Memphis .V.

Aegypti pars inferior caua. Superior autē celsior.

με' τόποι ὑψηλότεροι. Διὰ τί ὁ νότος ἀρχόμενος μὲν μικρός ἐστι· λήγων δὲ μείζων γίνεται, ὁ δὲ βορέας ἀνάπαλιν· διὸ καὶ ἡ παροιμία λέγεται· εὖ πλεῖν ἀρχομένου τε νότου καὶ λήγοντος βορέαο. ἢ διότι πρὸς ἄρκτον μᾶλλον ἢ πρὸς μεσημβρίαν οἰκοῦμεν. πνεῖ δὲ ὁ μὲν βορέας, ἀπὸ τῆς ἄρκτου· ὁ δὲ νότος, ἀπὸ τῆς μεσημβρίας· εἰκότως οὖν ὁ μὲν, ἀρχόμενος σφοδρῶς πρόσκειται τοῖς πλησίον τόποις μᾶλλον, καὶ μετὰ ταῦτα μεταλλάττει τὸ σφοδρὸν πρὸς ἐκείνους· ὁ δὲ νότος, τοὐναντίον· ἀρχόμενος μὲν τοῖς πρὸς μεσημβρίαν οἰκοῦσιν ἔγκειται· ἐπειδὰν δὲ παραλλάξῃ, τοῖς πρὸς ἄρ-

παροιμία

εὖ πλεῖν ἀρχομένου τε νότου καὶ λήγοντος βορέαο

παραλλάξῃ

μς' κτον λαμπρὸς καταπνεῖ. Διὰ τί λέγεται εἰ δ᾽ ὁ νότος βορέαν προσκαλέσεται, αὐτίκα χειμών. ἢ ὅτι ὁ νότος τοιοῦτός ἐστιν, οἷος νεφέλας καὶ ὕδωρ τε λῦσαι αἴρειν· ὅταν οὖν τοιαύτης τῆς καταστάσεως οὔσης ἐπιπνεύσῃ ὁ βορέας πολλῆς αὐτοῦ ὕλης ὑπαρχούσης πήγνυσι καὶ χειμῶνα ποιεῖ· διὸ λέγεται εἰ βορρᾶς πηλὸν καταλήψεται, αὐτίκα χειμών. ὁ δὲ πηλὸς ἢ ὅλως τὰ ὕδατα ὑπὸ τοῦ νότου

παροιμία

εἰ δ᾽ ὁ νότος βορέαν προσκαλέσεται αὐτίκα χειμών.

παροιμία

εἰ βορρᾶς πηλὸν καταλήψεται αὐτίκα χειμών.

μζ' ἢ μάλιστα ἢ πλειστάκις γίνεται. Διὰ τί ἐπὶ μὲν τῷ νότῳ ταχὺς ὁ βορέας· ἐπὶ δὲ τούτῳ ὁ νότος οὐ ταχὺς ἐπιπίπτει, ἢ ὅτι τῷ μὲν ἐγγύθεν, τῷ δὲ πόρρωθεν ἡ ἄφιξις· ἡ γὰρ οἴκησις πρὸς βορέαν ἡμῶν.

Post austrū cito aqlo spirat post aquilonē nō cito ~~aquilo~~ auster

μη' Διὰ τί τὰ πνεύματα ψυχρά ἐστιν· ὄντα ἀπὸ τῆς τοῦ θερμοῦ συγκινήσεως· ἢ οὐ πάντη ἡ ὑπὸ τοῦ θερμοῦ κίνησις θερμὴ γίνεται, ἐὰν μὴ τρόπον τινὰ γίνηται· ἀλλ᾽ ἐὰν μὲν ἀθρόως ἐμπίπτῃ, καὶ ει

αὐτὸ

αὐτὸ τὸ ἀφικνὸν θερμή· ἐὰν δὲ διὰ στενοῦ καὶ κατὰ μικρὸν, αὐτὴ μὲν θερμή· ὁ δὲ ὑπὸ τούτου κινούμενος ἀὴρ, οἷος ἂν ποτε τυγχάνῃ προϋπάρχων, τοιαύτην καὶ τὴν κίνησιν ἀπετέλεσεν· ὥσπερ καὶ ἐπὶ τοῦ σώματος· φασὶ γὰρ ἐκ τοῦ αὐτοῦ θερμὸν καὶ ψυχρὸν ἡμᾶς πνεῖν· τοῦτο δὲ οὐκ ἀληθές· ἀλλὰ τὸ μὲν ἐξιὸν θερμὸν ἀεί. σημεῖον δὲ τὸ, ἐγγὺς προσαγαγόντι, τοιοῦτον φαίνεσθαι· διαφέρει δὲ ἡ ἔκπτωσις αὐτοῦ· ἐὰν μὲν γὰρ διὰ πολλοῦ ἀφίωμεν χανόντες, θερμὸν φαίνεται, διὰ τὸ αὐτοῦ αἰσθάνεσθαι· ἐὰν δὲ διὰ στενοῦ θερμότερον γινόμενον, ὠθεῖ τὸν πλησίον ἀέρα· κἀκεῖνος τὸν ἐχόμενον· ψυχροῦ δὲ ὄντος τοῦ ἀέρος, καὶ ἡ κίνησις αὐτοῦ ψυχρὰ γίνεται· μήποτε δὲ καὶ ἐπὶ τῶν πνευμάτων τὸ αὐτὸ συμβαίνει· καὶ διὰ στενοῦ ἡ πρώτη κίνησις· εἶτ᾽ ἐκεῖνον μὲν διώεγκεν· ἕτερος δὲ ἀὴρ ἐπιρρεῖ· διὸ καὶ τοῦ μὲν θέρους, θερμά· τοῦ δὲ χειμῶνος ψυχρὰ τὰ πνεύματα, ὅτι ἐν ἑκατέρῳ τοιοῦτος ὁ ἀὴρ ὁ προϋπάρχων· ἐπεὶ ὅτι γε οὔτι αὐτὸς ὑφ᾽ ἑαυτοῦ κινούμενος ὁ ἀὴρ, οὔτε ὑπὸ τοῦ θερμοῦ κρατούμενος· φέρεται ταύτην τὴν φοράν, δῆλον οὐ μόνον τούτῳ ὅτι θερμαίνει τὰ πνεύματα πλείονος τοῦ θερμοῦ ἐνόντος, ἀλλὰ καὶ ἄνω ἐφέρετο· τὸ γὰρ πῦρ τοιοῦτον· τὸ δὲ ψυχρὸν κάτω πέφυκε φέρεσθαι· τὰ δὲ πνεύματα πλάγια εἰκότως· ἐπεὶ γὰρ τὸ μὲν, ἄνω· τὸ δὲ, κάτω βιάζεται, καὶ οὐδέτερον κρατεῖ, μένειν δὲ οὐχ οἷόν τε, λοξὴν τὴν φορὰν εἰκότως γίνε-

Flatuū prima motio per angustum.

Neq: a se ipso aerē moueri neq: a calore uictum

Cur spiritus nō recti sed in latus se uertāt

μθ' σθαι. Διὰ τί οἱ νότοι ἐν τῇ λυβύῃ ψυχροὶ, ὥσπερ παρ᾽ ἡμῖν οἱ βορέαι· πρῶτον μὲν, διὰ τὸ ἐγγυτέρω εἶναι ἡμῖν τι κἀκείνοις τὰς ἀρχὰς τῶν πνευμάτων· εἰ γὰρ ὥσπερ εἴρηται διὰ στενοῦ γίνεται τὰ πνεύματα τοῖς ἐγγυτέρω, ψυχρότερα ἔσται διὰ τὴν σφοδρότητα τῆς κινήσεως· εἰς γὰρ τὸ πόρρω προϊούσης, διαχεῖται· διὸ ὥσπερ ἡμῖν οἱ βορέαι ψυχροί· ὅτι ἐγγυτέρω παντελῶς ἐσμὲν πρὸς

Austri in africa frigidi ut apud nos aquilones

ν' τῇ ἄρκτῳ οἰκοῦμεν. Διὰ τί οἱ νότοι οἱ ξηροὶ καὶ μὴ ὑδατώδεις, πυρετώδεις, ἢ ὅτι ὑγρότητα θερμὴν ἀλλοτρίαν ἐμποιοῦσι τοῖς σώμασιν· εἰσὶ γὰρ ὑγροὶ καὶ θερμοὶ φύσει, τοῦτο δ᾽ ἐστὶ φύσει

Austri sicci & non aquosi febres mouent

febre prouenire ab excessu calidi & humidi

πυρετῶδες. ὁ γὰρ πυρετὸς, ὑπ' ἀμφοτέρων ἐστὶν ὑπερβολῆς. ὅταν μὲν οὖν ὑπὸ τοῦ ἡλίου ἄνευ ὕδατος πνέωσι ταύτην τὴν τάξιν,
να' ὅταν ἅμα τῷ ὕδατι τὸ ὕδωρ καταψύχει. Διὰ τί οἱ ἐτησίαι ταύτην δὴ τὴν ὥραν ἀεὶ καὶ τοσοῦτοι πνέουσι. καὶ διὰ τί λήγουσι τῆς ἡμέρας λήγουσι, καὶ τῆς νυκτὸς οὐ πνέουσιν. ἢ τοῦτο μὲν, διὰ τὸ τὴν χιόνα τηκομένην παύεσθαι ὑπὸ τοῦ ἡλίου πρὸ τοῦ ἑσπέραν καὶ τὴν νύκτα. ὅλως δὲ πνέουσιν, ὅταν ὁ ἥλιος κρατεῖν καὶ λύειν ἄρξηται τὸν πρὸς βορέαν πάγον. ἀρχομένου μὲν οὖν οἱ πρόδρομοι, ἤδη δὲ λυομένου, οἱ ἐτησίαι.

Ctesie uenti unde oriantur & cur sic spirent & cur finito die finiant & nocte nõ spirent

Prodromi — a
Ctesie — Dr

νβ' Διὰ τί ὁ ζέφυρος λειότατός τε τῶν ἀνέμων καὶ ψυχρότατος. καὶ δύο ὥρας πνεῖ μάλιστα, ἔαρ τε καὶ μετόπωρον. καὶ πρὸς ἑσπέραν τῆς ἡμέρας. καὶ ἐπὶ τὴν γῆν μάλιστα. ἢ ψυχρὸς μὲν διὰ τὸ πνεῖν ἀπὸ τῆς θαλάττης καὶ πεδίων ἀναπεπταμένων. ἧττον μὲν οὖν ψυχρὸς τοῦ βορέου, διὰ τὸ ἀφ' ὕδατος πνευματουμένου καὶ μὴ χιόνος πνεῖν. ψυχρὸς δὲ, διὰ τὸ μετὰ χειμῶνα ἄρτι τοῦ ἡλίου κρατοῦντος πνεῖν, καὶ μετοπώρου, ὅτι οὐκέτι κρατεῖ ὁ ἥλιος. οὐ γὰρ ὥσπερ ἐν γῇ ὑπομένει τὴν ὕλην, ἀλλὰ πλανᾶται. διὰ τὸ ἐφ' ὑγροῦ βεβηκέναι. καὶ ὁμαλὸς διὰ τὸ αὐτό. οὐ γὰρ ἀπὸ ὀρέων πνεῖ, οὐδὲ βίᾳ τηκομένου, ἀλλ' ὁμαλῶς ὥσπερ δι' αὐλῶνος ῥέων. τὰ μὲν γὰρ πρὸς βορέαν καὶ νότον ὁρμᾷ. τὰ πρὸς ἑσπέραν δὲ, οὔτε ὄρος, οὔτε γῆ ἐστιν. ἀλλὰ τὸ ἀτλαντικὸν πέλαγος. ὥστε ἐπὶ τῆς γῆς φέρεται. καὶ πρὸς ἑσπέραν δὲ τῆς ἡμέρας πνεῖ διὰ τὸ τότε. τότε γὰρ ὁ ἥλιος πλησιάζει τῷ τόπῳ. καὶ τῆς νυκτὸς παύεται, διὰ τὸ ἐκλείπειν τὴν τοῦ ἡλίου κίνησιν.

Zephyri .s. flatus quo tempore & cur lenissimus & frigidissimus omnium uentorum & interdiu uesperi

Atlanticũ pelagus

νγ' Διὰ τί ὅταν ὁ εὖρος πνεῖ, μείζω φαίνεται τὰ πάντα. ἢ ὅτι ζοφωδέστατον τὸν ἀέρα ποιεῖ.

Curo spirante omnia uideri maiora

νδ' Διὰ τί τὸν μὲν χειμῶνα πρωῒ ἀπὸ τῆς ἕω τὰ πνεύματα πνεῖ, τὸ δὲ θέρος δείλης, καὶ ἀπὸ δυσμῶν ἡλίου. ἢ ὅτι ἃ ἡμῖν συμβαίνει τοῦ θέρους, ταῦτα τοῦ χειμῶνος τοῖς τὸ ἐναντίον τῆς γῆς ἡμισφαίριον οἰκοῦσιν. ἡμῖν δὲ τοῦ χειμῶνος πρωῒ καὶ ἀφ' ἕω τὰ πνεύματα πνεῖ. διὰ τὸ τὸν ἀέρα καθυγρὸν ἐν τῇ νυκτὶ διακείμενον καὶ κινεῖσθαι τὸ πρωῒ ὑπὸ τοῦ ἡλίου, καὶ πρῶτον τὸν ἔγγιστα τοῦ ἡλίου. ποιεῖ δὲ τοῦτο ὁ ἥ-

Hiberno tpe flatus ab ortu mane spirant aestiuo ab occasu

λιος

λιος καὶ πρὸ τῆς ἀνατολῆς. ~~διὸ αὖραι οὐχ ἧττον πρὸ ἀνατολῆς~~ διὸ αὖραι οὐχ ἧττον πρὸ ἀνατολῆς πνέουσιν. ἐπεὶ δὴ οὖν καὶ ἐφ' ἑαυτὸν ἕλκει ὁ ἥλιος τὰ ὑγρά, καὶ κινεῖ πρὸ ἀνατολῆς τοῦ χειμῶνος ὑγρὸν ὄντα τὸν παρ' ἡμῖν ἀέρα, δῆλον ὡς καὶ ἐφ' ἑαυτὸν ἀνέλκει ὢν ἐν τῷ κάτω ἡμισφαιρίῳ. καὶ δείλης ἐκείνοις ὃ ἡμῖν ἐστιν ὄρθρος. ὥστε συμβαίνει αὐτὸν ὑπὸ τοῦ ἡλίου πρὸ ἀνατολῆς παρ' ἡμῶν ἐφ' ἑαυτὸν ἑλκόμενον ἀέρα, τοῦτον τοῖς κάτω γίνεσθαι ζέφυρον καὶ δείλης πνεῖν. ὃ δὲ ἐν τῷ παρ' ἡμῖν χειμῶνι, τῆς ἕω ἐκείνοις συμβαίνει. ὃ δὲ ἐν τῷ θέρει, τῆς δείλης ἡμῖν. ὅτε γὰρ παρ' ἡμῖν θέρος, ἐκεῖ χειμών ἐστι, καὶ ἡμετέρα δείλη, ἐκείνοις ὄρθρος. καθ' ἣν ἐκείνοις μὲν αὔρας ἐξ ἑῴας συμβαίνει πνεῖν. ἡμῖν δὲ ζεφύρους διὰ ταῦτα τοῖς προειρημένοις. τοῦ δὲ θέρους καὶ ἑῷαι μὲν οὐ πνέουσιν, ὅτι εἰς ξηρότερον ἔτι τὸν παρ' ἡμῖν ἀέρα ὁ ἥλιος ἀνατέλλει διὰ τὸ ὀλίγον χρόνον αὐτοῦ ἀπογεγονέναι. ζέφυροι δὲ οὐ πνέουσι δείλης τοῦ χειμῶνος. ὅτι οὐδὲ ἐν τῷ κάτω ἡμισφαιρίῳ ἑῷοι ταύτην τὴν ὥραν διὰ τὰ προειρημένα. ὅθεν ὁ ἥλιος ἐφ' ἑαυτὸν ἕλκων τὰ ὑγρὰ παρ' ἡμῖν ζέφυρον ποιεῖ.

νε' Διὰ τί ὁ ζέφυρος εὐδιεινὸς καὶ ἥδιστος δοκεῖ εἶναι τῶν ἀνέμων. ἢ ὅτι ἐν μεθορίῳ ἐστὶ τῶν ψυχρῶν καὶ θερμῶν πνευμάτων. γειτνιῶν δὲ ἀμφοῖν, τῆς δυνάμεως αὐτῶν κοινωνεῖ. διὸ εὔκρατός ἐστιν. ὁ δὲ ἀπηλιώτης ἧττον κοινωνεῖ, ὢν ἐν τῷ μέσῳ τῶν αὐτῶν. ἀπηλιώτης μὲν γὰρ πνέων, τὰ πρὸς νότον πνεύματα κινεῖ. ἐνταῦθα γὰρ ἡ μετάβασις αὐτοῦ ἐστι. κινῶν δὲ οὐ μίγνυται αὐτοῖς. ὁ δὲ ζέφυρος κινεῖται ὑπὸ τῶν νότων, καὶ πνέων κινεῖ τὰ βόρεια. τελευτᾷ γὰρ ἐνταῦθα ἡ περίοδος τῶν πνευμάτων. διὸ τῶν μὲν τὴν τελευτὴν, τῶν δὲ τὴν ἀρχὴν ἔχων ἐν ἑαυτῷ, δικαίως ἡδύς ἐστι καὶ δοκεῖ εἶναι.

Zephyrus cur illustris serenus & uentorũ omniũ gratissim(us)

Apeliotes

νς' Διὰ τί ἄλλοις ἄλλοι τῶν ἀνέμων ὑέτιοι, οἷον ἐν μὲν τῇ ἀττικῇ καὶ ταῖς νήσοις ὁ ἑλλησποντίας. ἐν ἑλλησπόντῳ δὲ ὁ βορέας. καὶ ἐν κυρήνῃ. περὶ δὲ λέσβον ὁ νότος. ἢ ὅπου ἂν ἀθροισις νεφῶν, ἐνταῦθα ὕδωρ. ἐνταῦθα γὰρ ἡ πύκνωσις ἀθροί-

Hellespontias ue(n)t(us)

ο ἤ. χειμῶνος
ὁ τὸ σύνθετον ἤ. ἐν
theodoro

hec omnia in theodoro
superfluunt, in uetere minime

[III] desunt. An qua arcadia
similis fit paludosis, ex
utroque interprete

Cur in montibus magis pluat

ζεται. ὅπου ἂν προκαθίζεσθαι ἔχοι. διὸ καὶ ἐν τοῖς ὄρεσι μᾶλλον ὕει ἢ ὅπου ἂν τὸ πλῆθος ὑπεξάγειν δύνηται. πιέσει καταλαμβανόμενον γάρ, πυκνοῦται. δεῖ δὲ τοῦτο γίνεσθαι. καὶ ἐν ταῖς εὐδίαις μᾶλλον ὕει. ἐν Ἑλλησπόντῳ μὲν οὖν ἄνωθεν ὁ βορέας πολλὰ συνωθεῖ νέφη. πρὸς δὲ τὴν Ἀττικὴν καὶ τὰς νήσους, ὁ ἑλλησποντίας, ὥσπερ ὕλην ἔχων. ἡ γὰρ περιίσταται τὰ πολλὰ ἐκ τοῦ βορέου. περὶ δὲ Λέσβον ὁ εὖρος καὶ ὁ νότος ἐκ τοῦ πελάγους φέροντες πολλὰ νέφη προσβάλλει τῇ χώρᾳ. τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν ἄλ-

νζ' λων. Διὰ τί λέγεται, μήποτ' ἀπ' ἠπείροιο δ' εἰσῆς, ἀλλ' ἀπὸ πόντου χειμῶνα, θέρεος δ' ἀπ' ἠπείροιο μελαίνης. ἢ διότι τοῦ μὲν χειμῶνος ἡ θάλαττα θερμοτέρα. ὥστε εἴ τις συνέστη, δῆλον ὅτι ἀπ' ἀρχῆς ἰσχυρᾶς συνέστηκεν. ἐλύθη γὰρ ἄν, διὰ τὸ ἀλεεινὸν εἶναι τὸν τόπον. τοῦ δὲ θέρους, ἡ μὲν θάλαττα ψυχρά. καὶ τὰ πόντια πνεύματα. ἡ δὲ γῆ θερμή. ὥστε εἴ τι ἀπὸ τῆς γῆς φέρεται, διὰ μείζονος ἀρχῆς συνέστη. εἰ δ' ἐλύθη γὰρ ἄν, ἀσθενὴς ὤν.

Hyeme mare est calidius, uere autem frigidum mare, terra uero calida

νη' Διὰ τί ἐν τῇ Ἀρκαδίᾳ ὑψηλῇ οὔσῃ, τὰ μὲν πνεύματα οὐθὲν ψυχρότερα τῶν παρὰ τοῖς ἄλλοις. ὅταν δὲ νηνεμία ᾖ καὶ ἐπινεφέλα, ψυχρὰ ὥσπερ ἐν τοῖς ὁμαλέσι τοῖς ἑλώδεσιν. [III] οὐ γὰρ ἔχει ἐξόδους τοῖς ὕδασιν εἰς θάλατταν. διὸ καὶ βάραθρα πολλὰ αὐτόθι ἐστίν. ὅταν μὲν οὖν ᾖ ἄνεμος, ἀπορριπίζει τὴν ἐκ τῆς γῆς ἀναθυμίασιν οὖσαν ψυχράν. αὐτὰ δὲ τὰ πνεύματα, οὐ ψυχρὰ διὰ τὸ ἀπὸ τῆς θαλάττης προσβάλλειν. ἐν δὲ ταῖς νηνεμίαις αἱ οὖσαι ἀτμὶς ἀπὸ τοῦ ἐμμένοντος ὕδατος, ποιεῖ τὸ ψῦχος.

Arcadia excelsam esse

νθ' Διὰ τί ἐὰν ἕωθεν πνεῖν ἄρξηται, διημερεύει μᾶλλον. ἢ διότι ἄρχεται ἀπὸ λίαν σφοδροτάτης φορᾶς. δι' ὃ ἐκτείνεται τοιαύτη οὖσα. σημεῖον

ξ' δ', ὅτι ἰσχυρὰ ἡ σύστασις. Διὰ τί βορέας τὴν ἡμέραν μὲν λαμπρός, τὴν δὲ νύκτα ἐπιπνεῖ. ἢ διότι γίνεται ἀπὸ τοῦ πεπηγότος ὕδατος. ὅταν ἀναθυμιᾶται διὰ τὸν ἥλιον. ἐπιπνεῖ δὲ νυκτός. ὅτι οὐχ ἡ αὐτὴ γένεσις, [III] ἀλλὰ τοὐναντίον ποιεῖ. τὰς γὰρ νύκτας ἐκπνεῖ. τὰς δ' ἡμέρας ἧττον.

ξα'. Διὰ τί τὰ ἀράχνια τὰ πολλὰ ὅταν φέρηται, πνεύματός ἐστι σημεῖα.

πότερον

Cur si uentus mane ~~durat~~ oritur amplius durat

Aquilo interdiu spirat ingenuus, noctu desistit

[III] hec uerba & agnoscit & uertit interpres uetus at theodorus minime

πότερον ὅτι ἐργάζεται ὁ ἀράχνης ἐν ταῖς εὐδίαις. φέρεται δὲ διὰ τὸ ψυχόμενον τὸν ἀέρα, συνιέναι πρὸς τὴν γῆν. τὸ δὲ ψύχεσθαι, ἀρχὴ χειμῶνος. σημεῖον οὖν ἡ φορὰ τῶν ἀραχνίων. ἢ ὅτι μετὰ τὰ ὕδατα καὶ τοὺς χειμῶνας γίνεται ἡ τῶν ἀραχνίων ἀθρόα ἡ φορά. ἐν ταῖς εὐδίαις ἐργαζομένων, διὰ τὸ ἐν τῷ χειμῶνι μὴ φαίνεσθαι. δύσριγον γὰρ τόδε. καὶ φερόμενοι ὑπὸ τοῦ πνεύματος πολὺν ἐκπηρίζονται. μετὰ δὲ τὰ ὕδατα, εἴωθε πνεῦμα γίνεσθαι ὡς τὰ

ξβ' πολλά. Διὰ τί οἱ βορέαι μεγάλοι τοῦ χειμῶνος ἐν τοῖς ψυχροῖς τόποις ἐπινεφέλαις, ἔξω δὲ αἴθριοι. ἢ ὅτι ἅμα ψυχροί εἰσι καὶ μεγάλοι. ἐγγὺς δὲ μᾶλλον ψυχροί. ὥστε φθάνουσι πηγνύντες πρὶν ἀπῶσαι τὰ νέφη. ὅταν δὲ παγῇ, μένουσι διὰ βάρος. ἔξω δὲ τῷ μεγέθει ἐργάζονται μᾶλλον, ἢ τῷ ψυχρῷ.

Cum per aere multe uolitant aranee, indicium flatus futuri

ἐκπηνίζονται

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΟΣΑ ΠΕΡΙ ΦΟΒΟΝ ΚΑΙ ΑΝΔΡΕΙΑΝ.

α' Διὰ τί οἱ φοβούμενοι τρέμουσιν. ἢ διὰ τὴν κατάψυξιν. ἐκλείπει γὰρ τὸ θερμὸν καὶ συστέλλεται. διὸ καὶ αἱ κοιλίαι λύ-

β' ονται τοῖς πολλοῖς. Διὰ τί διψῶσιν ἔνιοι καθάπερ οἱ μέλλοντες κολάζεσθαι. οὐ γὰρ δὴ καταψυχομένων. ἢ οὐκ ἐν ταὐτῷ τόπῳ ἡ κατάψυξις καὶ ἡ θερμότης, ἀλλ' ἡ μὲν ἐν τῷ ἐπιπολῆς, ὅθεν ἐκλείπει τὸ θερμόν. ἡ δὲ, ἐν τῷ ἐντός. ὥστε ἐκθερμαίνει. σημεῖον δὲ καὶ τὸ λύεσθαι τὰς κοιλίας. ἀναξηραινομένου δὲ τοῦ κυρίου τόπου, τὸ δίψος. ὅμοιον δὲ ἔοικεν ὥσπερ τοῖς ἠπιαλοῦσιν. οἱ ἅμα τῷ ῥιγοῦν διψῶσιν. οὐδὲ γὰρ ὁ αὐτὸς οὐδ' ἐκεῖ τόπος

γ' ψύχεται καὶ θερμαίνεται. Διὰ τί ἐν μὲν τοῖς θυμοῖς εἰς τὸ ἐντὸς ἀθροιζομένου τοῦ θερμοῦ, διάθερμοι καὶ θαρραλέοι. ἐν δὲ τοῖς φόβοις, ἀνάπαλιν. ἢ οὐκ εἰς τὸν αὐτὸν τόπον. ἀλλὰ τοῖς μὲν ὀργιζομένοις περὶ τὴν καρδίαν. δι' ὃ καὶ θαρρητικοὶ καὶ ἐν ἐρυθήματι

Cur timentes tremunt

συστέλλεται cotrahitur

Cur in trepidatione uenter soluitur. ut iuuenalis & tibi soluunt tibi classica uentre

Cur sitiant qui ducendi sunt. unde illud domini in cruce sitio.

ἠπιαλοῦσι epiala exercentur. the.

Precipuo loco exsiccato sitis gignitur

καὶ πνεύματος πλήρεις, ἄνω τῆς φορᾶς οὔσης· τοῖς δὲ φοβουμένοις, κάτω συμφυγόντων τοῦ αἵματος καὶ τοῦ θερμοῦ. διὸ καὶ ἡ λύσις τῶν κοιλιῶν. ἐπεὶ καὶ ἡ τῆς καρδίας πήδησις, οὐχ ὁμοία· ἀλλὰ τοῖς μὲν, ὡς ἂν διὰ τὴν ἔκλειψιν, πυκνὴ καὶ σφυγματώδης· τοῖς δὲ, ὡς ἀναθροιζομένου πλείονος θερμοῦ. διὸ καὶ τὸ ἀναζεῖν καὶ τὸ ὀρίνεσθαι τὸν θυμὸν καὶ ταράττεσθαι, καὶ ὅσα τοιαῦτα λέγουσιν, οὐ κακῶς ἀλλ᾽ οἰκείως. ἆρ᾽ οὖν καὶ διὰ τοῦτο τὸ δίψος· ἐπεὶ γε ξηρὸν πίνουσι, καὶ ὅσα σαυσαρισμὸς καὶ τὰ τοιαῦτα γίνεται διὰ τὴν ἀναφορὰν τοῦ πνεύματος ἅμα καὶ θερμοῦ. τὸ δὲ δίψος δῆλον, ὡς ἐκθερμαινομένου τοῦ σώματος. πῶς οὖν ὁ αὐτὸς τόπος ἀναξηραίνεται ἀμφοῖν, τῶν δεδιότων μὲν, καὶ τῶν φοβουμένων καὶ τῶν ὀργιζομένων. ὁ δὲ φόβος ὅτι διψητικὸν, καὶ οἱ ἐν ταῖς ζωγραφίαις δηλοῦσιν. οὐδὲν γὰρ οὕτω διψῶσιν, ὡς οἱ ἀγωνιῶντες. σφόδρα διὸ καὶ διακλύζονται καὶ ἐπιρροφοῦσι, καθάπερ Παρμένων ὁ ὑποκριτής. ἢ τούτοις μὲν οὐκ ἔστι δίψος, ἀλλὰ ξηρότης πεφευγότος τοῦ αἵματος. ὅθεν καὶ ὠχρός. σημεῖον δὲ τὸ μὴ πίνειν πολύ, ἀλλὰ καὶ βροχίσαι. οἱ δὲ ἐν ταῖς τροπαῖς μετὰ πόνου. διὸ διψῶσι καὶ οἱ μέλλοντες κολάζεσθαι. καὶ οὐθὲν ἄτοπον. ἐν δὲ τοῖς πολεμικοῖς ἔνιοι καὶ τῶν ἀνδρείων ὅταν διασκευάζωνται, καὶ τρέμουσιν οὐκ ἐξεστηκότες, ἀλλὰ θαρροῦντες· ὧν εἰώθασι μαστιγοῦν τὸ σῶμα πλατεῖ νάρθηκι. εἰ δὲ μὴ ταῖς χερσὶν ἀναθερμανθέντες. ἔοικε δὴ διὰ τὴν ὀξύτητα καὶ τὴν φορὰν τοῦ θερμοῦ, ἀνωμαλία τις εἶναι περὶ τὸ σῶμα ταραχώδης.

δ'. Διὰ τί οἱ ἀνδρεῖοι ὡς ἐπὶ τὸ πολὺ φίλοινοι, ἢ ὅτι οἱ ἀνδρεῖοι θερμοί. ἡ δὲ θερμότης, περὶ τὰ στήθη. ἐν ταύτῃ γὰρ καὶ ὁ φόβος φαίνεται, γινόμενος κατάψυξίς τις, ὥστε περὶ τὴν καρδίαν ἧττον μὲν μένει, τοῖς δὲ πηδᾷ ψυχομένη. ὅσοι οὖν τὸν πνεύμονα ἔχουσιν ἔναιμον, θερμὸν ἔχουσι τοῦτον, ὥσπερ οἰνωμένοι, ὥστε οὐ ψυχρὰ ἡ φαντασία τοῦ δεινοῦ. οἱ δὲ τοιοῦτοι καὶ φιλοπόται. ἡ γὰρ τοῦ ποτοῦ ἐπιθυμία, διὰ τὴν τούτου τοῦ μορίου θερμότητά ἐστιν. εἴρηται δὲ περὶ αὐτοῦ ἐν ἄλ-

Trepidantib(us) calor et sanguis in imu(m) confugiunt unde fit etia(m) ut aluus soluatur

Cordis palpitatio no(n) ex simili causa prouenit in timente & irascete

σαυσαρισμός siccitas uet(us) interpres. at theodor(us) linguam herere uertit

Timore(m) sitim gignere

Parmeno hystrio

βροχίσαι desorbuisse theodo. uulgo tomar un trago de agua

ἀγωνιῶντες q(ui) in dicedo conturbantur. theodo.

Lata ferula aut manib(us) corpora sua uerberare solent

Homines fortes magna ex parte uinosos esse

Bibendi auiditas proficiscit(ur) ex pulmonis caliditate

λοις. καὶ τοῦ πιεῖν ἡ ἐπιθυμία. ὁ δὲ οἶνος θερμὸς μὲν τὴν φύσιν. ποιεῖ δὲ τὴν δίψαν μᾶλλον τοῦ ὕδατος. καὶ μάλιστα τῶν αὐτῶν δι᾽ ἣν αἰτίαν εἴρηται ἐν ἄλλοις. διὸ καὶ οἱ ἐν τῇ περιπνευμονίᾳ, καὶ οἱ μαινόμενοι, ἀμφότεροι ἐπιθυμοῦσιν οἴνου. καίτοι τῶν μὲν διὰ τὴν θερμασίαν, θερμὸς ὁ πνεύμων. τῶν δὲ διὰ τὴν ταραχήν. ἐπεὶ οὖν οἱ αὐτοὶ ὡς ἐπὶ τὸ πολὺ τῷ γένει διψητικοὶ καὶ ἀνδρεῖοι, οἴνου δὲ οἱ διψητικοὶ ἐπιθυμητικοί, οἱ δὲ τοιοῦτοι φιλοπόται, ἀναγκαῖον ὡς ἐπὶ τὸ πολὺ παρακολουθεῖν ἀλλήλοις τὰς φύσεις. διὸ καὶ οἱ οἰνω-

ε'. μένοι, ἀνδρειότεροι τῶν μή. Διὰ τί μάλιστα τὴν ἀνδρείαν τιμῶσιν αἱ πόλεις, οὐ βελτίστην οὖσαν τῶν ἀρετῶν. ἢ ὅτι διατελοῦσιν ἢ πολεμοῦντες ἢ πολεμούμενοι. αὕτη δὲ ἐν ἀμφοῖν. τιμῶσι δὲ οὐ τὰ βέλτιστα, ἀλλὰ τὰ αὑτοῖς βέλτιστα.

ϛ'. Διὰ τί οἱ φοβούμενοι μάλιστα τρέμουσι τὴν φωνὴν καὶ χεῖρας καὶ τὸ κάτω χεῖλος, ἢ διότι ἔκλειψίς ἐστι τὸ πάθος θερμοῦ ἐκ τῶν ἄνω τόπων. διὸ καὶ ὠχριῶσι. διὰ μὲν οὖν τὸ ἐκ τοῦ στήθους ἡ φωνὴ τρέμει, ψυχομένου ᾧ κινεῖται. ὁμοίως δὲ καὶ χεῖρες, ἐκ τοῦ στήθους ἤρτηνται. τὸ δὲ κάτω χεῖλος, ἀλλ᾽ οὐ τὸ ἄνωθεν κάτω κρέμαται, ἢ ἕπεται. τὸ δὲ κάτωθεν ἄνω παρὰ φύσιν. ἀλλ᾽ ὑπὸ τοῦ θερμοῦ ἄνω ἠρεμεῖ. οὗ ὑφαιρουμένου, διὰ τὸ ψύχεσθαι τρέμει. καὶ ἐν τοῖς θυμοῖς δὲ, διὰ τὸ αὐτὸ ἀποκρεμάννυται τὸ χεῖλος. δῆλον δ᾽ ἐπὶ

ζ'. τῶν παιδίων. συνωθεῖται γὰρ εἰς τὴν καρδίαν τὸ θερμόν. Διὰ τί οἱ φοβούμενοι μάλιστα τρέμουσι τὴν φωνὴν καὶ χεῖρας, καὶ τὸ κάτω χεῖλος. ἢ διότι ἐκ τούτου τοῦ τόπου ἐκλείπει τὸ θερμὸν, ἐν ᾧ ἡ φωνή. τὸ δὲ χεῖλος καὶ τὰς χεῖρας, ὅτι εὐκινητότατα καὶ μάλιστα ἄναιμα. καὶ προΐενται μὲν τὴν χολήν. συσπῶσι δὲ καὶ τὰ αἰδοῖα. προΐενται μὲν διὰ τὸ συντήκειν τὸ καταβαῖνον θερμόν. ἀνασπῶσι δὲ, ὅτι ἔξωθεν ὁ

η'. φόβος. εἰς τοὐναντίον οὖν ἡ φυγή. Διὰ τί οἱ φοβούμενοι καὶ ῥιγῶσι καὶ διψῶσι. ταῦτα δὲ ἐναντία τὰ πάθη. ἢ ῥιγῶσι μὲν ψυχόμενοι, διψῶσι δὲ θερμαινόμενοι. διότι ἐν τῷ φοβεῖσθαι, τὸ θερμὸν ἐκλείπει (καὶ τὸ ὑγρὸν) ἐκ τῶν ἄνω τόπων. δηλοῖ δὲ τὸ χρῶμα καὶ αἱ κοιλίαι. τὸ μὲν γὰρ πρόσωπον, ὠχρόν. αἱ δὲ κοιλίαι λύονται. διὰ μὲν

Vinu(m) q(ua)nq(ua)m calidum natura tame(n) extinguit magis q(ua)m aqua sitim

οἱ ἐν τῇ περιπνευμονίᾳ καὶ οἱ μαινόμενοι ἐπιθυμοῦσι οἴνου

Fortitudine(m) maxime honorant urbes q(uam)q(uam) no(n) excelle(n)tissima(m) uirtutu(m)

Trepida(n)tes tremu(n)t uoce & manibus & labro inferiore

Cur trepidantes & bile(m) emittu(n)t & naturale me(m)bru(m) contrahunt

hęc uerba secundu(m) theodoru(m) superfluunt. Secus secundu(m) ueter(e)m int(erpretem).

τὸ ἐκλείπειν τὸ θερμὸν ἐκ τῶν ἄνωθεν, τὸ εἴσω γίνεται. διὸ καὶ τὸ ὑγρὸν, ἤδη ψυχρά.

η'. Διὰ τί οὖν τοῦ φόβου λύπης τινὸς ὄντος καὶ ἀλγηδόνος, οἱ μὲν ἀλγοῦντες ἀναβοῶσιν, οἱ δὲ φοβούμενοι σιωπῶσιν; ἢ οἱ μὲν ἀλγοῦντες κατέχουσι τὸ πνεῦμα· διὸ ἀθρόον ἐξιὸν, μετὰ φωνῆς ἐξέρχεται. τῶν δὲ φοβουμένων κατέψυκται τὸ σῶμα, καὶ τὸ θερμὸν κάτω συνῶσται, ὅπερ ποιεῖ πνεύματα. ᾗ οὖν συνῶσται μάλιστα, ἐνταῦθα καὶ ποιεῖ αὐτά· διὸ καὶ ἀποψοφοῦσιν οἱ φοβούμενοι. ἡ δὲ φωνή ἐστι φορὰ πνεύματος, ἄνω πως καὶ διά τινων γινομένη. τοῦ δὲ τοὺς ἀλγοῦντας κατέχειν τὸ πνεῦμα αἴτιον, ὅτι ταῖς ἐνυπαρχούσαις ἡμῖν βοηθείαις φύσει, εὐθὺ πάντες τι παθόντες, ἄνευ λογισμοῦ χρώμεθα, καθάπερ καὶ τὰ ἄλλα ζῷα. τὰ μὲν γὰρ κέρασι, τὰ δὲ ὀδοῦσι, τὰ δὲ ὄνυξιν ἀμύνεται· πρὸς δὲ τὰ ἀλγήματα πάντα ἢ τὰ πλεῖστα, βοηθεῖ ἡ θερμότης· ὅπερ ποιεῖ ὁ κατέχων τὸ πνεῦμα. θερμαίνει γὰρ καὶ ἐκπέττει τὸ ἄλγημα, συστέλλων ἐντὸς τὸ θερμὸν τῷ πνεύματι.

θ'. Διὰ τί τοῖς φοβουμένοις αἱ κοιλίαι λύονται, καὶ οὐρητιῶσιν; ἢ τὸ θερμὸν τὸ ἐν ἡμῖν ἐστιν, ὥσπερ ζῷον· τοῦτο γοῦν φεύγει ὅτι ἂν φοβηθῇ. ἔξωθεν οὖν γινομένων τῶν τε ὑπὸ ἀγωνίας φόβων καὶ τῶν τοιούτων, καὶ ἐκ τῶν ἄνωθεν εἰς τὰ κάτω, καὶ ἐκ τῶν ἐπιπολῆς εἰς τὰ ἐντός. ἐκθερμαινόμενοι δὲ οἱ περὶ τὴν κοιλίαν τόποι, καὶ τὴν κύστιν διαλύονται, καὶ ποιοῦσιν αὐτὰ εὐέκπεπτα. καὶ γὰρ τὰ ἄνισα καὶ τὰ ἀψίνθια, καὶ ὅσα οὐρητικὰ, θερμαντικά. ὁμοίως δὲ καὶ τὰ πρὸς τὴν κοιλίαν φάρμακα, τὰ κάτω θερμαντικώτερα. καὶ τὰ μὲν τῶν εἰσενεχθέντων μόνον λυτικά ἐστι, καὶ ἑτέραν τὴν ἕξιν ποιεῖ, οἷον τὸ σκόροδον εἰς τὸ οὖρον. τὸ αὐτὸ δὴ τοῖς τοιούτοις, ἡ ἐκ τῶν ἐπιπολῆς θερμασία εἰς τούτους τοὺς τόπους συνιοῦσα δρᾷ.

ι'. Διὰ τί οἱ φοβούμενοι συσπῶσι τὰ αἰδοῖα; εἰκὸς γὰρ τοὐναντίον εἰς τοὺς ἐντὸς τόπους τοῦ θερμοῦ ἀθροιζομένου τῶν φοβουμένων ἀνίεσθαι αὐτά. ἢ οἱ φοβούμενοι σχεδὸν ἅπαντες ὥσπερ ῥιγοῦντές εἰσιν, ἐκλελοιπότος οὖν ἐκ τῶν ἐπιπολῆς τοῦ θερμοῦ, συσπῶσι. διὸ καὶ βομβυλιάζουσιν οἱ δεδιότες. δοκεῖ δὲ συσπᾶν

τὸ

Cur dolentes quiritantur trepidantes autem tacent

Cur timentes pedunt

Cur dolentes retinet spiritum. pulcherrimu documentu

Cur trepidantes et uentris solutione patiuntur et urinę libidine huius rei causam calori assignat aristot.

Anisum et absinthium et quęcumque urinam ciet calida esse et quęcumque pharmaca uentrem soluit

Cur timentes naturalia contrahunt

βομβυλιάζειν uentris murmur excitari

τὸ ἐπιπολῆς καὶ τὸ δέρμα τῶν ῥιγούντων, ἅτε τοῦ θερμοῦ ἐκκεκριμένου. διὸ καὶ φρίττουσι. συσπᾶται δὲ καὶ ἡ ὀσχέα τοῖς αἰδοίοις ἄνω, καὶ συνεφέλκονται καὶ οἱ ὄρχεις αὐτοῖς συστελλομένων. θᾶττον δὲ φαίνεται ἐπὶ τῶν ἀφροδισίων· ὁ γὰρ φόβος ἐκκενοῖ. καὶ ἐπὶ πολλοῖς τῶν ἀγωνιώντων καὶ τῶν περὶ φόβων, συγκινεῖ ἡ τῆς γονῆς πρόεσις.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΟΣΑ ΠΕΡΙ ΣΩΦΡΟΣΥΝΗΝ ΚΑΙ ΑΚΟΛΑΣΙΑΝ ΚΑΙ ΕΓΚΡΑΤΕΙΑΝ ΚΑΙ ΑΚΡΑΣΙΑΝ·

α'. Διὰ τί ἔνιοι κἂν μὴ ὦσιν, ὅταν ἐθισθέντες ἀκολάστως ζῶσιν, ἀκολάστως διαιτῶνται· οἷον Διονύσιος ὁ τύραννος, ἐπεὶ ἐν τῇ πολιορκίᾳ ἐπαύσατο πίνων ὀλίγον τινὰ χρόνον, εὐθὺς ἐφθισίασεν, ἕως πάλιν εἰς τὴν μέθην μετέβαλεν; ἢ μέγα μέν τι καὶ τὸ ἔθος ἐστὶν ἑκάστοις· φύσις γὰρ ἤδη γίνεται. καθάπερ ἂν εἰ ἰχθὺς ἐν ἀέρι, ἢ ἄνθρωπος ἐν ὕδατι διατελῶν, φαύλως ἂν ἴσχοι· οὕτω καὶ οἱ τὰ ἔθη μεταβάλλοντες, χαλεπῶς ἀπαλλάττουσι· καὶ τὸ πάλιν εἰς τὰ εἰωθότα ἐλθεῖν, σωτηρία γίνεται αὐτοῖς, ὥσπερ εἰς φύσεως κατάστασιν. ἔτι δὲ καὶ συντηκτικοὶ γίνονται, εἰωθότες τροφῇ χρῆσθαι δαψιλεῖ τῇ ἰδέᾳ· μὴ λαμβάνοντες γὰρ τὴν εἰωθυῖαν, ὥσπερ ὅλως μὴ λαμβάνοντες διατίθενται. οὐ μὴν ἀλλὰ καὶ τὰ περιττώματα τροφῇ μεμιγμένα πολλῇ, ἀφανίζεται· αὐτὰ δὲ ἐπιπολάζει μόνα, ὅταν ἀφαιρεθῇ· ἐς ὄμμα ἢ πνεύμονα. προσενεγκαμένοις δὲ τροφὴν, κατακεραννύμενα, ὑδαρῆ γίνεται καὶ ἀβλαβῆ. γίνεται δέ τις ἀκολάστως ζῶσι πλείω τὰ περιττώματα, ἄχρι τινὸς λήξασι τοῦ εἰωθότος βίου, διὰ τὸ πολλὴν ἀκαταχώριστον ἐν αὐτοῖς ὕλην ὑπάρχειν ἐκ τοῦ προτέρου βίου, ἢ τῆς τηκομένης ὑπὸ τοῦ συμφύτου θερμοῦ, καθάπερ χιόνος πολλῆς, ῥεῦμα ἀθρόως συμβαίνει γίνεσθαι.

β'. Διὰ τί κατὰ τὰς δύο αἰσθήσεις ἀκρατεῖς λέγομεν, οἷον ἁφὴν καὶ γεῦσιν; ἢ διὰ τὰς ἀπὸ τούτων γινομένας ἡδονὰς ἡμῖν τε καὶ τοῖς ἄλλοις ζῴοις; ἅτε οὖν κοιναὶ οὖσαι, ἀτιμόταταί εἰσι· διὸ καὶ μάλιστα ἢ μόναι ἐπονείδιστοί εἰσιν· ὥστε τὸν ὑπὸ τούτων ἡττώμενον ψέγομεν, καὶ ἀκρατῆ καὶ ἀκόλαστον εἶναι φαμὲν, διὰ τὸ ὑπὸ τῶν χειρίστων ἡδονῶν ἡττᾶσθαι.

γ'. Διὰ τί ἀκρατεῖς λέ-

ὀσχέα scrotu. theo.

Multis perterritis genitura profluuium mouetur

Dionysius

De Dionysio tyranno iucundu

De consuetudinis ui quanta sit

Duorum tantummodo sensuum ratione s. tactus et gustus incontinentes uocam͂ homines

τὸν δὲ κατὰ τὰς ἐπιθυμίας μόνον, οὔσης καὶ ἀκρασίας καὶ περὶ τὸν θυμόν; ἢ ὅτι ἀκρατὴς μέν ἐστιν, ὁ παρὰ τὸν λόγον τι πράττων· καὶ ἀκρασία, ἡ παρὰ τὸν λόγον ἀγωγή. εἰσὶ δὲ αἱ μὲν ἐπιθυμίαι ὡς ἐπὶ τὸ πᾶν εἰπεῖν, παρὰ τὸν λόγον· αἱ δὲ ὀργαὶ μετὰ λόγου· οὐχ ὡς κελεύσαντος τοῦ λόγου, ἀλλ' ὡς δηλώσαντος τὸν προπηλακισμόν, ἢ τὴν αἰτίαν.

ἀκρατῆς .i. incotinentes cur dicuntur ratione tantum cupiditatis cum etiam in ira incotinentia fit

δ'. Διὰ τί τὴν μὲν ἐγκράτειαν καὶ τὴν σωφροσύνην, ἐπὶ τῶν νέων καὶ πλουσίων μάλιστα ἐξετάζομεν· τὴν δὲ δικαιοσύνην ἐπὶ τῶν πενήτων; ἢ ὅτι οὗ μάλιστα δεῖται τις, εἰ τούτου ἀπέχεται, μᾶλλον θαυμάζοιτ' ἄν, ἢ τῶν ἐναντίων. ὁ μὲν οὖν πένης, ὠφελείας δεῖται· ὁ δὲ νέος καὶ πλούσιος, ἀπολαύσεως.

ἐγκράτεια cotinentia

σωφροσύνη temperantia

Admirandum documentum cur in iuvenibus cotinentiam & temperantiam in pauperibus iustitiam inquirimus

ε'. Διὰ τί ἧττον ἀνέχονται διψῶντες, ἢ πεινῶντες; πότερον ὅτι λυπηρότερον. σημεῖον δὲ τὸ λυπηρότερον, ὅτι ἥδιον τὸ διψῶντα πιεῖν, ἢ πεινῶντα φαγεῖν. τὸ δ' ἐναντίον τῷ ἡδεῖ λυπηρότερον. ἢ διότι μᾶλλον δεῖται τὸ θερμὸν τοῦ ψυχροῦ, ἢ τὸ ξηρόν, ᾧ ζῶμεν. ἢ ὅτι δυοῖν ἡ δίψα, ἐπιθυμία ποτοῦ καὶ τροφῆς· ἡ δὲ πεῖνα, ξηρᾶς μόνου τροφῆς.

ς'. Διὰ τί ἧττον καρτεροῦμεν διψῶντες ἢ πεινῶντες; ἢ διότι λυπούμεθα μᾶλλον. σημεῖον δὲ τῆς λύπης ἡ ἡδονὴ σφοδροτέρα. εἶτα ὁ μὲν διψῶν, δυοῖν ἐνδεής, τροφῆς τε καὶ καταψύξεως· ἀμφῶ γὰρ ἔχει τὸ ποτόν. ὁ δὲ πεινῶν, θατέρου μόνον.

Cur minus tolerat sitis quam fames

ζ'. Διὰ τί οἱ κατὰ τὴν τῆς ἁφῆς ἢ γεύσεως ἡδονήν, ἐὰν ὑπερβάλλωσιν, ἀκρατεῖς λέγονται; οἵ τε γὰρ περὶ τὰ ἀφροδίσια, ἀκόλαστοι· οἵ τε περὶ τὰς τῆς τροφῆς ἀπολαύσεις. τῶν δὲ κατὰ τὴν τροφήν, ἀπ' ἐνίων μὲν ἐν τῇ γλώττῃ τὸ ἡδύ, ἀπ' ἐνίων δὲ ἐν τῷ λάρυγγι. διὸ καὶ Φιλόξενος γεράνου φάρυγγα εὔχετο ἔχειν. οἱ δὲ κατὰ τὴν ὄψιν καὶ τὴν ἀκοήν, οὐκέτι. ἢ διότι τὰς ἀπὸ τούτων γινομένας ἡδονάς, κοινὰς εἶναι ἡμῖν καὶ τοῖς ἄλλοις ζώοις. ἅτε οὖν οὔσας κοινάς, ἀτιμόταταί εἰσι, καὶ μάλιστα ἢ μόναι ἐπονείδιστοι. ὥστε τὸν ὑπὸ τούτων ἡττώμενον, ψέγομεν, καὶ ἀκρατῆ καὶ ἀκόλαστον λέγομεν, διὰ τὸ ὑπὸ τῶν χειρίστων ἡδονῶν ἡττᾶσθαι. οὐσῶν δὲ τῶν αἰσθήσεων πέντε, τὰ τ' ἄλλα ζῷα ἀπὸ δύο μόνων τῶν προειρημένων ἥδεται. κατὰ δὲ τὰς ἄλλας, ἢ ὅλως οὐχ ἥδεται, ἢ κατὰ συμβεβηκὸς τοῦτο πάσχει. ὁρᾷ μὲν γὰρ ὁρῶν, ἢ ὀσφραινόμενος χαίρει, ὅτι ἀπολαύσει· καὶ ὅταν πληρωθῇ,

Ciborum non eadem ratio sed partim lingua partim gula sua movent suavitate

Philoxen

Philoxenus cur gruis collum sibi dari a diis optabat

οὐδὲ

οὐδέ, τὰ τοιαῦτα ἡδέα αὐτῷ· ὥσπερ οὐδὲ ἡμῖν ἡ τοῦ ταρίχου ὀδμή, ὅταν μὲν ἅδην ἔχωμεν τοῦ φαγεῖν· ὅταν δὲ ἐνδεεῖς ὦμεν, ἡδεῖα. ἡ δὲ τοῦ ῥόδου, ἀεὶ ἡδεῖα.

ὥσπερ οὐδὲ ἡμῖν ἡ τοῦ ταρίχου ὀδμὴ ὅταν ἅδην ἔχωμεν τοῦ φαγεῖν.

η'. Διὰ τί ἧττον κατέχουσι τὸν γέλωτα παρόντων τῶν γνωρίμων; ἢ ὅταν σφόδρα ὀξυρρεπὴς μὲν ᾖ τι, εὐκίνητόν ἐστιν. ἡ δ' εὔνοια, εἰπεῖν μᾶλλον γελοῖον· ὥστε κινεῖ.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΟΣΑ ΠΕΡΙ ΔΙΚΑΙΟΣΥΝΗΝ ΚΑΙ ΑΔΙΚΙΑΝ.

α'. Διὰ τί μείζονος ὄντος ἀδικήματος, ἐάν τις βλάπτῃ εἰς τὸ μεῖζον ἀγαθόν· τῆς δὲ τιμῆς οὔσης μείζονος ἀγαθοῦ ἢ τῶν χρημάτων, ἡ ἀδικία μᾶλλον δοκεῖ, καὶ ἄδικοι μᾶλλον εἶναι δοκοῦσι περὶ τὰ χρήματα; ἢ διότι αἱροῦνται τὰ χρήματα μᾶλλον τῆς τιμῆς· καὶ πᾶσιν ἐστὶ κοινότατον· ἡ δὲ τιμὴ ὀλίγοις, καὶ ὀλιγάκις συμβαίνει ἡ χρῆσις αὐτῆς.

Cur gravius crimen censetur quod committitur adversus substantiam & patrimonium quam adversus honorem

β'. Διὰ τί παρακαταθήκην δεινότερον ἀποστερεῖν, ἢ δάνειον; ἢ ὅτι αἰσχρὸν ἀδικεῖν φίλον. ὁ μὲν οὖν τὴν παρακαταθήκην ἀποστερῶν, φίλον ἀδικεῖ. οὐδεὶς γὰρ παρακατατίθεται μὴ πιστεύων. ὁ δὲ τὸ χρέος, οὐ φίλος. οὐ γὰρ δανείζει ἂν ᾖ φίλος, ἀλλὰ δίδωσιν. ἢ ὅτι μεῖζον τὸ ἀδίκημα. πρὸς γὰρ τῇ ζημίᾳ, καὶ τὴν πίστιν παραβαίνει, δι' ἣν εἰ καὶ μηδὲν ἕτερον, δεῖ ἀπέχεσθαι τοῦ ἀδικεῖν. ἔτι τὸ μὴ τοῖς ἴσοις ἀμύνεσθαι, φαῦλον. ὁ μὲν οὖν, ἔδωκεν ὡς φίλῳ· ὁ δὲ ἀπεστέρησεν ὡς ἐχθρόν· ὁ δὲ δανείζων, οὐχ ὡς φίλος ἔδωκεν. ἔτι τῷ μέν, ἡ δόσις φυλακῆς καὶ ἀποδόσεως χάριν· τῷ δέ, καὶ ὠφελείας. ἧττον δὲ ἀγανακτοῦμεν ἀποβάλλοντες, εἰ κέρδος θηρώμενοι, οἷον οἱ ἁλιεῖς τὰ δελέατα. προφανὴς γὰρ ὁ κίνδυνος. ἔτι παρακατατίθενται μὲν ὡς ἐπὶ τὸ πολὺ οἱ ἐπιβουλευόμενοι καὶ ἀτυχοῦντες· δανείζουσι δὲ οἱ εὐποροῦντες. δεινότερον δέ ἐστι τὸν ἀτυχοῦντα, ἢ τὸν εὐτυχοῦντα ἀδικεῖν.

Depositum non reddere iniquius quam mutuum pulchrum

δάνειον mutuum sic uterque interpres

δελέατα retia Theodorus transfert nescio cur

γ'. Διὰ τί ἐν ἐνίοις δικαστηρίοις τοῖς γένεσι μᾶλλον ἢ ταῖς διαθήκαις ψηφίζονται; ἢ ὅτι γένος μὲν οὐκ ἔστι καταψεύσασθαι, ἀλλὰ τὸ ὂν ἀποφαίνειν· διαθῆκαι δὲ πολλαὶ ψευδεῖς ἤδη ἐξηλέγχθησαν.

δικαστηρίοις foris th

In nonnullis foris magis generis quam testamenti ratione habita sententiam ferri mos

δ'. Διὰ τί ἡ πενία παρὰ τοῖς χρηστοῖς τῶν ἀνθρώπων μᾶλλον, ἢ παρὰ τοῖς φαύλοις ἐστίν; ἢ διὰ τὸ ὑπὸ πάντων μισεῖσθαι καὶ ἐξελαύνεσθαι πρὸς τούς

.·. χρήματα . s. ex utroq interprete

Cur pauperes esse probos solent
ἐπιεικεῖς bonos. theo-
ἐπιεικεῖς probos
ἐπιεικεῖς bonos

ἐπιεικεῖς κατὰ τὴν ψυχήν· οἷον μὲν ἢ μάλιστα παρὰ χοῦ τοῖς, σωτηρίας
τυχεῖν, διαμένει· εἰ δὲ πρὸς πονηροὺς ἔλθῃ, οὐκ ἂν διαμείναι ἐν
τῇ αὐτῇ δυνάμει αὐτούς· ἀλλ' ἢ κλέπτειν, ἢ ληΐζεσθαι· ὧν στερομένη
οὐκ ἂν ἔτι εἴη μετ' αὐτῶν περὶ αὐτῆς. ἢ ὅτι τοὺς ἐπιεικεῖς οἴεται αὐτῶν
ἄριστα ἂν αὐτῇ χρῆσθαι, καὶ ἥκιστα ἂν ὑβρισθῆναι ὑπ' αὐτῶν. καθάπερ
οὖν τὰς τῶν χρημάτων παρακαταθήκας πρὸς τοὺς ἐπιεικεῖς τιθέ-
μεθα, οὕτω καὶ αὐτὴν ὑπὲρ αὐτῆς διατάττεται. ἢ ὅτι θήλεια οὖσα,
ἀπορωτέρα ἐστίν· ὥστε τοῦ ἐπιεικοῦς δεῖται. ἢ ὅτι αὐτὴ κακὸν οὖσα, πρὸς
τὸ κακὸν οὐκ ἂν ἔλθοι· εἰ γὰρ τὸ κακὸν ἔλθοι, παντάπασιν ἂν δυσίατον εἴη.

ε΄. Διὰ τί οὐχ ὁμοίως αἱ ἀδικίαι μείζους περὶ τὰ μεγάλα ἢ τὰ ὀλίγα·
οἷον ὁ μικρὸν εἰπών, οὐκ ἂν κατὰ τὸ ἀπείρη τὸ μέτρει· ἀλλ' ὅσῳ προσδοὺς,
πάλιν· ὥσπερ ὁ ὀβολὸν ἀποστερήσας, καὶ τάλαντον. ἢ ὅτι ἀπὸ μείζονος
ς΄. ἀδικίας ἐστὶν ἢ ἐλάττω ἐστί, δι' ἀδυναμίαν. Διὰ τί παρακατα-
θήκην αἴσχιον ἀποστερῆσαι μικράν, ἢ πολὺ δανεισάμενον. ἢ ὅτι τὴν
παρακαταθήκην ἀποστερῶν, τὸν ὑπολαβόντα εἶναι αὐτὸν ἐπιεικῆ, ἐξα-
ζ΄. πατᾶται. ἢ ὅτι ὅ τοῦτο, ἀλλ' ἐκεῖνο τιμήσει. Διὰ τί ἄνθρωπος μά-
λιστα παιδείας μετέχων, ζώων ἁπάντων ἀδικώτατόν ἐστιν. ἢ ὅτι πλεί-
στου λογισμοῦ κεκοινώνηκε· μάλιστα οὖν τὰς ἡδονὰς καὶ τὴν εὐδαι-
η΄. μονίαν ἐξήτακε· ταῦτα δὲ ἄνευ ἀδικίας οὐκ ἔστι. Διὰ τί ὁ πλοῦτος
ὡς ἐπὶ τὸ πολὺ παρὰ τοῖς φαύλοις ἢ τοῖς ἐπιεικέσιν ἐστίν. ἢ διότι τυ-
φλὸς ὢν τὴν διάνοιαν, οὐ δύναται κρίνειν· οὐδ' αἱρεῖσθαι τὸ βέλτιστον.
θ΄. Διὰ τί δικαιότερον εἶναι νενόμισται τοῖς τετελευτηκόσιν ἢ τοῖς ζῶσιν
ἐπαμύνειν. ἢ ὅτι οἱ μὲν ζῶντες, δύνανται ἐπαρκέσαι· ὁ δὲ τετελευτη-
ι΄. κὼς οὐκέτι. Διὰ τί ὑγιαίνοντι μὲν, ὁ συνὼν οὐδὲν ὑγιέστερος γίνεται, οὐδὲ
ἰσχυρῷ ἢ καλῷ, εἰς τὸ ἐξ ἐπιεικοῦς δὲ συνὼν, δικαίῳ δὲ καὶ σώφρονι καὶ ἀ-
γαθῷ. ἢ διότι τὰ μὲν, ἀμίμητα· τὰ δὲ μιμητὰ τῇ ψυχῇ· ἀγαθὸς δὲ τὴν ψυ-
χὴν, ὑγιὴς δὲ τῷ σώματι· ἐθίζεται γὰρ χαίρειν ὀρθῶς καὶ λυπεῖσθαι· ὁ δ' ὑγιει-
νὸς, οὐκέτι· οὐ γὰρ ἐν τῷ τισὶ χαίρειν ἢ μὴ, ὑγιής· οὐθὲν τούτων γὰρ
ια΄. ποιεῖ ὑγείαν. Διὰ τί δεινότερον γυναῖκα ἀποκτεῖναι, ἢ ἄνδρα. καίτοι
βέλτιον τὸ ἄρρεν τοῦ θήλεος φύσει. ἢ διότι ἀσθενέστερον· ὥστε
ἐλάττω

fallere depositũ inq̃ est ꝗnquam parvũ ꝗm debitũ magnũ

Cur homo disciplinæ capax cum sit iniustissimus ÷ ceteror animatium

Cur nullũ memorabile nomẽ foeminea in pœna est nec habet victoria laudẽ

.·. ὅτε . s. ex utroq

ἐλάττω ἀδικεῖ. ὅτι οὖν ἀνίκητον τοῖς χρεῖζεσθαι πρὸς τὸ πολὺ ἧττον.
ιβ΄. Διὰ τί ποτε τῷ φεύγοντι ἐν τοῖς δικαστηρίοις τὴν δεξιὰν στάσιν
διδόασιν. ἢ διότι ἐπανισοῦν βούλονται· πλεονεκτοῦντες οὖν οἱ διώκον-
τες, τὴν στάσιν τῷ φεύγοντι διδόασιν. εἰώθασιν ἐπὶ τὸ πολὺ οἱ φεύγοντες
παραφυλάττεσθαι· ἡ δὲ δεξιὰ δὲ ἡ φυλακὴ γίνεται, ἐὰν ὁ φεύγων ἔχῃ τὴν
ιγ΄. ἐν δεξιᾷ στάσιν. Διὰ τί ποτε ὅταν ἴσαι τῷ φεύγοντι καὶ τῷ διώκον-
τι φαίνωνται ψῆφοι ἴσαι, ὁ φεύγων νικᾷ. ἢ ὅτι ὁ μὲν φεύγων ἐν τῷ ἀ-
γῶνι μόνον ἀκήκοεν αὐτοῦ, προσάδει αὐτὸν ἀπηγορεῖσθαι· καὶ τοὺς
μάρτυρας παρασχέσθαι πρὸς τὰ κατηγορημένα ἐχέσθαι. ἢ τὸ μέλ-
λουσιν ὠφεληθῆναι· οὐ ῥᾴδιον γὰρ μαντεύσασθαι ἐστί, ὧν δεῖ αὐτὸν παρα-
σκευάσασθαι. ἢ μαρτυρίαν ἢ ἄλλο τεκμήριον, ὅτι οὐθὲν ἀδικεῖ· τῷ δὲ
διώκοντι ἔστιν ὅπως βούλεται καὶ πρὸ τοῦ τὴν δίκην κλητεύσασθαι, ἐνστήσα-
σθαι τὸ πρᾶγμα. ἢ δὴ κεκληκότα πλάσασθαι ὅπως βούλεται πιθανόν, καὶ
τὴν περὶ αὐτοῦ. ὁρῶν δὴ καὶ πάντα ταῦτα ἐλαττοῦσθαι ὁ νομοθέτης τοῦ φεύ-
γοντος, προσέθηκε τῷ φεύγοντι ὅτι ἂν οἱ δικασταὶ ἀμφιδοξήσωσιν.
ἀγαθὰ μὲν καὶ τοῦ παντὸς ἴδοι. ἐν γὰρ τοῖς φόβοις ὄντες, πολλὰ παραλιμπάνου-
σιν ὧν αὐτοῖς ἔδει εἰπεῖν ἢ πρᾶξαι. οἱ δὲ φεύγοντες, ἀεὶ ἐν μείζοσι κινδύ-
νοις, ὡς ἐπὶ τὸ πολὺ τυγχάνουσι μένοντες· ὥστε εἴ τι παραλιμπάνου-
σιν ὧν δεῖ αὐτούς, εἰ περὶ ἴσου ὦσι τοῖς δικαίοις, δῆλον ὅτι εἰ μὴ
παρελίμπανον, ἐκράτουν ἄν. ἔτι δὲ ἕκαστος ἡμῶν μᾶλλον ἂν προέ-
λοιτο τὸν ἀδικοῦντα ἀποψηφίσασθαι ὡς οὐκ ἀδικεῖ, ἢ τὸν ἀδικοῦντα
καταψηφίσασθαι ὡς ἀδικεῖ. οἷον εἴ τις φεύγει δουλείας ἢ ἀνδροφο-
νίας· τούτων γὰρ ἑκάστου ὄντων, ἃ κατηγορεῖ αὐτοῦ, μᾶλλον ἂν ἀ-
ποψηφίσασθαι ἑλώμεθα, ἢ μὴ ὄντων καταψηφίσασθαι· ἔστι γὰρ ὅταν τις
ἀμφιδοξῇ, τὸ ἐλάττω τῶν ἁμαρτημάτων αἱρετέον· δεινὸν γὰρ τὸ τὸν δοῦ-
λον ὡς ἐλεύθερον ἐστὶ καταγνῶναι· πολὺ δὲ δεινότερον ὅταν τὸν ἐλεύθερον
ὡς δοῦλον καταψηφίσηται. ἔτι δὲ ἐὰν ὁ μέν, τύχῃ ἐγκαλῶν, ὁ δὲ, ἀμ-
φισβητῶν ὑπὲρ ὅτου οὖν, οὐκ εὐθὺς οἰόμεθα δεῖν ἀποδοῦναι τῷ ἐγ-
καλοῦντι· ἀλλ' ἀνέμεθα τὸν κεκτημένον, ἕως ἂν κελεύσει τὸν αὐτὸν ἢ τὸ
πρὸ τῶν ἐπὶ τῶν φόνων, ὅταν ἰσάζῃ τὸ πλῆθος τῶν φασκόντων ἀδικεῖν

‸ deest μὴ· ex theo. q vertit innocentem

Reo apud iudicem locus dexter pro meliori dabatur & tutio altari · nota aduersus nebrissensẽ antoniũ ex ... um

Si paritas suffragiorũ reo & accusatori contingit reus victor euadit

κλητεύσασθαι vocare

ἐνστήσασθαι disponere · statuere · theodo

ἀμφιδοξήσωσι pares in pronũciado de diuersa re fuerint